Greg. Cypr. I, 8. Apost. II, 73. Arsen. 44. Proverbio usus est auct. Theb. cycl.: *Πουλύποδός μοι τέκνον ἔχων νόον, Ἀμφίλοχ' ἥρως, τοῖσιν ἐφαρμόζου, τῶν κεν κατὰ δῆμον ἵκηαι*: add. Pseudo-Phocyl. 44: *μηδ' ὡς πετροφυὴς πολύπους κατὰ χώραν ἀμείβων*: Oracul. Sibyll. II p. 252: *μηδ' ὡς πετροφυὴς πολύπους κατὰ χώραν ἀμείβειν.* Polypi inde ab Homero mentionem fecerunt saepissime poetae, aut miros ejus mores describentes, aut eo notantes varia et diversa hominum vitia: vid. Anth. Palat. IX, 10. Athen. VII, p. 316 sq., I, p. 5. D, VIII, p. 356 E, et mea in Theb. Cycl. Rell. p. 53: add. quae collegerunt Jacobsius ad Aelian. Hist. Anim. I, 27. VII, 11. Leemans. ad Horapoll. Hierogl. II, 113: hinc factum, ut in proverbiis bestia ista haud raro appareret: cf. infr. III, 24. Diog. VII, 73. 76. Walzius ad Arsen. 412.

25. B. 27. Diog. I, 50. Greg. Cypr. I, 11. Apost. II, 75. Arsen. 41. De salis usu vid. infr. I, 62.

26. B. 28. Pausan. ap. Eustath. ad Hom. Il. *N*, 21 p. 917, 33: *ἱστέον δὲ ὅτι ἀπὸ τῆς κατὰ τὸν Ὀλύμπιον Δία Λιγὸς καὶ μάλιστα τῆς κατὰ τὴν Ἀμαλθείαν φέρεται καὶ παροιμία τὸ αἶξ οὐρανία, ὁμοία τῷ λευκὴ ψῆφος* [v. Diog. VI, 9.], *κατὰ Παυσανίαν· ὡς γὰρ ἡ Ἀμαλθεία, φησί, τροφὴ ἦν τοῦ Διός, οὕτω καὶ ἡ τοιαύτη ψῆφος ἔτρεφε τοὺς δωροδοκοῦντας δικαστάς· ἢ καὶ ἄλλως· ὥσπερ ὁ τὸ τῆς Ἀμαλθείας αἰγὸς ἔχων κέρας πάντ' εἶχεν, οὕτω καὶ οἱ κυαμεύοντες, φησί, τὰς ἀρχὰς καὶ τἆλλα ἀργυριζόμενοι. διὸ καὶ αἶξ οὐρανία ἔοικε λέγεσθαι οἱονεὶ θεία καὶ ὑψοῦσι τοὺς δικαστάς, ὅσοι δῶρα ἐλάμβανον*: cf. infra II, 48. Hesych. Suid. Phavor.: tertia explicatio ap. Hesych. s. *οὐρανίη δ' αἶξ* invenitur: *ὡς εἰ λέγοι τις τὸ τῆς Ἀμαλθείας κέρας· ὅ τι γάρ τις εὔξαιτο, ἐλάμβανεν ὁ ἔχων τοῦτο. ἐπήκοος δέ ἐστιν αὐτὴ ἴσως, ὅτι κατ' ἐνίους ἡ Σελήνη τῇ αἰγὶ ἐποχεῖται· ταύτη δὲ τὰ γύναια ηὔχετο διὰ τὸ καὶ αὐτὴν ἐπὶ τῷ Ἐνδυμίωνι τὰ αὐτὰ παθεῖν, ὅθεν καὶ*

27 *Αἴξ τὴν μάχαιραν: παροιμία ἐπὶ τῶν κακῶς τι καθ' ἑαυτῶν ποιούντων, ἀπὸ ἱστορίας τοιαύτης· Κορίνθιοι θυσίαν τελοῦντες Ἥρᾳ ἐνιαύσιον, τῇ ὑπὸ Μηδείας ἱδρυνθείσῃ καὶ Ἀκραίᾳ καλουμένῃ, αἶγα τῇ θεῷ ἔθυον. Τινὲς δὲ τῶν κομισάντων μισθωτῶν ἔκρυψαν τὴν μάχαιραν, καὶ σκηπτομένων [ἐπιλελῆσθαι] ἔνθα ἀπέθεντο, ἡ αἴξ τοῖς ποσὶν ἀνασκαλεύσασα ἀνέφηνε, καὶ τὴν μὲν σκῆψιν αὐτῶν διήλεγξεν, ἑαυτῇ δὲ τῆς σφαγῆς αἰτία ἐγένετο· ὅθεν ἡ παροιμία.*

28 *Ἄδακρυς πόλεμος: ἐπὶ τῶν ἔξω κινδύνου παντὸς ῥᾷστα δὲ καὶ παρ' ἐλπίδα τὰ πράγματα κατορθούντων.*

29 *Ἀδύνατα θηρᾷς: ἐπὶ τοῦ ἐγχειροῦντος μείζοσιν ἢ καθ' ἑαυτόν.*

30 *Ἀδράστεια Νέμεσις: ἀπὸ Ἀδράστου· τάττεται δὲ ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονησάντων, ὕστερον δὲ δυστυχησάντων.*

---

1. Macar. *αἶξ τὴν μάχαιραν· λείπει τὸ ἐπισκάλευσεν,* (quod contra Hesych., Phot. alios dictum videtur, qui *ἡ αἶξ δοῦσα τὴν μάχαιραν* aut *αἶξ ἑαυτῇ τὴν μάχαιραν* exhibebant) *καὶ λέγεται ἐπὶ τῶν ἑαυτοῖς τὰ κακὰ ἐπισπωμένων. παροιμία* B om. *κακόν τι ἑαυτοὺς* B. 2. *Κορίνθου θ. τελοῦντος* B. 3. *Μήδας* B. 4. *καὶ* om. B. *ἔθυον· τῶν δὲ κ. μ. κρυψαμένων* B. 6. legebatur *σκεπτομένων ἔνθα*: quod scripsi petitum est e Phot. Apost. Arsenio: vid. Albertius ad Hesych. l.c. 7. *ἀνασκαλεύουσα* B. legebatur *ἀνέφηνε*. 8. *τῆς* om. B. 9. *παροιμία ἐλέχθη* B. 12. *ἐπὶ τῶν μείζοσιν ἐγχειρούντων ἢ κατ' αὐτούς* B. 14. B nonnisi haec habet: *Ἀδρ. Ν.: τάττεται ἐπὶ τῶν πρότερον εὐδοκιμησάντων· τῶν γὰρ συγγόνων ἐπιστρατευσάντων Θήβαις μόνος Αἰγιαλεὺς ἀπώλετο Ἀδράστου παῖς.*

Εὐκταίαν φασὶν αὐτὴν ἔνιοι: add. Phot. p. 361 ed. angl., Suid. s. *οὐρανία αἴξ*. De Cratino, qui *ἐν Χείρωσι* de capra dixerat, cf. Bergkius Comm. de Rell. Com. Att. p. 248: post Cratinum Antiphanes proverbium adhibuit: v. Athen. IX, p. 402 E, Eustath. ad Hom. Odyss. Ξ, 106. p. 1753, 23; add. Liban. Ep. 670.

27. B. 29. Diog. I, 52. Greg. Cypr. I, 13. Apost. I, 82. Arsen. 26 ibiq. Macar.: Hesych., Phot. p. 61, Suidas: vid. Marcell. praef. Meminit Junonis Acraeae Eurip. Med. 1379, ubi vid. Schol. et intt.: add. C. O. Muellerus Dorr. I, 395.

28. Greg. Cypr. I, 14. Macar. p. 18: cf. ad Diog. I, 53. *Ἄδακρις νίκη* legitur apud Plutarch. de fort. Rom. c. 4.

29. B. 32. Macar. p. 20: Suidas. Chilonis sententia: v. Diog. Laert. I, 70. Arsen. 480: alia v. apud Wexium ad Soph. Antig. 92.

30. B. 33. Diog. I, 54. Apost. I, 40. Arsen. 18 ibiq. Macar.: Eustath. ad Hom. Il. *B*, 828, p. 355, 28, qui, postquam Antim. fr. 23 Schell. apposuit, pergit: *ἕτεροι δὲ οὐκ ἰδίᾳ μὲν Ἀδρήστειαν φασίν, ἰδίᾳ δὲ Νέμεσιν, οὐδὲ Ἄδρηστον τοῦτον οἴδασιν αἴτιον τοῦ τῆς Ἀδρηστείας ταύτης ὀνόματος, ἀλλὰ Νέμεσιν Ἀδράστειαν λέγοντες Ἄδραστον αἰτιῶνται τῆς παροιμίας ταύ-*

Ἐτεοκλῆς γὰρ καὶ Πολυνείκης μετὰ τὴν ἀπώλειαν τοῦ ἰδίου πατρὸς Οἰδίποδος τὴν βασιλείαν Θηβῶν παραλαβόντες, περὶ ταύτης συντίθενται πρὸς ἀλλήλους, καὶ αὐτοῖς δοκεῖ τὸν ἕτερον παρ' ἐνιαυτὸν ἄρχειν, καὶ οὕτως κατ' ἔτος τὴν βασιλείαν ἀμείβεσθαι. Ἄρξαντος οὖν Ἐτεοκλέους καὶ μὴ βουλομένου τῷ ἀδελφῷ τὴν βασιλείαν παραδοῦναι μετὰ τὴν τοῦ χρόνου παρέλευσιν, Πολυνείκης ἐφυγαδεύθη, καὶ πρὸς Ἄργος ἀφικόμενος τοῖς τοῦ Ἀδράστου βασιλείοις προσεπέλασε νύκτωρ, καὶ προστυχὼν ἐκεῖσε τῷ Τυδεῖ φεύγοντι ἐκ Καλυδῶνος δι' ὃν εἰργάσατο φόνον, συνάπτει μάχην. Γενομένης δὲ βοῆς Ἄδραστος ἐπιφανεὶς τούτους διέλυσε. Καὶ λογίου τινὸς ἀναμνησθεὶς λέγοντος αὐτῷ, κάπρῳ καὶ λέοντι τὰς θυγατέρας συζεῦξαι, ἀμφοτέρους εἵλετο νυμφίους· εἶχον γὰρ ἐπὶ τῶν ἀσπίδων ὁ μὲν προτομὴν λέοντος, ὁ δὲ κάπρου. Ὑπέσχετο οὖν καὶ ἀμφοτέρους εἰς τὰς ἰδίας ἀποκαταστῆσαι πατρίδας. Καὶ πρῶτον ἐπὶ Θήβας στρατεύει, ἔνθα τῶν ἀρίστων Ἀργείων πεσόντων μόνος διέφυγεν Ἄδραστος. Τοὺς δὲ νεκροὺς αὐτῶν ἀτάφους τῶν Θηβαίων ῥιψάντων καὶ μὴ διδόντων ταφῇ, οἱ τῶν ἀποθανόντων παῖδες πρὸς τὸν τοῦ Ἐλέου καταφυγόντες βωμὸν τοὺς νεκροὺς ἐξήτουν. Ἀθη-

---

2. *βασίλειαν* editt. et hoc loco et infr. 20. post vocem *παῖδες* excidisse videntur vv. *εἰς Ἀθήνας*. 21. *ἐξήτουν* ex conjectura Heynii ad Apollod. T. II, p. 254 scripsi: legebatur *ἐζήτουν*.

της, ὃν Σικυῶνι πρῶτα ἐμβασιλεύειν ὁ ποιητὴς πρὸ τούτου ἱστόρησε, καὶ τὴν μὲν Νέμεσιν ὡς εἰς κύριον τιθέασιν ὄνομα, τὴν δὲ Ἀδράστειαν ὡς εἰς ἐπίθετον, καὶ βούλονται εἶναι ἀδράστειαν τὴν οἰκονομησαμένην παραδόξως τὰ κατὰ τὸν τοιοῦτον Ἄδραστον, οὗ μόνου τῶν ἡγεμόνων διασωθέντος ἐκ τοῦ Θηβαϊκοῦ πολέμου ἐνεμέσησε τὸ θεῖον. καὶ γοῦν ἐν τοῖς Ἐπιγόνοις τῶν ἐν Θήβαις πεσόντων ἀρχηγῶν Διομήδης μὲν καὶ Σθένελος καὶ οἱ λοιποὶ περιεγένοντο, μόνος δὲ ὁ ἐξ Ἀδράστου πέπτωκε, καὶ οὕτω κατά τι δίκαιον ἀνισώθη τὸ δοκοῦν ἐκεῖ ἐλλελεῖφθαι πρὸς τῆς Νεμέσεως καὶ ἐκλήθη αὕτη ἐντεῦθεν Ἀδράστεια. ἕτεροι δὲ τὴν Νέμεσιν Ἀδράστειαν εἶπον καλεῖσθαι διὰ τὸ τῆς θείας δίκης ἀναπόδραστον ἤτοι ἄφυκτον. Παυσανίας δέ φησιν ὅτι τὴν Ἀδράστειαν ἑτέραν τῆς Νεμέσεως ὑποτίθενται τινές, οἱ δὲ τὴν αὐτὴν τῇ Νεμέσει ἀπὸ Ἀδράστου, ὅτι μόνος τῶν ἑπτὰ σωθεὶς μόνος πάλιν τὸν υἱὸν ἀπέβαλεν ἐν τοῖς Ἐπιγόνοις· οἱ δὲ ἀπὸ Ἀδράστου, φησί, Μυσοῦ ἱδρυσαμένου αὐτῆς ἱερόν· βέλτιον δέ, φησίν, ἀπὸ τοῦ μηδὲν αὐτὴν ἀποδιδράσκειν: Suid., Phavor. Adrastea saepe a veteribus memoratur: Liban. Ep. 286: *προσκυνῶ τὴν Ἀδράστειαν*: cf. intt. ad Alciphr. Ep. I, 33. fin., Blomfieldus ad Aesch. Prom. V. gl. 972. Walzius ad Arsen. l. c. Narratio derivata est ex Apollod. III, 6. 7. De *Ἐλέου βωμῷ* vid. infr. II, 61. Taylorus ad Lys. Oratt. p. 69. Reisk., Heynius ad Apoll. Obss. p. 202. *μόνος κτλ.*] v. Theb. Cycl. Rell. p. 14.

ναίων δὲ στρατευσάντων, οἱ νεκροὶ δίδονται. Ὅτε καὶ Εὐάδνη ἡ τοῦ Καπανέως γυνὴ ἑαυτὴν τῇ πυρᾷ βαλοῦσα τῷ τοῦ ἀνδρὸς συγκατεκαύθη νεκρῷ. Μετὰ δὲ χρόνους οἱ τῶν ἀπολομένων Ἀργείων παῖδες ἐπὶ Θήβας ἐστρατεύσαντο, τὸν τῶν πατέρων θάνατον βουλόμενοι τιμωρήσασθαι. Τειρεσίου δὲ τοῦ μάντεως θεσπίσαντος Θηβαίοις τὴν νίκην ἐπ' Ἀργείοις κεῖσθαι, δρασμὸν ἐπενόησαν· καὶ στέλλουσι μὲν πρέσβεις πρὸς Ἀργείους, αὐτοὶ δὲ νυκτὸς τὴν πόλιν καταλιπόντες, φυγάδες ᾤχοντο. Εἰσίασιν οὖν εἰς τὴν πόλιν Ἀργεῖοι, καὶ τὰ ταύτης τείχη καθελόντες τὴν λείαν συνήθροισαν. Ὅθεν ἡ παροιμία προήχθη λέγεσθαι ἐπὶ τῶν ἄδικα διαπραττομένων καὶ τὴν δίκην μὴ ἐκφευγόντων.

31 Ἁρπαγὰ τὰ Κιννάρου: ταύτης μὲν μέμνηται Καλλίμαχος ἐν ἰάμβοις· Τίμαιος δὲ ἔφη, ὅτι Κίνναρος ἐγένετο πορνοβοσκὸς Σελινούσιος. Πλουσιώτατος γοῦν ἐκ τῆς ἐργασίας γενόμενος, ζῶν μὲν ἐπηγγέλλετο τὴν οὐσίαν ἱερὰν τῇ Ἀφροδίτῃ καταλεῖψαι, τελευτῶν δὲ τὰ ὄντα προὔθηκεν εἰς ἁρπαγήν.

32 Ἀρχὴ Σκυρία: παροιμία ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων· παρόσον πετρώδης καὶ λυπρά ἐστιν ἡ Σκῦρος.

---

2. Καπάνεως editt. Heynius ad Apoll. I p. 292 coniecit ἐμβαλοῦσα: cf. Lobeckius Aglaoph. I, 633. 4. ἀπωλυμένων editt. παῖδες ἐπὶ Θήβας] »huc retraxi quae vulgo leguntur infra VI, 15 ἐστρατεύσαντο, τὸν τῶν πατρῶν cett. deletis μίαν νίκην ἰδίαν etc. quae non pertinent ad Ἀδράστεια Νέμεσις, sed ad Ἀρκάδας μιμούμενος II, 59.« Gaisfordus. 5. scribebatur πατρῶν. 16. οὖν P. 20. παροιμία om. B. 21. παρόσον λυπρώδης ἡ B. 22. Σκύρος B, Σκυρός editt.

31. Hesych. Phavor. s. ἁρπαγὴ τὰ κόρνα. Proverbii originem Lobeckius Aglaoph. II, 1031 enucleare studet. Καλλίμαχος] fr. 79 Bentl.

32. B. 61. Diog. I, 30. Apost. IV, 31. Arsen. 77 ibiq. Macar.: Eustath. ad Hom. Il. I, 662 p. 782, 52: σημείωσαι δὲ ὅτι παροιμία φέρεται ἀπὸ τῆς νήσου Σκύρου τὸ ἀρχὴ Σκυρία, ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων, ἀπὸ Θησέως ληφθεῖσα, ὥς φησι Παυσανίας, ἐπειδὴ ἐπιθέμενος τῇ Λυκομήδους ἀρχῇ καὶ πειρῶν τὴν γυναῖκα ἐκείνου κατακρημνισθείη, ὡς καὶ Ἀνκόφρων ἱστορεῖ: Hesych., Suid., Phavor. Alludit Demosth. in Callip. p. 1238 R.: προξενῶν μὲν γὰρ τυγχάνω τῶν Ἡρακλεωτῶν, βούλοιο δ' ἄν, ὡς οἶμαι ἐγὼ, ἐμὲ μᾶλλον τὸ ἀργύριον λαβεῖν ἢ τὸν μέτοικον ἄνθρωπον καὶ ἐν Σκύρῳ κατοικοῦντα καὶ οὐδενὸς ἄξιον: Liban. Ep. 1042. 1141. Aliud a Scyro deductum proverbium est Σκυρία δίκη, comicis de judicio rigido atque severo usurpatum: Poll. VIII, 81 ibiq. intt., Hesych., Suid.: v. Meieri et Schoemanni de Litib. Att. libr. 696. De Scyri insulae sterilitate vid. Etym. M. p. 137, 16. Bernhardius ad Dionys. Perieg. 521.

33 *Αἰθὴς πέπλος: ἐπὶ τῶν ὑπεκκαιόντων καὶ φθειρόντων καὶ διαβολὰς ποιούντων· εἴρηται δὲ παρόσον ἡ Δηϊάνειρα πέπλον ἔπεμψεν Ἡρακλεῖ, ὑφ' οὗ καυθεὶς ἐφθάρη.*

Ἡρακλέους γὰρ τοὺς Κενταύρους καταπολεμήσαντος, εἷς ἐξ αὐτῶν Νέσσος ὀνομαζόμενος διαφυγὼν ἦκεν ἐπὶ ποταμὸν Εὔηνον, ἐν ᾧ καθεζόμενος τοὺς παριόντας διεπόρθμευεν. Ἀπερχόμενος δὲ Ἡρακλῆς πρὸς Κήϋκα εἰς Τραχῖνα ἦκε † μεθ' ἑαυτοῦ καὶ Δηϊάνειραν. Αὐτὸς μὲν οὖν Ἡρακλῆς τὸν ποταμὸν διήει· Δηϊάνειραν δὲ μισθὸν αἰτηθεὶς, ἐκέλευε Νέσσῳ διακομίζειν. Ὁ δὲ διαπορθμεύων ἐπεχείρει βιάζεσθαι· τῆς δὲ ἀνακραγούσης αἰσθόμενος Ἡρακλῆς ἐτόξευσε Νέσσον εἰς τὴν καρδίαν. Οὗτος δὲ μέλλων τελευτᾶν προσκαλεσάμενος Δηϊάνειραν εἶπεν, εἰ θέλοι φίλτρον πρὸς Ἡρακλέα ἔχειν, τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα ἐκμάξασθαι. Ἡ δὲ ποιήσασα τοῦτο, ἐφύλαττε παρ' ἑαυτῇ. Ἀπελθὼν οὖν Ἡρακλῆς εἰς Τραχῖνα, κἀκεῖθεν στρατευσάμενος ἐπὶ τὴν Οἰχαλίαν, τὴν πόλιν αἱρεῖ. Καὶ λῃΐσας ταύτην, ἦγεν Ἰόλην αἰχμάλωτον. Μέλλων δὲ τῷ Διὶ χαριστήρια θύειν, ἔπεμψε πρὸς Δηϊάνειραν λαμπρὰν ἐσθῆτα ζητῶν. Μαθοῦσα δὲ Δηϊάνειρα τὰ περὶ τὴν Ἰόλην, καὶ δείσασα μὴ ἐκείνην μᾶλλον ἀγαπήσῃ, νομίσασα ταῖς ἀληθείαις φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσου, τούτῳ τὸν χιτῶνα ἔχρισεν. Ἐνδυσάμενος οὖν Ἡρακλῆς ἔθυεν. Ὡς δὲ θερμανθέντος τοῦ χιτῶνος ὁ τῆς ὕδρας ἰὸς τοῦ χρωτὸς καθήπτετο, τὸν χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ σώματι.

---

1. *αἴθης* Zenobii, Diog. codd. et editt., *αἰθης* cod. Dresd. Arsenii; *αἴθεις ἐν πέπλῳ καὶ αἴθων πέπλος* Apost., Arsenius: *αἰθῆς* Runkelius ad Cratin. frr. p. 27, cui Lobeckius Parall. Gr. Gr. II, 544 adstipulari videtur: *αἰθὴς* recte Fixius Steph. Thes. s. v. 2. *εἴρηται* Fix. l. c. et Gaisfordus e P: legebatur *εὕρηται*. 6. scribebatur *εἷς αὐτῶν*: e P emendavit Gaisfordus. 7. scribebatur *καθιζόμενος*: e P et Apollodoro correxit Gaisfordus. *παραπλέοντας* codd.: *παριόντας* ex Apoll. et Argum. ad Soph. Trach. reposui. 9. *ἦγε* e Schotti conjectura scripsit Gaisfordus: ex Apoll. et Argum. cit. repone *ἦκε ἐπὶ ποταμὸν Εὔηνον ἄγων —*. 10. *Δημανίρας* codd. et edd.: correxit Heynius ad Apollodorum. 11. Schottus *ἐκέλευσε*: e P correxit Gaisfordus. 22. vulgo *Ἴολην*. 24. scribebatur *τούτου*: ex Apoll. correxit Gaisfordus.

33. Diogen. I, 31. Apost. II, 9. Arsen 33: Hesychius. Cratinum in Cleobulinis proverbio usum esse refert Hesychius. Narratio hausta est ex Apollod. II, 5, 4. 7, 6: eundem auctorem Auct. Argum. ad Soph. Trach. et Eudoc. p. 209 secuti sunt.

συναπεσπῶντο δὲ καὶ αἱ σάρκες αὐτοῦ. Τοιαύτῃ συμφορᾷ κατασχεθεὶς Ἡρακλῆς, εἰς Τραχῖνα πρὸς Δηϊάνειραν κομίζεται. Λύτη μὲν οὖν αἰσθομένη τὸ γεγονὸς ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς ἦν ἐκ Δηϊανείρας αὐτῷ παῖς πρεσβύτερος, Ἰόλην γῆμαι, παρεγένετο εἰς Οἴτην ὄρος, ἔνθα πυρὰν ἔνησεν, ἧς ἐπιβὰς, ὑφάπτειν ἐκέλευσε. Μηδενὸς δὲ τῶν σὺν ἐκείνῳ τοῦτο πράττειν ἐθέλοντος, Ποίας παριὼν κατὰ ζήτησιν ποιμνίων, τὴν πυρὰν ὑφῆψεν· καὶ τούτῳ τὰ τόξα Ἡρακλῆς ἐδωρήσατο. Καιομένης δὲ τῆς πυρᾶς, λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι.

34 *Αἵματι κλαίειν*: κατὰ ὑπερβολὴν, οὐ δάκρυσιν ἀλλ' αἵμασι κλαίειν.

35 *Αἱρούντες ἡρήμεθα*: ἐπὶ τῶν ἐλπισάντων κρατεῖν τινων καὶ ὑπ' ἐκείνων ἁλόντων.

36 *Αἱ Χάριτες γυμναί*: ἤτοι ὅτι δεῖ ἀφειδῶς καὶ φανερῶς χαρίζεσθαι· ἢ ὅτι οἱ ἀχάριστοι τὸν ἑαυτῶν κόσμον ἀφῄρηνται.

37 *Αἱ Ἰβύκου γέρανοι*: ἐπὶ τῶν ἀπροσδοκήτως ἀφ' ὧν ἥμαρτον κολασθέντων. Ἴβυκος γὰρ ὑπὸ λῃστῶν ἀναι-

---

6. ἔνησεν scripsi ex conjectura: codd., editt. ἀνῆψεν: Apoll. ἐκεῖ πυρὰν ποιήσας. 10. τῆς e P adjecit Gaisfordus. 12. αἵματα Schott.: e B correxit Gaisfordus; idem conjectura assequutus erat Bastius ap. Schaeferum ad Greg. Cor. p. 583. καθ' B. 13. ἀλλ' — κλαίειν om. B. 15. καὶ e P adjecit Gaisfordus. 16. ἤτοι om. B. ὅτι ἀφειδώλως (A ἀφειδόλως) καὶ φανερῶς χρὴ B. 17. ἢ κτλ. om. B. 19. ἀνθ' ὧν Macar. 20. κολαζομένων B. legebatur λῃστῶν.

34. B. 63. Diog. I, 32. Greg. Cypr. I, 35. Apost. I, 85. Arsen. 27 ibiq. Macar.: Phot. Epist. 138: παροιμία λέγεται ἐπὶ τῶν σφόδρα λυπουμένων καὶ ἀγωνιώντων, αἵματι ἴδρωσεν, ὥσπερ καὶ ἐπὶ τῶν πικρῶς ὀδυρομένων, αἵματι κλαίειν: Suid., Bekk. Anecdd. I, 356, 13. Bachm. Anecdd. I, p. 44, 22. Usurpat Heliod. Aeth. IV, 8.

35. Diog. I, 33. Apost. I, 96. Arsen. 28. Suid. s. v. et s. αἱρήσω τάχα. Alludit Aesch. Agam. 338 sq.: εἰ δ' ἐν σέβουσι τοὺς — θεοὺς — — Οὐκ ἄν γ' ἑλόντες αὖθις ἀρθαλοῦεν ἄν.

36. B. 64. Diog. I, 34. Greg. Cypr. I, 36. Apost. II, 11. Arsen. 33: Schol. ad Aristid. T. III, p. 55 Dind.: οἱ γραφεῖς τὰς Χάριτας γυμνὰς γράφουσιν αἰνιττόμενοι ὅτι δεῖ τὴν χάριν ἄδολον εἶναι· τὸ γὰρ γυμνὸν καὶ φανερὸν ἄδολον: Suid. Usurpat Aristaen. Epist. II, 21: αἱ γὰρ χάριτές σου παντελῶς ἄδολοι καὶ ἀληθῶς κατὰ τὴν παροιμίαν γυμναί: ubi vide intt.: add. Boettiger *Ideen z. Kunstmyth.* II, 257 sq.

37. B. 65. Diog. I, 35. Apost. II, 14. Arsen. 30 ibiq. Macar.: Suid., Eudoc. p. 217. V. Schneidewinus Ibyc. Rell. 22 sqq. Welckerus Mus. Rhen. I, 401. II, 218.

ρούμενος καὶ γεράνους ὑπεριπταμένας ἰδὼν ἐμαντύρατο. Χρόνου δὲ προϊόντος οἱ λησταὶ ἐν θεάτρῳ θεώμενοι γεράνους ἱπταμένας πρὸς ἀλλήλους ἔλεγον, *Αἱ Ἰβύκου γέρανοι.* Εἶτα ἐκ τούτου ἁλόντες ἐκολάσθησαν.

38 *Αἰγιαλῷ λαλεῖς*: ἐπὶ τῶν ἀνηκούστων. Ὅμοια δὲ αὕτη καὶ τῇ, *Ἀνέμῳ διαλέγῃ.*

39 *Αἰθέρα νήνεμον ἐρέσσειν*: ἐπὶ τῶν μάτην πονούντων.

40 *Ἀφ' Ἑστίας ἀρχόμενοι*: μετενήνεκται δὲ ἀπὸ τῶν περὶ τὰ ἱερὰ δρωμένων. Ἦθος γὰρ ἦν τῇ Ἑστίᾳ τὰς ἀπαρχὰς ποιεῖσθαι.

---

1. ὑπεριπταμένους P. 2. δὲ παρελθόντος Macarius. *Θεώμενοι ἐν Κορίνθῳ* Macarius. 3. *περιπταμένας, ἔλεγον πρὸς ἀλλήλους* B. 5. *Αἰγ. λαλ., ἀνέμῳ διαλέγῃ: ἀμφότεραι ἐπὶ τῶν ἀνηκούστων* B. 7. V *ἐρίσσεις*, Macar. *ἐρίσσῃς*, P *αἰθεράνεμον αἱρήσεις*, B Diog., Apost. *αἱρήσεις*, Arsen. *πονήσεις*. 9. B *ἀρχόμενος. μετενήνεκται δὲ* om. B. Macar.: *ἀφ' ἑστίας ἄρχεσθαι: ἐπὶ τῶν ἐν δυνάμει γενομένων καὶ πρώτους ἀδικούντων τοὺς οἰκείους.*

38. B. 66. Diog. I, 37. Apost. II, 13. Arsen. 30. Plutarch. in Boisson. Anecdd. T. I p. 396: Suid. s. v. Utitur Eurip. Androm. 91: *ἡμεῖς δ' οἷσπερ ἐγκείμεσθ' ἀεὶ Θρήνοισι καὶ γόοισι καὶ δακρύμασι Πρὸς αἰθέρ' ἐκτενοῦμεν*: Liban. ap. Boiss. Anecdd. T. I p. 167: alia vide in nott. ad Diog. VI, 82: adde Meinekium ad Menand. Rell. p. 384. Walzium ad Arsen. l. c.

39. B. 67. Diog. I, 38. Apost. I, 77. Arsen. 25 ibiq. Macar.; Suidas.

40. B. 68. Macar. p. 86: Schol. ad Plat. Euthyph. p. 326 Bekk., quocum Schol. ad Arist. Vesp. 878 (842) consentit fere: *ἐπὶ τῶν ἐν δυνάμει γενομένων καὶ πρώτους ἀδικούντων τοὺς οἰκείους, ἐπεὶ ἔθος ἦν τῇ Ἑστίᾳ πρώτῃ τῶν ἄλλων θεῶν θύειν· φέρεται δέ τις καὶ περὶ αὐτῆς μῦθος τοιοῦτος· μετὰ γὰρ τὸ καταλυθῆναι τὴν τῶν Τιτάνων ἀρχὴν φασι τὸν Δία τὴν βασιλείαν παραλαβόντα ἐπιτρέψαι τῇ Ἑστίᾳ λαβεῖν ὅ τι ἂν βούλοιτο, τὴν δὲ τὴν παρθενίαν αἰτήσασθαι καὶ τὰς ἀπαρχὰς παρὰ τῶν ἀνθρώπων· Ἄλλως· παροιμία δὲ ἐστίν, μετενήνεκται δὲ ἀπὸ — ἀπαρχὰς ποιεῖσθαι· ἢ ἀφ' ἑστίας, ἤτοι ἀπὸ τῶν οἰκειοτάτων· ἑστία γὰρ ἡ οἰκία*: unde sua duxerunt Schol. ad Aristid. p. 194 Fromm., T. III p. 510 Dind., Eustath. ad Hom. Od. *H*, 298 p. 1579, 45, Macar., Hesych., Bekk. Anecdd. I, 469, 29. Ceterum huc non pertinent, quae Apost. V, 20. Arsen. 86. Suid. s. *ἀφ' ἑστίας* ex Harpocr. p. 42, 15 Bekk. afferunt: cf. Boeckhius ad Corp. Inscr. I p. 445. Usurpant Aristoph. l. c., Plat. Euthyph. p. 3 A, Aristid. Pericl. p. 246, C. Procl. ad Plat. Alcib. I init.: *εἰ δὲ γὰρ ἀπὸ τῆς αὐτῆς ἑστίας καὶ πρωτίστης πηγῆς τό τε εἶναι πρόεισι καὶ τὸ ἀγαθόν*: Theodor. Hyrtac. in Boiss. Anecdd. T. II p. 447: alia vide sis ap. intt. ad Strabon. T. VII p. 218 Fried., Spanhemium ad Callim. h. in Cerer. 109. Ruhnkenium ad Schol. Plat l. c., Wyttenbachium ad Plut. Ann. T. I p. 642. Heindorfium ad Plat. Cratyl. p. 401 B.: add. Diogen. II, 40.

41 *Ἄϊδος κυνῆ: πρὸς τοὺς ἐπικρύπτοντας ἑαυτοὺς διά τινων μηχανημάτων. Τοιαύτη γὰρ ἡ τοῦ Ἄιδου κυνῆ, ᾗ Περσεὺς χρησάμενος τὴν Γοργόνα ἐδειροτόμησεν.*

Ἡ δὲ ἱστορία ἔχει οὕτως. Ἀκρισίῳ περὶ παίδων γενέσεως ἀῤῥένων χρηστηριαζομένῳ, ὁ θεὸς ἔφη γενέσθαι παῖδα ἐκ τῆς θυγατρὸς, ὃς αὐτὸν ἀποκτείνῃ. Δείσας δὲ ὁ Ἀκρίσιος, ὑπὸ γῆν θάλαμον χάλκεον κατασκευάσας, Δανάην τὴν αὐτοῦ θυγατέρα ἐφρούρει. Ταύτης ὁ Ζεὺς ἐρασθεὶς, καὶ εἰς χρυσὸν μεταμορφωθεὶς, διὰ τῆς ὀροφῆς εἰς τοὺς αὐτῆς κόλπους ἐῤῥύη. Αἰσθόμενος δὲ ὁ Ἀκρίσιος ἐξ αὐτῆς γεγεννημένον Περσέα, μετὰ τοῦ παιδὸς εἰς λάρνακα βαλὼν ἔῤῥιψεν αὐτὴν εἰς θάλασσαν. Προσενεχθείσης δὲ τῆς λάρνακος ἐν Σεῤῥίφῳ νήσῳ, Δίκτυς ἄρας ἀνέτρεφε Περσέα. Βασιλεύων δὲ τῆς Σεῤῥίφου Πολυδέκτης ἀδελφὸς Δίκτυος, Δανάης ἐρασθεὶς, καὶ ἠνδρωμένου Περσέως μὴ δυνάμενος τελέσαι τὸν ἔρωτα, συνεκάλει τοὺς φίλους, μεθ' ὧν καὶ Περσέα, λέγων, ἔρανον συνάγειν ἐπὶ τοὺς Ἱπποδαμείας τῆς Οἰνομάου γάμους. Τοῦ δὲ Περσέως εἰπόντος καὶ ἐπὶ τῇ κεφαλῇ τῆς Γοργό-

---

2. legebatur *διὰ τινῶν*. *Ἄδην* B. 3. B: *ἐχρήσατο καὶ τὴν Γοργόνην ἐδ.* 8. legebatur *Δαναὴν*. 10. *εἰς ρυεὶς συνῆλθεν* Apollod. Schol. Ven. ad Hom. Il. ξ, 319. 12. *εἰς τὴν θάλασσαν* P. 15. legebatur *Δαναῆς*.

41. B, 69. Diogen. I, 39. Apost. II, 8. Greg. Cypr. I, 33. Arsen. 432, 33 ibiq. Macar.: Schol. Ven. et Eustath. ad Hom. Il. *E*, 845 p. 613, 23 — *πᾶς ἀφανὴς ὢν ἐν τῷ δολίως τι πράττειν καὶ οἷον ὑπὸ Ἄιδῃ καὶ τῷ ἐκεῖσε σκότῳ Ἄιδου λέγεται παροιμιωδῶς κυνέην φορεῖν· ἔστι δὲ κατὰ τοὺς παλαιοὺς νέφος τι πυκνότατον ἡ τοῦ Ἄιδου κυνέη, δι' οὗ καὶ θεοὶ ἀφανεῖς ἀλλήλοις γίνονται, ὡς εἶναι ταὐτὸν, κυνῆν Ἄιδου δῦναι καὶ ὑπὸ παχυτάτῳ νέφει γενέσθαι*: Schol. ad Arist. Acharn. 397. Schol. ad Plat. Reip. X p. 422 Bekk., ad Lucian. Bis Accus. §. 21 T. VII p. 80 Bip., Nonn. Exeg. ad Greg. Nazianz. n. LII p. 145 Mont.: Hesych. s. v., Etym. Magn. p. 42, 13. Suid. Phavorinus: Hygin. Astron. I, 12 »*A Mercurio talaria et petasum accepit, praeterea galeam, qua indutus ex adverso non poterat videri. Itaque Graeci Ἄϊδος galeam dixerunt esse, non ut quidam inscientissime interpretantur, eum Orci galea usum: quae res nemini docto potest probari.*« Natum ex Epicis adagium, v. Hom. l. c., Hesiod. Scut. Herc. 227, cujus postea plurimi meminerunt: Arist., Plat., Luc. ll. cc., Gregor. Nazianz. *Στηλιτ.* I in Julian. p. 93 A: *οὐδὲ εἰ τὴν Ἄϊδος κυνέην, ὃ δὴ λέγεται, περιθέμενος, ἢ τῷ δακτυλίῳ Γύγου* [v. Diog. III, 99.] *καὶ τῇ στροφῇ τῆς σφενδόνης χρησάμενος ἑαυτὸν ἀποκλείσει*: Origen. contr. Cels. I c. 66. demonstrans, magis convenisse ut in Aegyptum Christus ab Herode fugeret, *ἢ τὴν λεγομένην παρὰ τοῖς ποιηταῖς Ἄϊδος κυνέην, ἤ τι παραπλήσιον ποιεῖν εἶναι περὶ τὸν Ἰησοῦν*: Euseb. Praep. Evang. III p. 109 D: add. Boissonadus ad Cratet. Epist. in *Notic. et Extr. de la Bibl. d. Roi* T. XI pag. 28, ad Basil.

νος οὐκ ἀντερεῖν, παρὰ μὲν τῶν ἄλλων ᾔτησεν ἵππους, παρὰ δὲ τοῦ Περσέως οὐ λαβὼν τοὺς ἵππους, ἐπέταξε τῆς Γοργόνος τὴν κεφαλὴν κομίζειν. Ὁ δὲ Ἑρμοῦ καὶ Ἀθηνᾶς προκαθηγουμένων ἐπὶ τὰς Φόρκου παραγίνεται θυγατέρας, Ἐννὼ, Πεμφρηδὼ καὶ Δεινώ. Ἦσαν δὲ αὗται γραῖαι ἐκ γενετῆς, ἕνα τε ὀφθαλμὸν αἱ τρεῖς καὶ ἕνα ὀδόντα εἶχον, καὶ ταῦτα παρὰ μέρος ἀλλήλαις ἤμειβον. Ὧν κυριεύσας ὁ Περσεὺς, ὡς ἀπῄτουν, ἔφη δώσειν, ἂν ὑφηγήσωνται τὴν ὁδὸν τὴν ἐπὶ τὰς Νύμφας φέρουσαν. Αὗται δὲ αἱ Νύμφαι πτηνὰ εἶχον πέδιλα, καὶ τὴν κίβισιν, ἣν φασιν εἶναι πήραν· εἶχον δὲ καὶ τὴν Ἄϊδος κυνῆν, ἣν ὁ ἔχων οὓς μὲν ἤθελε ἔβλεπεν, ὑπ' ἄλλων δὲ οὐχ ὡρᾶτο. Ἀπελθὼν οὖν ὁ Περσεὺς, καὶ ἀναλαβόμενος ταῦτα, πτηνὸς διὰ τῶν πεδίλων πρὸς τὰς Γοργόνας ἐφέρετο. Ἦσαν δὲ αἱ Γοργόνες ἀδελφαὶ τρεῖς, Εὐρυάλη, Σθενὼ, Μέδουσα· κεφαλὰς μὲν ἔχουσαι περιεσπειραμένας φολίσι δρακόντων, ὀδόντας δὲ μεγάλους ὡς συῶν, καὶ χεῖρας καὶ πτέρυγας δι' ὧν ἐφέροντο· τοὺς δὲ ἰδόντας, λίθους ἐποίουν. Μόνη δὲ τῶν τριῶν θνητὴ ἦν ἡ Μέδουσα. Πρὸς ταύτην ὁ Περσεὺς ἀπεστραμμένος, καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι' ἧς τὴν εἰκόνα τῆς Γοργόνος ἔβλεπε, τὴν χεῖρα ἔτεινεν, Ἀθηνᾶς αὐτὴν κατευθυνούσης. Καὶ καρατομηθείσης τῆς Μεδούσης, αἱ ταύτης ἀδελφαὶ ἀναπτᾶσαι τὸν Περσέα ἐδίωκον. Συνιδεῖν δὲ αὐτὸν μὴ δυνάμεναι διὰ τὴν κυνῆν, ὑπέστρεψαν. Περσεὺς δὲ παραγενόμενος εἰς Σέριφον, καὶ καταλαβὼν Πολυδέκτην συγκαλέσαντα τοὺς φίλους αὐτοῦ πρὸς τὰ βασίλεια, ἀπεστραμμένος τὴν κεφαλὴν τῆς Γοργόνος ἔδειξε·

---

1. ἀντερεῖν ex Apoll. dedit Gaisfordus: legebatur ἀνταίρειν. παρα — κομίζειν desunt in ed. Ald.; F habet in Corrig. 4. γίνεται P Apollod. 5. Ἐννώ F. Μεμφηδὼ codd., editt.; codd. Hesiod. Theog. 273 Πεμφρηδὼ, Πεφρηδὼ, Τιφρηδὼ exhibent, codd. Apollod. Μεμφρηδὼ, codd. Schol. ad Apoll. Rh. Πεμφρηδὼ, Πεμφριδὼ, Tzetz. ad Lycophr. Cass. 838 Πεφριδὼ, Πεφρηδὼ. Δεινώ] G. Hermannus Opusc. VI, 1, 168 conjecit Δεινώ: Schol. Apoll. Rh. habet Ἰαινώ. 11. vulgo ἣν φασὶν. 16. Στενὼ Schottus: e P F Apollod. correxit Gaisfordus. 18. χεῖρας χαλκᾶς καὶ πτέρυγας χρυσᾶς Apollod. 27. τὰ e P. adjecit Gaisfordus. 28. ἀπεστραμμένος e P F Apollod. scripsit Gaisfordus: legebatur ἀπε-

ibid. p. 92. Historia hausta ex Apollod. II, 4, qui Pherecydem sequutus est: cf. Schol. ad Apoll. Rhod. IV, 1091. Κίβισις quid sit indicant Hesych., Etymol. M. 512, 54. Etym. Gud. 323, 55, interpp. ad Hesiod. Scut. Hercul. 224. Paul. Diac. s. cibus ibiq v. C. O. Müllerus p. 42.

τῶν δὲ ἰδόντων ἕκαστος ἀπελιθώθη. Καὶ καταστήσας τῆς Σεριφου βασιλέα Δίκτυν τὴν κεφαλὴν τῆς Γοργόνος Ἀθηνᾷ δίδωσι, τὴν δὲ κυνῆν Ἑρμῇ, ὡσαύτως δὲ καὶ τὰ πέδιλα καὶ τὴν κίβισιν· ὁ δὲ πάλιν ἀπέδωκε ταῖς Νύμφαις. Ἀναλαβόμενος οὖν Περσεὺς τὴν μητέρα πρὸς Ἄργος ἔσπευδεν, ἵνα τὸν Ἀκρίσιον θεάσηται. Ὁ δὲ τοῦτο μαθὼν καὶ δεδοικὼς τὸν χρησμόν, ἀπολιπὼν Ἄργος εἰς Λάρισσαν παραγίνεται. Τοῦ δὲ τῶν Λαρισσαίων βασιλέως γυμνικὸν ἀγῶνα διατιθέντος ἐπὶ κατοιχομένῳ τῷ πατρὶ, παρεγένετο καὶ ὁ Περσεὺς ἀγωνίσασθαι θέλων. Ἀγωνιζόμενος δὲ πένταθλον τὸν δίσκον ἐπὶ τὸν Ἀκρισίου πόδα βαλὼν ἀπέκτεινεν αὐτόν. Καὶ οὕτω πέρας εἴληφεν ὁ χρησμός.

42 Αἴξ οὔπω τέτοκεν, ἔριφος δ' ἐπὶ δώματι παίζει: ἐπὶ τῶν οὔπω τεχθέντων καὶ ὁμοίως λεγομένων.

43 Αἰάντειος γέλως: ἐπὶ τῶν παραφρόνως γελώντων. Ὁ Αἴας γὰρ παραφροσύνην νοσήσας καὶ μανεὶς διὰ τὸ προτιμηθῆναι τὸν Ὀδυσσέα εἰς τὴν τῶν Ἀχιλλείων ὅπλων κατοχὴν, κατὰ τῶν Ἑλλήνων ξιφήρης ὥρμησε καὶ κατὰ τῶν βοσκημάτων προνοίᾳ θεῶν τραπεὶς ὡς Ἀχαιοὺς ταῦτα φονεύει. Δύο δὲ μεγίστους κριοὺς κατασχὼν ὡς Ἀγαμέμνονα καὶ Μενέλαον δεσμεύσας ἐμάστιξε καὶ κατεγέλα τούτων μαινόμενος. Ὕστερον δὲ σωφρονήσας ἑαυτὸν κτείνει.

στραμμένους: Heynius ad Apoll. I, p. 143 πρὸς βασιλέα ἀπεστραμμένος conjecit. 2. legebatur ἐπὶ Σεριφου: e P Apollod. correxit Gaisfordus. Γοργόνης P. 3. ὡσαύτως καὶ P. 11. Quum Schol. ad Apoll. Rhod. Persei tempore quinquertium in usu fuisse neget, Heynius ad Apoll. I, p. 145 aut vocem πένταθλον ejiciendam esse contendit, aut aliqua deesse. Cui quamquam Dissenus ad Pind. Isthm. I, 26, p. 486 ed. Boeckh. assensus est, tamen quinquertium a nonnullis fabulae enarratoribus hic nominatum esse, ipsam illam Scholiastae annotationem indicare putaverim. τὸν δίσκον] τὸν e P Apollod. adjecit Gaisfordus. 14. δ' om. P. editt. vett.: e B Suida, aliis adjecerunt Schottus et Gaisfordus. δώματος B codd. Zenobii, Diog., Arsenius: δώματα Apost. Macar. Schott. Gaisfordus: correxit Walzius ad Arsen. 30. 15. B τιχθ. ἢ γεγονότων, λεγομένων δὲ, Macar. καὶ ὁμοίων τι λεγόντων: Fixius in Steph. Thes. I, 1010 conjecit λεγόμενον: ego scripsi ὁμοίως. 17. B, uti semper, narrationem ignorat.

42. B. 70. Diogen. I, 40. Apost. II, 17. Arsen. 30 ibiq. Macarius. Cf. Aesopi fab. V Schneid., 328 Fur.

43. B. 71. 160. Diog. I, 41. Apost. II, 16. Arsen. 29 ibiq. Macar.: Suidas. Natum est e Soph. Ajac. 303: alludit Lucian. quom. hist. conscr. op. §. 26: ἐπέθηκε Αἰάντειόν τινα τὴν κορωνίδα: alios vide ap. Osannum de Soph. Aiac. Comm. 61.

44 Ἄχρι κόρου: παροιμία ἦν, ὅτι, ἄχρι κόρου ἐκεῖνος ἀναίσθητος ἐστιν· καὶ· οὗτος ἄχρι κόρου ἐφενάκισεν.

45 Ἄειδε τὰ Τέλληνος: ἐπὶ τῶν σκωπτικῶν τίθεται ἡ παροιμία. Τέλλην γὰρ αὐλητὴς ἐγένετο καὶ μελῶν ποιητής, παίγνιά τε κατέλιπεν εὐρυθμότατα καὶ χάριν ἔχοντα πλείστην καὶ σκώμματα κομψότατα.

46 Αἰθίοπα σμήχων: ἐπὶ τῶν μάτην ἀνήνυτον ἔργον ἐπιτελούντων.

47 Αἰσώπειον αἷμα: ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσι καὶ κακοῖς συνεχομένων· ἐπειδὴ τοῖς [Δελφοῖς] ἀδίκως τὸν Αἴσωπον ἀνελοῦσιν ὠργίσθη τὸ δαιμόνιον· καὶ διὰ τοῦτο τὴν Πυθίαν φασὶν ἀνηρηκέναι αὐτοῖς, ἱλάσκεσθαι τὸ ἐπὶ Αἰσώπῳ μύσος. Οὕτω γὰρ θεοφιλὴς ἐγένετο ὁ Αἴσωπος, ὡς μυθεύεται αὐτὸν ἀναβιῶναι ὡς Τυνδάρεων καὶ Ἡρακλῆν καὶ Γλαῦκον.

---

1. παροιμία — ἐφενάκισεν] B om. 2. ἀναίσθητός· ἐστιν γὰρ οὗτος Schottus: correxit Gaisfordus e PF. ἢ οὗτος conjecit Schottus: καὶ notante Gaisfordo voluisse videtur ed. Hag., sed compendio alieno usus est typographus. 8. B ἐπὶ τῶν μάτην καὶ ἀνηνύτων· ὁμοία τῇ χύτραν ποιεῖλλετε: vid. Diogen. I, 45. 11. Δελφοῖς e Suida, Apost., Arsen., Diogen. addiderunt Schottus et Gaisfordus. 12. καὶ διὰ τοῦτο τ. Π. ἱλάσκεσθαι ἐπὶ τὸ Αἰσώπου μύσος B. 14. γὰρ] δὲ B. 15. μυθεύεσθαι B. 16. Τυνδάρεων vulgo: e P B Gaisfordus emendavit.

44. B. 73. Apost. V, 27. Arsen. 89: Bekk. Anecdd. I, p. 28, 17. p. 475, 22. Bachmann. Anecdd. I, 176, 25. Suidas. Posteriorem locum ad Demosth. de fals. legat. 400 R. referendum esse, ad Suidae l. c. monuit Gaisfordus: ὑπομνήσω, ἵν' εἰδῆθ', ὅτι τὸ ψυχρὸν τοῦτο ὄνομα, τὸ ἄχρι κόρου, παρελήλυθ' ἐκεῖνος φενακίζων ὑμᾶς.

45. Cf. infr. II, 15.

46. B. 76. Diog. I, 45. Plut. in Boiss. Anecdd. I, 395. Apost. I, 98. Arsen. 28 ibiq. Macar.: Suidas. Proverbium, ex Aesopi fab. CCIV Fur. ductum, usurpat Lucian. adv. Indoct. §. 28: καὶ κατὰ τὴν παροιμίαν, Αἰθίοπα σμήχειν ἐπιχειρῶ: add. ejusd. Epig. in Anth. Palat. XI, 428: εἰς τί μάτην νίπτεις δίμας Ἰνδικόν; ἴσχεο τίχνης, Οὐ δύνασαι δνοφερὴν νύκτα καθηλιάσαι: Theodor. Metoch. Misc. p. 447: σμήχειν ἔσται μᾶλλον Αἰθίοπα μετὰ τῆς παροιμίας ὡς ἀδύνατον τοῦτο προβαλλομένης, ἢ χρώματα μεταλλάττειν ψυχῶν γνωστικά: Tzetz. περὶ παιδ. ἀγωγ. vs. 223: μισεῖ τὸ λευκὸν ὥσπερ οἶδας Αἰθίοψ, Μέλαν δὲ κρεῖττον μορίων λευκῶν ἔχει.

47. B. 77. Diog. I, 46. Apost. II, 5. Arsen. 30 ibiq. Macar.: Suid., Zonar. 90. De Aesopi morte cf. Plut. de sera num. vind. c. 12 p. 557 A, ubi etiam proverbium nostrum explicatur; add. Grauertus de Aesopo et fab. Aesop. diss. 57 sqq. De Tyndareo vid. Schol. ad Pind. Pyth. Γ, 96, Apollod. III, 10, 3 ibiq. Heynii Observv.: de Glauco, Apollod. III, 3, 1 ibiq. Heynius, Apost. VI, 32, Fischerus ad Palaeph. XXVII.

48 *Αἰγιέες οὔτε τρίτοι οὔτε τέταρτοι: ἐπὶ τῶν εὐτελῶν καὶ μηδενὸς ἀξίων. Οἱ γὰρ Αἰγιεῖς οἱ ἐν Ἀχαίᾳ νικήσαντες Αἰτωλοὺς τὴν Πυθίαν ἐξηρώτων, τίνες εἰσὶ κρείττονες τῶν Ἑλλήνων· ἡ δὲ εἶπεν,*

Ὑμεῖς δ' Αἰγιέες οὔτε τρίτοι οὔτε τέταρτοι.

49 *Ἀκαρπότερος εἰ Ἀδώνιδος κήπων: ἐπὶ τῶν μηδὲν γενναῖον τεκεῖν δυναμένων εἴρηται ἡ παροιμία· μέμνηται αὐτῆς Πλάτων ἐν Φαίδρῳ. Γίνονται δὲ οὗτοι οἱ κῆποι τοῦ Ἀδώνιδος εἰς ἀγγεῖα κεράμεια σπειρόμενοι ἄχρι χλόης μόνης· ἐκφέρονται δὲ ἅμα τελευτῶντι τῷ θεῷ καὶ ῥιπτοῦνται εἰς κρήνας.*

---

1. legeb. *Αἰγιεῖς.* 2. *οἱ ἐν Ἀχαίᾳ* om. B. 5. legeb. *Αἰγιεῖς.* Post *τέταρτοι* B addit: *τινὲς δέ φασιν ἐπὶ Μεγαρέων λεχθῆναι.* 7. *εἴρηται ἡ παροιμία* om. V. *μέμνηται αὐτῆς*] V *μέμνηται καὶ.* 8. V *ἐν Φαίδωνι.* 9. *τοῦ Ἀδώνιδος* om. V. 10. *χλόαν μόνον* Schottus, *χλόης μόνον* P. Gaisfordius: V *χλόης μόνης*, Valckenarius ad Theocrit. Adoniaz. p. 396 B. Post vocem *μόνης* V addit: *λέγεται δὲ καὶ· Ἀκαρπότερος Ἀδώνιδος κήπου.*

48. B. 79. Diog. I, 47. Apost. I, 80. Arsen. 26: Tzetz. Chiliad. IX, 890, Eustath. ad Hom. Il. *B*, 574 p. 292, 6: Steph. Byz. s. *Αἴγιον*: Phot. s. *ὑμεῖς ὦ Μεγαρῆς*: — — *ἱστορεῖ δὲ Μνασίας, ὅτι Αἰγιεῖς οἱ ἐν Ἀχαίᾳ καταναυμαχήσαντες Αἰτωλοὺς καὶ λαβόντες πεντηκόντορον αὐτῶν, δεκάτην Πυθοῖ ἀνατιθέντες ἠρώτων, τίνες κρείττονες εἶεν τῶν Ἑλλήνων· ἡ δὲ Πυθία ἔχρησεν αὐτοῖς τὰ προκείμενα* [oraculum in antecedentibus Phot. adscripsit]· *καὶ Ἴων δὲ Αἰγιεῦσι δοθῆναι τὸν χρησμὸν ἱστορεῖ· τινὲς δὲ οἴονται Μεγαρεῦσιν εἰρῆσθαι αὐτὸν καὶ προφέρονται· ὑμεῖς δ', ὦ Μεγαρεῖς, οὔτε τρίτοι ο. τ., ὡς καὶ Καλλίμαχος ἐν τοῖς ἐπιγραμματίοις* [Ep. XXVI Bentl.]: Suid. s. *ὑμεῖς δ' ὦ Μεγαρεῖς*, s. *Αἰγιεῖς.* Oraculum, ex quo adagium petitum est, integrum extat ap. Schol. ad Theocr. XIV, 73, Anth. Palat. XIV, 73, ubi vid. Jacobsius: quod quum alii Megarensibus (cf. Wuestemann. ad Theocr. l. c.) alii Aegiensibus (Strab. X, 1, 13 p. 449) datum esse contenderent, factum est, ut scriptores eo utentes modo ad hunc modo ad illum populum referrent: Liban. Epist. 1516: *ἀλλὰ νῦν ὁ μὴ ἐκείνων* (sc. *νόμων*) *μετέχων Αἰγιεὺς ἀτεχνῶς, οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ*: utrumque nominat Plutarch. Sympos. V, 7 p. 719 R.: *τῶν δὲ Δημοκριτείων, ἔφη, εἰδώλων, ὥσπερ Αἰγίων ἢ Μεγαρέων ἀριθμὸς οὐδεὶς οὐδὲ λόγος*, ubi male Reiskius *Αἰγινητῶν* legi voluit (cf. C. Muellerus Aegin. 130), quamvis ap. Eustath. Opusc. p. 257, 70 Taf. legatur: *διενήνεικται δὲ κατά τινα παροιμιακὸν Αἰγινήτην* (*μάλιστα μὲν οὖν Αἰγιέα*) *οὔτε δεύτερος καὶ οὔτε τρίτος ἢ ἄλλος πολλοστός*: add. Alciphr. Epist. III, 34: *ἡμῶν ὡς Μεγαρέων ἢ Αἰγιέων οὐδεὶς λόγος.* Alludit Demosth. pro Coron. §. 309.

49. Cf. ad Diog. I, 14: huc pertinent Vat. App. I, 4, Macar. ap. Walz. ad Arsen. p. 37: Eustath. ad Hom. Od. *Λ*, 590 p. 1701, 45: — *ἐπὶ τῶν ἀκάρπων καὶ ὠκυμόρων· κῆποι γὰρ Ἀδώνιδος φυτάρια ταχὺ ἀναθάλλοντα ἔσω χύτρας ἢ ἀῤῥίχου καὶ ὅλως κοφίνου*

50 *Ἄκαιρος εὔνοι· οὐδὲν ἔχθρας διαφέρει: ταύτην φασὶν Ἱππόλυτον εἰπεῖν πρὸς Φαίδραν φάσκουσαν φιλεῖν τε καὶ στέργειν αὐτὸν μάλιστα ὑπὲρ πάντας ἀνθρώπους.*

51 *Ἀκάνθιος τέττιξ: ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων λέγεται, παρόσον οἱ ἀκάνθιοι τέττιγες οὐκ ᾄδουσιν.*

---

1. εὔνοια B editt.: Barnesius ad Schol. Eurip. cit. εὔνοι· ἄκαιρος. ἔχθρου editt.: correxi e B, aliis: ceterum versus recte scriptus iam ap. Musgrav. Eurip. fragm. XVII exstabat. διαφέρει] διαλάσσει Schol. Eurip. 3. φιλεῖν αὐτὸν καὶ στέργειν παρὰ πάντας ἀνθρώπους B. 5. editt. Ἀκάνθιος: correxi e B, aliis: Steph. Byz. l. c.: τὸ ἐθνικὸν τοῦ Ἀκάνθου, Ἀκάνθιος, ἐξ οὗ καὶ παροιμία, ἀκανθιος τέττιξ, ἐπὶ τῶν ἀφώνων· τοιοῦτοι γὰρ οἱ τῆς χώρας τέττιγες, ὡς Σιμωνίδης: ἀκάνθιος igitur scribendum, ubi de cicadis ad urbem Acanthum degentibus sermo est: unde patet, cicadam, quae ἀκανθίας (Hesych. s. v., Schneider. ad Aelian. Hist. Anim. X, 44) dicitur, ab ἀκανθίῳ plane esse diversam: ἀκανθίας canit, ἀκάνθιος τέττιξ mutus est. B: ἐπὶ τῶν ἀφανῶν καὶ μάλιστα ἀμούσων, παρόσον οἱ Ἀκάνθιοι τ. ο. ᾄδουσιν· ὅθεν ἐρεῖς καὶ· ἀμουσότερος ἀκανθίου τέττιγος. 6. Ἀκάνθιοι edd.; correxi e B.

τινὸς, καὶ αὐτίκα ῥιπτούμενα κατὰ θαλάσσης καὶ ἀφανιζόμενα καθ' ὁμοιότητά τινα τοῦ κατὰ τὸν ὠκύμορον Ἄδωνιν θανάτου, ὃς ἀνθήσας νεοτήσιον ταχὺ ἀπήνθησε, καταβληθεὶς ὑπὸ Ἄρεος κατὰ τὸν μῦθον· γυναῖκες [cf. Ammian. Marcell. XIX, l. fin.] δὲ τοὺς τοιούτους τημελοῦσαι κήπους ὡσίουν ἐπιταφίους Ἀδώνιδι: Suid. s. Ἀδώνιδος κῆποι, s. ἀκαρπότερος Ἀδώνιδος κήπου, Zonar. p. 41. Phavorinus. Athenienses circa Adoniorum tempus θρίδακας (Athen. II, 69 A. Eustath. ad Hom. Il. X, 499), μάραθρα (Hesych. s. Ἀδώνιδος κῆποι, Suid.), πυρούς et κριθάς (Schol. ad Theocr. XV, 113) in testas conserebant, quae quum celerrime germinarent, brevi etiam tempore arefiebant et nullum praebebant fructum: Theocr. l. c.: hae testae Adonidis horti nuncupatae proverbio originem dederunt. Usurpavit Eurip. Melanippa: Schol. Platon. 319 Bekk.: Plat. Phaedr. 276 B: ὁ νοῦν ἔχων γεωργὸς, ὧν σπερμάτων κήδοιτο καὶ ἔγκαρπα βούλοιτο γενέσθαι, πότερα σπουδῇ ἂν θέρους εἰς Ἀδώνιδος κήπους ἀρῶν χαίροι θεωρῶν καλοὺς ἐν ἡμέραισιν ὀκτὼ γιγνομένους, ἢ ταῦτα μὲν δὴ παιδιᾶς τε καὶ ἑορτῆς χάριν δρῴη ἄν, ὅτε καὶ ποιοῖ κτλ.: Plutarch. de sera num. vind. c. 17 οὐκ ὠγαθε — ἀλλὰ μικρὸς οὕτω καὶ πενόσπουδος ὁ θεός ἐστιν, ὥςτε — — ποιεῖσθαι λόγον τοσοῦτον, ὥςπερ αἱ τοὺς Ἀδώνιδος κήπους ἐπ' ὀστράκοις τισὶ τιθηνούμεναι καὶ θεραπεύουσαι γυναῖκες: Epictet. Enchir. IV, 8, 36: ἂν δὲ πρὸ τοῦ γόνου φῦσαι τὸν στάχυν ἐξενεγκῇ, ἀτελές ἐστιν, ἐκ κήπου Ἀδωνιακοῦ: Julian. Caesar. c. 24 p. 319 Spanh., Theophr. Hist. Plant. VI, 7, 3, Causs. Plant. I, 12, 2: cf. Wyttenbach. ad Plut. l. c., Bast. Epist. Crit. p. 191.

50. B. 80. Diogen. I, 48. Apost. II, 20. Arsen. 34 ibiq. Macar.: Schol. ad Eurip. Hippol. 592: Suid. s. ἄκαιρος. Euripidis esse recte negant Porsonus ad Eur. Hecub. praef. p. XIX, Matth. ad Eurip. Tragg. T. IX. p. 184.

51. B. 81. Diogen. I, 49. Apost. II, 30. XVIII, 33. Arsen. 36. 441: Steph. Byz. s. Ἄκανθος,

52 Ἀκεσίας ἰάσατο: ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἰωμένων. Ὅλην δὲ Ἀριστοφάνης ἐν τετραμέτροις † ἐκφέρει λέγων, Ἀκεσίας τὸν πρωκτὸν ἰάσατο. Ἀκεσίας γάρ τις ἐγένετο ἰατρὸς ἀφυὴς, ὃς τὸν πόδα τινὸς ἀλγοῦντος κακῶς ἐθεράπευσεν.

53 Ἀκκώ: ἐπὶ τῶν μωραινόντων. Ἡ γὰρ Ἀκκὼ γυνὴ γέγονεν ἐπὶ μωρίᾳ διαβεβοημένη, ἣν φασιν ἐσοπτριζομένην τῇ εἰκόνι ὡς ἑτέρᾳ διαλέγεσθαι· ἔνθεν καὶ τὸ Ἀκκίζεσθαι περὶ ταύτην λελέχθαι.

---

2. τετραμέτροις codd.: scribendum aut τετραμέτρῳ: v. Eustath. ad Hom. Il. 1, 741, 23: εἶτα παραγαγόντες Φερεκράτους χρῆσιν ἐν ἰάμβῳ, τὸ, δώσει δέ σοι κτλ.: Clem. Alex. Stromm. VI, 627 A: Εὐριπίδης ἐν ἑξαμέτρῳ χρήσει: aut statuendum, v. τετραμέτροις parabaseos epirrhema significari. Aliis alia placuerunt: Ἀριστοφάνης ἐν τετάρτῳ ἀμέτρων vel ἐν τοῖς ἀμέτροις proposuit Dobraeus ad Aristoph. T. IX, 2 p. 194 ed. Invern.: Gaisfordus ad n. l. reponendum suspicatur Ἀρχίλοχος et versum judicat priorem esse tomen asynarteti, qualem ab Archilocho compositum tradiderit Hephaest. c. 6 et 15: mihi, quamquam etiam Bernhardius ad Suid. I, 158 de Aristophane grammatico cogitat, Fabricius B. Gr. T. V, 112 Harl. et Zellius *Ferienschr.* I, 116 recte de Comico cogitasse videntur. Ante ἐκφέρει B addit τὴν παροιμίαν. λέγων in B post ἰάσατο legitur. 3. Scribe: τὸν δὲ πρωκτὸν Ἀκεσίας ἰάσατο. Ἀκεσίας — ἐθεράπευσεν om. B: ἔοικε δὲ Ἀκεσίας πρὸς τὸ χεῖρον θεραπεῦσαι V. 4. πόδα] Plutarchus πρωκτόν. 6. B: ἐπὶ τ. μωρ.· γεγονεν γὰρ ἡ Ἀκκὼ γυνὴ ἐπὶ μωρίᾳ διαβαλλομένη, ἀφ' οὗ [sic] καὶ τὸ Ἀκκίζεσθαι ἤτοι θρύπτεσθαι. 7. ἣν φασὶν editt. 8. legebatur ἑτέρῳ.

Suid. s. ἄκανθα, s. τέφρα, Etym. Magn. 45, 10, Phavor. s. ἄκανθα, s. ἀκανθίς. Proverbium e Simonide ductum videtur: cf. Schneidewinus ad Simonid. Cei Carm. Rell. p. 109. De cicadis mutis v. Wesselingius ad Diodor. IV, 22. Jacobsius ad Aelian. Nat. Anim. III, 35. V, 9.

52. B. 82. Diog. II, 3. Arsen. 35. Plut. Provv. 98: Suidas. Alludit Liban. Ep. 319: συνήλγουν μὲν ἐπὶ τοῖς πόνοις, συνηχθόμην δὲ τῇ πόλει, πολλοὺς τρεφούσῃ τοὺς Ἀκεσίας: id. Epist. 1134 fin. Voc. Acesias ab ἀκεῖσθαι derivat et cum Acumeno, Acestino componit Coraes ad Hellod. T. II, 143: add. Bekk. Anecdd. I, 317, 19: Ἀκεσίας ἀντὶ τοῦ ἰατρός.

53. B. 83. Diog. II, 4. Plutarch. 65. Apost. I, 71: Schol. ad Plat. Gorg. 497 A, p. 353 Bekk.: τὸ ἀκκίζεσθαι ἐκ γυναικὸς εἰρῆσθαί φασιν Ἀκκοῦς καλουμένης, ἣν οὕτως εὐήθη λέγουσιν, ὡς ἀπὸ τοῦ ἱστοῦ θοιμάτιον καθελομένην ἡμίεργον ἀμφιέσασθαι, εἴς τε τὸ κάτοπτρον βλέπουσαν πρὸς τὴν παρ' αὐτῆς ἔμφασιν εἰς αὐτὸ γιγνομένην ὡς ἑτέρᾳ προσλαλεῖν γυναικί· μέμνηται ταύτης Ἑρμιππος ἐν Ἀθηνᾶς γοναῖς καὶ Ἄμφις ἐν τῷ ὁμωνύμῳ αὐτῆς δράματι: add. Olympiodor. ad Plat. l. c., Eustath. ad Hom. Il. Z, 201 p. 636, 58. Schol. ad Lucian. Lexiph. §. 19: Tzetz. Chiliad. IV, 875: Hesych. s. Ἀκκός ibiq. intt., Etym M. 49, 3. 574, 14. Etym. Gud. 26, 20. Orion ad calcem Etym. Gud. 622, 11. Suid. s. ἀκκιζόμενος, Zonar. s. ἀκκισμοί p. 100, s. Ἀκκώ p. 108, s. ἀκκίζεται p. 114. Bekk. Anecdd. I, 364, 32. 211, 28. Bachm. Anecdd. I, 54, 13. Aliter statuit Plutarchus Stoic. Repugn. c. 15 p. 1040 B., Acco et Alphito puerorum terriculas esse narrans. Acco Samiam fuisse Apost. VIII, 78. Arsen. 238.

54 Ἄκουε τοῦ τὰ τέσσαρα ὦτα ἔχοντος: ἐπὶ τῶν ἀπειθούντων. Χρησμὸς γὰρ ἐδόθη Ἐντίμῳ τῷ Κρητὶ καὶ Ἀντιφήμῳ τῷ Ῥοδίῳ, φυλάξασθαι τὸν τετράωτον· ἦν δὲ οὗτος λῃστὴς Φοῖνιξ· οἱ δὲ τοῦ χρησμοῦ ἀμελήσαντες ἀπώλοντο. Ἢ ἐπὶ τοῦ πολλὰ ἰδόντος καὶ πολλὰ ἀκούσαντος, ὡς Ἀριστοφάνης φησίν. Ἄλλοι δὲ, τὴν παροιμίαν παραγγέλλειν τῶν ἀληθευόντων ἀκούειν· οὐδεὶς γὰρ ἀψευδέστερος τοῦ Ἀπόλλωνος, ὃν τετράχειρα καὶ τετράωτον ἱδρύσαντο Λακεδαιμόνιοι, ὡς φησι Σωσίβιος, ὅτι τοιοῦτος ὤφθη τοῖς περὶ Ἀμύκλαν μαχομένοις.

55 Ἀκίνητα κινεῖν: καθ' ὑπερβολήν, ὅτι μὴ δεῖ κινεῖν μήτε βωμοὺς, μήτε τάφους ἢ ἡρῷα.

56 Ἀκεσέως καὶ Ἑλικῶνος ἔργα: ἐπὶ τῶν θαύματος ἀξίων. Οὗτοι γὰρ πρῶτοι τὸν τῆς Πολιάδος Ἀθηνᾶς πέπλον ἐδημιούργησαν, ὁ μὲν Ἀκεσεὺς γένος ὢν Παταρεὺς, ὁ δὲ Ἑλικὼν Καρύστιος.

57 Ἄκρον λάβε, καὶ μέσον ἕξεις: ἐπὶ τῶν δυς-

---

1. τὰ om. B C. τέτταρα B. ἐπὶ τῶν — ἄλλοι δέ B om. 2. εὐπειθούντων Schottus: e P C correxit Gaisfordus. κριτῇ C. 3. τῷ Ῥοδίῳ om. C. τοῦ τετραώτου C. 4. Φοῖνιξ om. C. ἀμελήσαντες τοῦ χρ. C. 5. ἢ ἐπὶ — μαχομένοις om. C. 6. ἡ παροιμία παραγγέλλει B. 10. ὤφθη] B ἐφάνη. Ἀμύκλας B, qui μαχομένοις om. 11. κινεῖς B, qui explicationem om.: Ἀ. κινεῖ· ἐπὶ τῶν μάτην πονούντων C. 13. legebatur Ἀκίσεως: correxi e B. 14. Παλλάδος Ἀθηνᾶς B. 15. ὁ μὲν] ἦν δὲ ὁ μὲν Ἀ. γένος Παταρῶν B. 17. δυσφορωτάτων B 87, qui verba inde a vv. οἱ γὰρ omittit.

alii affirmant. Usurpant Synes. Ep. 110. Tzetz. Epist. ap. Hamaker. in Bibl. Crit. Nov. T. IV, 379: alios afferunt Ruhnkenius ad Tim. Lex. 18. Boissonadus Anecdd. III, 214.

54. B. 84. C. 7. Diog. II, 5. Apost. II, 22. Arsen. 34. De Apolline cf. O. Muelleri Dorr. I, 358: add. Hesych. s. κυναικίας, s. κουρίδιον. Sosibius Laco de his sine dubio in libro περὶ θυσιῶν τῶν ἐν Λακεδαίμονι exposuerat: cf. Vossius Hist. Gr. I, c. 15. De pugna Amyclaea vid. O. Muellerus l. c. 91.

55. B. 85. C. 5. Diog. II, 6. Plut. Prov. ap. Boiss. Anecdd. I, 395. Apost. II, 33. Arsen. 36 ibiq. Macar. et p. 356: Schol. ad Plat. Theaet. 181 A, p. 364 Bekk., Etym. M. 48, 35. Suid. s. v. et s. μὴ κινεῖν. Fons proverbii Hesiod. Opp. 748 videtur: usurpant Soph. Oed. Col. 1526. Antig. 1060. Thucyd. II, 24, 1, ubi vid. Dukas, Plat. l. c., Legg. XI, 913 B, Heliod. VI, 15: v. Winkelmannus ad Plut. Amator. c. 12. Weichertus Poett. Latt. Rell. 196.

56. B. 86. Diog. II, 7. Apost. II, 27. Arsen. 35 ibiq. Macarius. De Aceseo et Helicone vid. Voelkelius *Archaeol. Nachlass* I, p. 118 sq., cui addi potest, Heliconem a Plutarcho Alex. 32 Rhodium dici.

57. Vat. App. I, 5. B. 87. 207. C. 2. Apost. II, 26. Arsen. 35: Suidas s. ἄκρον λάβε. Ad Aeginam retulit C. Muellerus Aeginet. p. 185: vereor, ut recte.

φράστων καὶ δυσνοήτων. Οἱ γὰρ τὴν Αἴγιναν οἰκήσαντες, πολέμῳ ἐκπεσόντες τῆς πατρίδος, ἐχρήσαντο τῷ θεῷ· ὁ δὲ τὸ εἰρημένον αὐτοῖς ἀνεῖλεν· οἱ δὲ συμβαλόντες τὸν χρησμὸν, ἀκρωτήριόν τι κατασχόντες κατὰ μέσον ᾤκησαν. Ἀπὸ δὲ ταύτης τῆς αἰτίας ὅταν τι δυσνόητον θέλωμεν αἰνίττεσθαι, χρώμεθα τῷ προειρημένῳ.

58 *Ἀκόνην σιτίζειν: ἐπὶ τῶν τροφῇ μὲν πολλῇ χρωμένων, μηδὲν δὲ εἰς τὸ σῶμα ἐπιδιδόντων.*

59 *Ἀκέφαλος μῦθος: ἐπὶ τῶν ἀτελῆ λεγόντων. Πλάτων· Ἐὰν μῦθον ἀκέφαλον ἐκὼν καταλίποιμι.*

60 *Ἀκαρπότερος ἀγρίππου: ἐπὶ τῶν πάνυ πενομένων εἴρηται. Λάκωνες γὰρ τὴν ἀγρίαν ἐλαίαν ἄγριππον καλοῦσιν.*

---

1. C: *δυσνοήτων· πρὸς γάρ τινας τοῦ Ἀπόλλωνος ἀνελόντος πυθομένους ποῦ οἰκήσουσι, καὶ εἰπόντος Ἄκρον λ. κ. μ. ἔξ., καὶ μὴ διανενοηκότας τὸν χρησμόν. Ἀπὸ τούτου ἐκρατήθη ἡ παροιμία.* B 207: *Ἀ.-ἔξεις: Ἀπελλαῖοι (!) περισωθέντες ἀπὸ τοῦ περὶ Κλεισθένην πολέμου ἐπυνθάνοντο τοῦ θεοῦ πότερον τὴν προτέραν αὐτῶν ἀποικήσειαν πόλιν ἢ ἑτέραν ποιήσουσιν. Ἀπεκρίνατο δὲ ἡ Πυθία, Πείθου ἐμοῖσι λόγοισιν ἄκρον λάβε, καὶ μέσον ἕξεις· Καὶ* [V., in quo antecedentia desunt, *κατ'*] *ἄκραν* [lege *ἄκρον*] *ἔχουσαν τὴν πόλιν ᾤκησαν καταλαβόμενοι. Ἡ ἱστορία παρὰ Ἀλεξάνδρῳ* [sic A, *Ἀναξανδρίδῃ* B V] *ἐν πρώτῃ περὶ τῶν συληθέντων ἐν Δελφοῖς ἀναθημάτων.* Alexandri *ἐν πρώτῳ περὶ τοῦ ἐν Δελφοῖς χρηστηρίου* meminit Steph. Byz. s. *Παρνασός*: vid. Hemsterh. ad Arist. Plut. p. 324. Meinek. Q. Scen. Sp. III, 25. Clinton. Fast. Hell. III, 539. *νικήσαντες πολέμῳ*, editt.: correxit Valckenarius ap. Gaisf. 7. *σιτίζεις* B. *μὲν* om. B. 8. *καὶ μηδὲν εἰς* B. *ἐπιδόντων* editt.: correxi e B, aliis. 10. *μέμνηται ταύτης Πλάτων, μῦθον ἀκέφαλον, εἰπών, καταλίποιμι*; B. *ἐκὼν*] *εἰπὼν* P editt. vett.: e Platone correxit Schottus. 11. *τῶν μάτην πεν.* B. 12. *εἴρηται* om. B. *ἀγρίππαν καλ., λεπτόφυλλον καὶ πλεῖον αὐξανομένην πηγάνου* B.

58. B. 88. Diog. II, 2. VI, 31. Greg. Cypr. I, 37. Apost. II, 38. Arsen. 36 ibiq. Macarius: Suidas. Theod. Prodr. in Manuscr. de la Bibl. du Roi VIII, 2 p. 83: — *ὁποίους ἐν ταῖς σκηναῖς ἀνθρωπίσκους εἰσάγομεν διασκευάζοντες αἰθιωπικώτερον, ὑστὸς τὸ δέρμα, καὶ τὰς γνάθους οἱονεὶ διαπεπερονημένας, ἀκόνη, εἶπεν ἄν τις, σιτιζομένη κτλ.*

59. B. 89. Diog. II, 9. Apost. II, 32. Arsen. 36 ibiq. Macar.: Bekk. Anecd. I, 371, 20. Suid., Zonar. 98. Plat. Legg. VI, 752 A: *οὔκουν δήπου λίγων γε ἂν μῦθον ἀκέφαλον ἐκὼν καταλίποιμι*: Phaedr. 264 C. Phileb. 66 D. Gorg. 505 D: vid. C. F. Hermannus ad Lucian. quom. hist. conscr. op. c. 23 p. 154.

60. B. 193. Diog. II, 63. Apost. I, 27. Arsen. 16. Macarius 37: Suid. s. *ἄγριππος*, s. *ἀκαρπότερος ἀγρ.*, Zonar. s. *ἄγριππος* p. 20. De arbore vid. Hesych. s. *ἄγριφος* et Billerbeckii Flor. Class. p. 5.

61 Ἄκρῳ ἅψασθαι τῷ δακτύλῳ: ἐπὶ τῶν οὐκ ἀκριβῶς ἡσκημένων· οἷον· Οὐδὲ κατὰ τὴν παροιμίαν ἄκρῳ τῷ δακτύλῳ ἁψάμενος.

62 Ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν: ἐπειδὴ τοῖς κοινωνήσασι τούτων φίλοις χρῆσθαι δεῖ.

63 Ἄλμη οὐκ ἔνεστ' αὐτῷ: ἐπὶ τοῦ ἁλυκοῦ καὶ ἀηδοῦς κατ' εἰρωνείαν εἴρηται.

64 Ἀλλ' ὥσπερ ἥρως ἐν ἀσπίδι ξενίσαι σε βούλομαι: ἐπὶ τούτων εἴρηται, οἱ τοῖς αὐτῶν ἔργοις

---

1. τῷ om. B. 2. οἷον adjeci e B. 3. ἁψάμενος petii e Luciano: legeb. ἁψαμένων: B ἀκρῷ ἁψάμενος δακτύλῳ ἠπίστατο. 4. Lege ἠδὲ τράπεζαν. ἐπειδὴ] F ἐπὶ. C: τὴν Θέμιν φασὶ χρηστηριάζουσαν παραινεῖν ταῦτα μὴ παραβαίνειν, ἢ ὅτι ἔκειντο ἐν τῷ μαντείῳ ἢ ὅτι τοῖς κοινωνήνασι (sic) τούτων φίλοις χρῆσθαι δεῖ. Eadem fere apud Macarium leguntur. 6. ἔνιστιν B. γλυκὺς καὶ ἀηδοῦς B V: ἁλικοῦ editt. ante Schott.: ἁλυκοῦ de conjectura edidit Schottus, e P F Gaisf. 9. Legeb. αὐτῶν.

61. B. 90. Diog. II, 10. Greg. Cypr. I, 34. Apost. II, 35. Arsen. 37 ibiq. Macarius. Exemplum e Lucian. Vit. Demon. §. 4. petitum est: add. Auct. Iphigen. Aul. 950: οὐχ ἅψεται σῆς θυγατρὸς Ἀγαμέμνων ἄναξ, Οὐδ' εἰς ἄκραν χεῖρ', ὥστε προσβαλεῖν πέπλοις: Arist. Lysist. 443. Lucian. Amor. §. 42, quom. histor. conscr. oport. §. 4, ubi C. F. Hermann. ἄκρῳ τῷ ὄνυχι, ἄκρα τῇ ῥινὶ comparat: Himer. Oratt. XXIII, 12: cf. Mitschel. ad Aristoph. Ach. 582. Creuzer. Init. Philos. Plat. T. II, p. 6. Fabrottus ad Theophili Paraphr. Instit. IV, 18, 12. Etiam Latini adhibuerunt: Cicero pro Cael. c. 12.

62. B. 91. C. 3. Diog. II, 11. Arsen. 38 ibiq. Macarius. De sale, amicitiae imagine, vid. Eustath ad Hom. Il. *A*, 449 p. 100, 3. Lobeck. Aglaoph. I, 88 et sup. 1, 25. Proverbium primus usurpavit Archilochus: fr. 82. Lieb., 75. Schneidew., ibiq. annott.: add. Aristot. Eth. ad Nicomach. VIII, 4. Theodor. Hyrtac. in Boiss. Anecd. T III, 16: οὐ τῆς αὐτῆς τραπέζης ἀπεσιτεῖτο οὐδὲ τῶν αὐτῶν τοῖς ἄλλοις ἁλῶν ἐκοινώνει: Georg. Lapith. vs. 773 in Manuscr. de la Biblioth. du Roi XII, 2, p. 45: ἡ δὲ τραπέζης τῆς αὐτῆς καὶ ἁλῶν κοινωνία Τοσοῦτον πᾶσιν ἔδοξεν αἰδέσιμος ἀρχαίοις Ὡς καὶ νόμον εἰσαγαγεῖν τοὺς κοινωνοὺς τραπέζης Γεγονότας μὴ ἀνελεῖν ἐξεῖναι τὸ παράπαν: cf. Boissonadius ad Archil. in Poett. Gr. Syll. T. XV, 182.

63. B. 92. Diog. II, 12. Greg. Cypr. I, 25. Apost. II, 49. Arsen. 41 ibiq. Macar.: Suid.: Eustath. ad Od. *T*, 163 p. 1859, 52: καθὰ τῷ ἀπὸ δρυὸς ἢ πέτρης εἶναί τινά ἐστι παραχρήσασθαι παροιμιακῶς ἐπὶ ἀγριότητι, οὕτω καὶ τῷ ἀπὸ τῆς ἅλμης λόγῳ· καθ' ὃν ἐκ μὲν τῆς πικρᾶς ἀκραχολός τις ἄνθρωπος Ἁλμίων ἐσκώφθη, ἐκ δὲ τῆς νοστίμου, ἅλμην ἔχειν λέγεται ὁ ἡδὺς ἄνθρωπος: id. ad *X*, 285 p. 1927, 14: τὸ ἅλμην ἔχειν πῇ μὲν πικρὸν ἄνθρωπον σκώπτει, πῇ δὲ ἡδὺν παραδηλοῖ καὶ ὃ φασιν εὔνοστον. Usurpat Eustath. Opusc. p. 139, 66: similiter Latini: cf. Catull. 86, 4. Cic. Philipp. II, 8: vid. Ruhnkenii Dict. ad Terent. Eunuch. III, 1, 10. Philocles tragicus huc pertinet, qui Ἁλμίων dictus est: Schol. ad Arist. Av. 284.

64. Greg. Cypr. IV, 1. Apost. XXI, 20. Arsen. 489 ibiq. Macarius.

ἢ τέχναις χρώμενοι τοὺς φίλους εὐεργετοῦσι· παρόσον οἱ ἥρωες τὸ παλαιὸν ἔνοπλοι ὄντες ἐξενίζοντο.

65 Ἄλλοι κάμον, ἄλλοι ὤναντο: ἐπὶ τῶν παρ' ἐλπίδα κληρονομησάντων τὰ ἀλλότρια.

66 Ἀλλ' οὐδὲν δεῖ παρὰ τὸν βωμόν σε βουλεύειν: ὅτι μὴ χρὴ ἐν αὐτοῖς τοῖς πράγμασι βουλεύεσθαι, ἀλλὰ πρὸ τῶν πραγμάτων· παρόσον καὶ οἱ τὰ ἱερεῖα προσάγοντες πρὸ τοῦ καλλιερῆσαι βουλεύονται.

67 Ἀλλ' οὐκ αὖθις ἀλώπηξ: πάγαις ἁλώσεται λείπει· παρόσον ἅπαξ διαφυγοῦσα πάγας, δεύτερον οὐκ ἐμπεσεῖται. Εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν πονηρὸν συνοφάντην ἐκφυγόντων.

68 Ἀλεκτρυόνων μέμφεσθαι κοιλίαν: ἐπὶ τῶν περὶ τὸν βίον πολυτελῶν καὶ ἁβροδιαίτων.

69 Ἄλλο γλαὺξ, ἄλλο κορώνη φθέγγεται: ἐπὶ τῶν τοῖς κρείττοσιν ἐριζόντων· ἤτοι ἐπὶ τῶν ἀλλήλοις οὐ συμφωνούντων.

70 Ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα: ἐπὶ τῶν ἐξαπατᾶν ἐγχειρούντων τοὺς ὁμοίους.

---

4. τὰ ἀλλότρια B om. 5. βωμὸν βαστάζειν P, βουλεύειν idem in marg.: βωμὸν βαστάζειν τὰς ἐπινοίας C, βωμὸν τὰς ἐπινοίας B: vid. Diog. 6. τοῖς ἔργοις Schott.: πράγμασι e P B scripsit Gaisf. 8. πρὸ τοῦ] μετὰ τὸ C, P a prima manu, πρὸ τοῦ a secunda: οὐ μετὰ τὸ B: βουλεύονται P a pr. m., ἐβουλεύοντο a secunda. 9. B: λείπει τὸ ἁλώσιμος· ἅπαξ γὰρ διαφ. δεύτερον οὐχ ἁλώσεται. C: λείπει τὸ εἰς πάγην ἁλώσεται· παρ' ὅσον ἁλώπηξ πάγας φυγοῦσα δεύτερον οὐκ ἐμπίπτει. 11. εἴρηται — παροιμία B om. πονηρίαν καὶ συκοφαντίαν B. 12. ἐκφυγόντων editt., correxi e B. Verba εἴρηται — ἐκφυγόντων C om. 14. πολυτελῶν καὶ om. B. 16. ἤτοι] B C ἤ. ἀλλήλοις e B Diog. aliis scripsi: legebatur ἄλλοις, ut etiam in C exstat. 19. ἐπιχειρούντων B.

65. B. 93. Diog. II, 13. 75. Greg. Cypr. I, 38. Apost. II, 61. Arsen. 44 ibiq. Macar.: Suidas.

66. B. 94. C. 16. Diog. II, 14. Apost. II, 78. Arsen. 45.

67. B 95. C. 12. Diog. II, 15. Apost. II, 79. Arsen. 45: Suidas. Alludere Pindarus videtur Isthm. III, 65: Horatium Sat. II, 7, 70. respicere Mitscherlichius docuit Racem. VI, p. 9.

68. B. 96.

69. B. 97. C. 11. Diog. II, 16. Greg. Cypr. I, 39. Apost. II, 64. Arsen. 44 ibiq. Macar.: Suidas.

70 B. 98. Diog. II, 17. Greg. Cypr. I, 40. Apost. II, 62. Arsen. 48 ibiq. Macar.: Suidas. Arist. Vesp. 1241: οὐκ ἔστιν ἀλωπεκίζειν Οὐδ' ἀμφοτέροισι γίγνεσθαι φίλον: Aesop. fab. ap. Knochium de Babr. fab. p. 146, ubi cervus vulpi dicit: ἄλλους ἀλωπέκιζε τοὺς ἀπείρους, ἄλλους ποίει βασιλεῖς καὶ ἐρίθιζε: cf. ad Diogen. VII, 65.

71 Ἀλώπηξ οὐ δωροδοκεῖται: ἐπὶ τῶν οὐ ῥᾳδίως δώροις ἁλισκομένων.

72 Ἄλλως ἄδεις: ἐπὶ τῶν μάτην πονούντων.

73 Ἄλλοισι μὲν γλῶττα, ἄλλοισι δὲ γόμφιοι: παρόσον οἱ μὲν λάλοι, οἱ δὲ φάγοι.

74 Ἄλλα μὲν Λεύκων λέγει, ἄλλα δὲ Λεύκωνος ὄνος φέρει: λέγεται μὲν ἐπὶ τῶν ἀσυμφώνως τοῖς ἔργοις τοὺς λόγους παρεχομένων. Λεύκων γάρ τις γεωργὸς μέλιτος ἀσκοὺς εἰς φορμοὺς ἐμβαλών, ἐκόμιζεν Ἀθήναζε. Κριθὰς οὖν τοῖς φορμοῖς ἐμβαλών, ὡς ὑπὲρ κριθῶν ὀλίγον εἰσπραχθησόμενος τέλος, ἐκόμιζε. Τοῦ δ' ὄνου πεσόντος, οἱ τελῶναι βοηθῆσαι βουλόμενοι, ἔμαθον ὅτι μέλι ἐστὶ, καὶ ἀπηνέγκαντο αὐτὸ ὡς ἀτελώνητον.

75 Ἄλλην μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπειρρέει: ἐπὶ τῶν πονούντων καὶ οὐδὲν πλέον ἀνυόντων. Ἐπειδὰν γὰρ τῆς νεὼς ῥεούσης ἐξαντλῶσι τὸ ἐν τῇ ἀντλίᾳ ὕδωρ καὶ πλέον εἰσρέῃ, μάτην πονεῖν οἱ ναῦται δοκοῦσιν.

76 Ἀμεινόνων οἰωνῶν τυχεῖν: ἐπὶ τῶν ἐκ κακῶν εἰς ἀγαθὰ μεταβαινόντων.

---

2. ἁλισκομένων δώροις B. 4. γόμφιοι scripsi e B: legeb. γόμφοι. 5. παρόσον οἱ μὲν] B οἱ μὲν γὰρ. legeb. λαλοὶ. 6. Ἄλλα μὲν Λεύκωνος ὄνος, ἄλλα δὲ Λεύκων φέρει B: ἄλλα μὲν ὁ Λ. ὄνος φέρει, ἄλλα δὲ Λ. λέγει C, in quo explicatio om.: hinc Bernhardius ad Suid. versum composuit: ἄλλα μὲν οὖν Λεύκωνος ὄνος φέρει, ἄλλα δὲ Λεύκων. 7. λέγεται μὲν om. B. 8. τοὺς λόγους τοῖς ἔργοις B. 9. Legeb. φορμὸν. 10. οὖν in B om. et post Ἀθήναζε comma positum est. ἀπὸ κριθῶν B. 11. ἐκόμιζε om. B. 13. legeb. τὸ αὐτὸ: correxi e B. 14. ἐξαντλοῦμεν B. 15. πλέον οὐδὲν B. ἐπειδὰν sqq. om. B. 19. ἀγαθὸν B.

71. B. 99. Diog. II, 18. Greg. Cypr. 1, 26. Apost II, 48. Arsen. 46. In Bekk. Anecd. I, 218, 29 exstat ἀλώπηξ δωροδοκεῖται, de quo vid. Bergk. Comm. de Rell. Com. Att. 135.

72. B. 100. Diog. II, 19. Apost. II, 63. Arsen. 48 ibiq. Macar.: Suidas. Adhibet Aristaen. Epist. 1, 27: cf. Ruhnkenius ad Tim. Lex 166 c. additamentis Kochii.

73. B. 101. Diog II, 20. Greg. Cypr. 1, 41. Apost. II, 69. Arsen. 44: Suidas.

74. B. 102. C. 20. Diog. II, 21. Greg. Cypr. 1, 33. Apost. II, 69. Arsen. 41: Suidas. De narratione vid. Boeckh. Oecon. Ath. 1, 347: de Leucone, poeta comico, Mein. Q. Scen. Sp. II, 51.

75. B. 103. Diog. II, 22. Greg. Cypr. 1, 34. Apost. II, 65. Arsen. 41: Schol. ad Lucian. Hermot. §. 61: Suid., Bachm. Anecd. II. 347. Versus e tragico aliquo sumptus videtur: Athen. IV, 156. E: καὶ τῆς τραπέζης παρατεθείσης ἐδειπνοῦμεν Καὶ τὴν μὲν ἐξηντλοῦμεν (φακῆν), ἡ δ' ἐπειρρέει: ub. vid. Casaub.: add. Lucian. Timon. §. 18. Hermot. §. 61.

76. B. 104. Diog. II, 23. Apost. III, 2. Arsen. 52 ibiq. Macarius. Homer. Il. *M*, 243: εἷς οἰωνὸς ἄριστος ἀμύνασθαι περὶ πάτρης: Liban. Ep. 1205.

77 *Ἄμ' ἔπος, ἄμ' ἔργον: ἐπὶ τῶν ταχέως τε καὶ ὀξέως ἀνυομένων.*

78 *Ἀμελοῦς γωνία: ἐπὶ τῶν ἀργῶς καὶ ῥαθύμως καθημένων. Ἔστι δὲ καὶ χωρίον Λιβύης Ἀμελοῦς γωνία καλούμενον.*

79 *Ἀμουσότερος Λειβηθρίων: ἐπὶ τῶν ἀμούσων καὶ ἀπαιδεύτων. Λειβήθριοι γὰρ ἔθνος Πιερικόν ἐστιν, οὔτε μέλους ἁπλῶς οὔτε ποιήματος ἔννοιαν λαμβάνον. Λέγονται δὲ ἀμουσότατοι εἶναι, ἐπειδὴ παρ' αὐτοῖς ὁ τοῦ Ὀρφέως ἐγένετο θάνατος.*

80 *Ἄμμον μετρεῖν: ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνεφίκτων.*

81 *Ἄμ' ἠλέηται, καὶ τέθνηκεν ἡ χάρις: ἐπὶ*

---

1. *ταχίως καὶ* B Schott.: *τε* e P adjecit Gaisf. B. 510: *ἴδ' ἀφύη πῦρ: ὁμοία τῇ ἅμ' ἔπος, ἅμ' ἔργον.* 4. *ἔστι δὲ ... γωνία* B. *ἀμελῆς γωνία* editt.: correxi ex Apost. et Arsenio. 7. *περσικὸν* Schott.: *θρᾴκιον* aut *περκικὸν* proposuit Huetius ap. Boisson. ad Aristaen. Epist. 745: *πιερικὸν* B Diog., cod. Par. 1773 ap. Bast. Epist. Crit. 266., Arsen., Apost., Schott. in nota ad n. l., Albertius ad Hesych. s. *Λειβηθρον*, Gaisf. *ἐπὶ — πιερικὸν ἀμουσότατον, ἐν ᾧ καὶ τοῦ Ὀρφέως φασὶ γενίσθαι τὸν θάνατον* B: C: *Λιβηθρίοις γὰρ οὐδέποτε μέλους ἐμέλησε, τὸν Ὀρφέως φοβηθεῖσι θάνατον*: cod. S Germani ap. Bast. Ep. Crit. l. c.: *ἄμουσα, ἀτερπῆ· καὶ ἀμουσότερος Λειβηθρίων· Λειβηθρίοις γὰρ οὐδέποτε μέλους ἐμέλησε, τὸν Ὀ. φοβηθεῖσι θάνατον.* 11. *καὶ ἀνεφ.* om. B.

77. B. 105. 510: Diog. II, 24. Apost. III, 11. Arsen. 51 ibiq. Macar.: Eustath. ad Hom. Il. *T*, 236, p. 1182, 30: Suid. s. *ἅμ' ἔπος*, s. *ἴδ' ἀφύη*: vid. Zenob. II, 32. Proverbium ex Hom Il. l. c. ortum: *αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἦν, τετέλεστο δὲ ἔργον*: Hymn. in Mercur. 46: *ἅμ' ἔπος τε καὶ ἔργον*: Herod. III, 135 ibiq. Valck., Eur. Phoen. 1184 ibiq. Valck., intt. ad Aristaen. Epist. II, 7, Boisson. ad Theod. Hyrtac. Anecdd. II, 427. ad Nicet. Eugen. T. II, 8. — E Latinis cf. Terent. Andr. II, 3, 7: dictum factum, ibiq. Ruhnk. Dict.

78. B. 106. Diog. II, 25. Plut. 119. Apost. III, 3. Arsen. 52: Hesychius. *Ἀμελοῦς χώρα* Plut. II, 300 A, ubi vid. Wyttenb.

79. B. 107. C. 27. Diog. II, 26, VII, 14. Apost. III, 1. Arsen. 52. Utitur Aristaen. Ep. I, 27 ubi cf. Boisson., add. Eustath. Opusc. 331, 62 Taf.: *ἰδιωτεύω μὲν τἄλλα οὐδὲ Λειβήθριος οὕτως ἔξω σοφίας*: Cramer. Anecd. III, 189: *Λειβηθρίων ἂν εἴην ὡς ἀληθῶς ἀλογώτερος*: Apost. XI, 80. Arsen. 332: *Λειβηθρίων ἀνοητότεροι.* De Libethriis cf. Lex. Schedograph. in Boiss. Anecd. T. IV, 390. vs. 475: *Λειβήθριοι, ἄνδρες τε μωροί*, Nott. Critt. ad Diogen. l. c., O. Muelleri Orchom. 380.

80. B. 108. Diog. II, 27. Apost. III, 5. Arsen. 52 ibiq. Macar.: Plut. ap. Boisson. An. I, 396: Suidas. Liban. Ep. 258: *πάντα μὲν οὖν ἀριθμεῖν τοῦ Ἀπόλλωνος ἂν εἴη, τοῦ καὶ τὴν ἄμμον ἔχοντος εἰς ἀριθμὸν ἄγειν*: alia vid. ap. Jacobsium Annott. ad Anth. III, 1, p. 307.

81. B. 109. Diog. II, 29. Greg. Cypr. I, 46. Apost. III, 100: Eu-

τῶν εὐεργετουμένων καὶ παραχρῆμα τῆς χάριτος ἐπιλανθανομένων.

82 Ἄμμες ποτ' ἦμες: λακωνικὴ ἡ παροιμία. Οἱ γὰρ πρεσβύτεροι ἐν Λακεδαίμονι χορεύοντες τοῦτο ἐπέλεγον, Ἄμμες ποτ' ἦμες· ἀντὶ τοῦ, Ἡμεῖς ποτε ἦμεν.

83 Ἄμας ἀπήτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας: ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτουμένων, ἄλλα δὲ μὴ ἔχειν ἀρνουμένων.

84 Ἂν μὴ παρῇ κρέας, τάριχον στερκτέον: παρεγγυᾷ ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.

85 Ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται:

86 Ἀνὴρ δὲ φεύγων οὐ μένει λύρας κτύπον: ἐπὶ τῶν ταχέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα πράττειν.

---

3. ποθ' ἦμες P F, πότ' ἦμες Schott., Gaisf. 5. legeb. πότ'. ἦμεῖς π.] legeb. ποτὲ. 7. μὴ e B inseruit Gaisf. 9. B τάριχος: Diog. alii ταρίχῳ: Porsonus ap. Gaisf. ad Suid. p. 4325 ταρίχει reponendum censet: Athen. IV, 119 C, allatis e Cratino, Aristophane, aliis, formae ὁ τάριχος exemplis, pergit: καὶ αἱ παροιμίαι δὲ κατὰ τὸ ἄρρεν λέγουσι· Τάριχος ὀπτὸς εὐθύς, ἂν ἴδῃ τὸ πῦρ· Σαπρὸς τάριχος τὴν ὀρίγανον φιλεῖ· Οὐκ ἂν πάθοι τάριχος ὥνπερ ἄξιος: add. quae Pierson. ad Moer. p. 369 Lugd., C. F. Hermann. ad Lucian. q. hist. conscr. op. c. 20 collegerunt. 10. Ante παρεγγυᾷ B addit: ὑποθετικόν. 11. Simonides scripserat: ἀνάγκα δ' οὐδὲ θεοὶ μάχονται. 12. δὲ] Greg. C. ὁ. 13. πράττειν om. B.

stath. ad Hom. Il. Ξ, 267, p. 982, 45: κατὰ γὰρ τὸν κωμικὸν [cf. Mein. Men. fr. p. 299, 336, 8.] παρά τισιν ἅμα τετέλεσται καὶ τέθνηκεν ἡ χάρις· ἢ καὶ οὕτως· ἅμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις· καὶ Πίνδαρος [Isthm. VI, 16] παλαιὰ μὲν εἴδει χάρις: Schol. Ven. ad Hom. l. c.; Suidas. Adhibuit etiam Auson Ep. CXI: *ut miseream, gratia actutum perit.*

82. Cf. Diog. II, 30.

83. B. 110. Diog. I, 72. Greg. Cypr. I, 45. Apost. II, 96. Arsen. 51 ibiq. Macar.: Schol. ad Arist. Pac. 288 ibiq. Dind.: Suid. s. v. et s. ἄμη: Tzetz. Chil. VIII, 17. Plutarch. de Garrul. c. 20 p. 512. E: τὸν δὲ βουλόμενον ἐμμελῶς ἀποκρίνασθαι, δεῖ τὴν διάνοιαν ἀναμεῖναι καὶ τὴν προαίρεσιν ἀκριβῶς καταμαθεῖν τοῦ πινθανομένου· μὴ γένηται τὸ κατὰ τὴν παροιμίαν Ἄμας κτλ.

84. B. 111. Diog. I, 5. Greg. Cypr. I, 47. Apost. III, 50. Arsen. 58: Suid. s. ἀνάγκη et s. ἂν μὴ παρῇ κτλ. Salsamenta ad tenuiorum potissimum hominum victum pertinebant: Arist. Vesp. 491. intt. ad Plat. Charm. 163 B.

85. B. 112. Greg. Cypr. I, 53. Apost. III, 49. Arsen. 58: Schol. ad Eurip. Orest. 478, ad Plat. Legg. VII, 818 B. p. 453 Bekk.: Suidas. Versus Pittaco adscribitur a Diog. Laert. I, 4, 79; eodem Simonides (cf. Schneidew. Simonid. fr. p. 20) alii usi sunt: Plat. Legg. V, 741 A., interpp. ad Plat. Protag. 345 D., J. C. Wolfius ad Liban. Epist. 553, 2, 751, 4.: vid. ad Zenob. III, 9.

86. B. 114. Diog. I, 74. Greg. Cypr. I, 49. Apost. III, 55. Arsen. 57: Suidas.

87 Ἀνδρὶ λυδῷ πράγματ' οὐκ ἦν, ἀλλ' αὐτὸς ἐξελθὼν ἐρίατο: ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων· παρόσον Κροῖσος πολέμιον ἑαυτῷ ἐπεσπάσατο Κῦρον.

88 Ἀντὶ πέρκης σκορπίον: ἐπὶ τῶν τὰ χείρω αἱρουμένων ἀντὶ βελτιόνων.

89 Ἀνεῳγμέναι Μουσῶν θύραι: ἐπὶ τῶν ἐξ ἑτοίμου λαμβανόντων τὰ κάλλιστα τῶν ἐν παιδείᾳ.

90 Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι: ἐπὶ τῶν ἐν τοῖς κακοῖς μηδεμίαν εὑρισκόντων βοήθειαν φευγόντων τῶν φίλων.

91 Ἄνθρωπος ἀνθρώπου δαιμόνιον: ἐπὶ τῶν ἀπροσδοκήτως ὑπὸ ἀνθρώπου σωζομένων ἢ καὶ διά τινα εὐδαιμονούντων.

92 Ἂν οἶνον αἰτῇ, κόνδυλον αὐτῷ δίδου:

---

3. ὁ Κροῖσος B. ἑαυτῷ πολέμιον BC, alii, unde vulg. ἑαυτοῦ mutavi. 4. legeb. Κύρον. 5. αἱρ. τῶν βελτιόνων B. 8. κάλλιστα ἐν τῇ παιδείᾳ B. 10. ἐπὶ τῶν ἐν κακοῖς παρεωραμένων ὑπὸ τῶν πάλαι φίλων B. 13. ὑπό τινων B. ἤ adjeci e B. διά τινων B. 15. »Suid. κονδύλους:« Gaisf.: me neque metrum adducit, ut codd. et Suidae s. κόνδυλον lectionem spernam, neque usus scriptorum, plerumque vocis κόνδυλος numerum pluralem praeferentium: κόνδυλον ἐντρίβειν dixit Aelian. V. H. XIII, 28: cf. Plut. Alcib. 7.

87. B. 115. C. 32. Diog. I, 75. Greg. Cypr. I, 50. Apost. III, 36. Arsen. 56 ibiq. Macar.: Suidas.

88. B. 116. Diog. I, 76. Greg. Cypr. I, 54. Apost. III, 51. Arsen. 58: Suidas. Lycophr. 476: ὁ δ' ἀντὶ πιποῦς σκορπίον λαιμῷ σπάσας. De perca vid. Athen. VII, 319 B, 320 E, Gesner. de Aquatil. p. 820.

89. B. 117. Diog. I, 77. Apost. III, 66. Arsen. 58: Suidas. Alludunt Liban. Ep. 1069. Georg. Lapith. 680: μέγιστον φῶς γὰρ τῇ ψυχῇ ἡ τούτων (sc. γραμμάτων) ἐπιστήμη, Καὶ πρὸς λειμῶνας λογικοὺς ἀνοίγουσι τὴν θύραν: cf. Boisson. Anecd. IV, 174. Simile proverbium est ap. Diogen. III, 23.

90. B. 119. Diog. I, 79. Greg. Cypr I, 61. Apost. III, 18. Arsen. 55 ibiq. Macarius: Menandri Sent. sing. 32 p. 312 Mein.: Schol. ad Soph. Elect. 188, ad Eurip. Phoen. 406, ad Aristid. p. 37 Frommel., T. III p. 681, 33 Dind.: Suid. s. ἀνδρὸς γέροντος, s. ἐκποδών, s. οἰκονομῶ. Versus etiam Sophocli tribuitur: Schol. ad Aristid. l. c.: sententia Periandro, aliis: vid. Welckerus ad Theogn. 383, Valck. ad Eur. l. c.: add. Clem. Alex. Strom. VI, §. 8, p. 263 Sylb.: πάλιν Θεόγνιδος μὲν λέγοντος, οὐκ ἔστιν φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος, Εὐριπίδης (Med. 561) πεποίηκεν πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος: Liban. Ep. 730. Ovid. Trist. I, 5, 29. Boiss. ad Sent. monost. p. 293 Syllog. Poett. Gr. T. III.

91. B. 120. Diog. I, 80. Apost. III, 53. Arsen. 57. Schottus Plin. N. H. II, 7. Juven. V, 132 explicationis causa adscripsit.

92. B. 121. Diog. I, 81. Apost. III, 46. Arsen. 59: Suid. s.

ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, δεινὰ δὲ λαμβανόντων. Ἡ δὲ ἱστορία ἀπὸ τοῦ Κύκλωπος, παρόσον αἰτήσας οἶνον τὸν Ὀδυσσέα, τῶν ὀφθαλμῶν ἐστερήθη. Ὀδυσσέα γὰρ ἐν τῷ σπηλαίῳ κατασχὼν ὁ Κύκλωψ καὶ τοὺς ἑταίρους αὐτοῦ ἀρξάμενος κατεσθίειν, οἶνον παρ' αὐτοῦ λαβὼν ἔπιε καὶ ταύτην αὐτῷ τὴν χάριν δίδωσιν, ὕστατον αὐτὸν καταφαγεῖν· μεθυσθεὶς δὲ μετὰ τὸ πιεῖν καὶ ὑπνώττων παρ' ἐκείνου ἐξετυφλώθη.

93 Ἂν ἡ λεοντῇ μὴ ἐξίκηται, τὴν ἀλωπεκῆν πρόσαψον: ἂν μὴ φανερῶς δύνῃ βλάψαι, πανουργίᾳ χρῆσαι. Ἂν μὴ κατὰ ῥώμην τὸ προκείμενον ἐξανύοιτο, μηχανῇ καὶ τέχνῃ περαινέσθω τὸ λειπόμενον. Τάττεται ἡ παροιμία ἐφ' ὧν σοφίᾳ μᾶλλον ἢ τῇ δυνάμει προσήκει χρῆσθαι, ὡς ὁ ποιητής φησι, Ἢ δόλῳ, ἠὲ βίηφι· ἢ ἀμφαδὸν, ἠὲ κρυφηδόν.

94 Ἀντιπελαργεῖν: ἐπὶ τῶν τὰς χάριτας ἀνταποδιδόντων. Λέγονται γὰρ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς τρέφειν, καὶ μὴ δυναμένων ἵπτασθαι, φέρειν ἐπὶ τῶν ὤμων.

---

1. *δεινὰ μὲν λαμβανόντων, ἀγαθὰ δὲ αἰτούντων* Sch.: e P B mutavit Gaisf. 2. *Κύκλωπος, αἰτήσαντος οἶνον τὸν Ὀδυσσέα καὶ στερηθέντος τοὺς ὀφθαλμούς* B, qui sequentia om. 9. *ἐξίκηται* Schott.: e F P correxit Gaisf. 14. *ἢ δόλῳ*] *ἠὲ δίκῃ* Schott.: *ἠδὲ δόλῳ* P: correxit Gaisf. *βίηφιν* P. 16. *ἀποδιδόντων* B. 17. B: *λίγιται γὰρ τρίφιν τοὺς πελαργοὺς γηράσαντας τοὺς γονῆς.*

ἂν οἶνον, s. κόνδυλον: Schol. ad Arist. Pac. 123. Alludit Arist. Pac. 122.

93. Diog. I, 83. Greg. Cypr. I, 88. Apost. III, 67. Arsen. 58: Suidas. Usurpavit Lysander: cf. Plut. Vit. Lys. 7. Apophth. Lacon. s. *Λυσάνδρου*: simile Carbonis dictum idem Vit. Sull. 28 refert. *Ἢ δόλῳ ἠὲ βίηφι* exstat ap. Hom. Odyss. I, 406. 408: alterum hemistichium Od. Ξ, 330, *T*, 299: add. ibid. *Λ*, 119: *κτείνῃς ἠὲ δόλῳ ἢ ἀμφαδὸν ὀξυόεντι χαλκῷ.* Similes exstant sententiae ap. Pind. Isthm. III, 66, Thucyd. V, 9, 5, ubi vid. Popponis Commentarius.

94. B. 123. Diog. I, 84. Apost. III, 39. Arsen. 61 ibiq. Macar.: Hesych. s. *ἀντιπεριλαχεῖν* [scr. *ἀντιπελαργεῖν· ἀντιτρέφειν*], Etym. M. 114, 11. Suid., Zonar. I, 218, Cod. Marc. Harpocr. p. 24 Bekk. Verbum ex Aristophanis Pelargis emanasse conjecit Fritzschius Q. Aristoph. I, 94. De re notissima Schottus citavit Aristoph. Av. 1353 ibiq. Scholl., Aristot. Nat. Anim. IX, 14. Aelian. H. An. III, 23, Petron. Sat. 55., Plin. Nat. H. X, 23. Origen. c. Cels. IV, Basil. M. Homil. VIII in Hexaem., Philon. in Decalogi exposit.: add. Liban. Ep. 716, Cratet. Epist. 21 fin. in Manuscr. de la Biblioth. du Roi T. XI, 2 p. 40 ibiq. Boissonad.: cf. Jacobs. ad Aelian. l. c. Creuzer. Init. Philos. Plat. II, 110, Walz.

95 Ἀνίπτοις ποσὶν ἀναβαίνων ἐπὶ τὸ στέγος. ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα καὶ πράξεις ἀφικομένων.

96 Ἀνδρὸς γέροντος ἀσταφὶς τὸ κρανίον: ἐπὶ τῶν εἰς μηδὲν χρησιμευόντων, παρόσον ἅπαν τὸ σῶμα τῶν γερόντων ἀσθενές.

97 Ἀνδρὸς γέροντος μήποτ' ἐς πυγὴν ὁρᾶν: ἐπὶ τῶν πρὸς ἕνια μὴ χρησίμων.

98 Ἀντλεῖν ἀμφοτέραις: λείπει τὸ χερσίν. Ἐπὶ τῶν σπουδῇ τι ποιούντων. Ὁμοία τῇ, Πάντα κάλων σεῖε.

99 Ἀνέμους γεωργεῖς: πρὸς τοὺς πονοῦντας καὶ μηδενὸς μεταλαγχάνοντας. Ἐπειδὴ ὁ ἄνεμος πάντα μὲν φύει καὶ αὔξει, οὐδενὸς δὲ τυγχάνει, ἢ μόνην ἄχνην ἀποφέρεται.

100 Ἀντὶ κακοῦ κυνὸς ὖν ἀπαιτεῖς: ἐπὶ τῶν καλὰ ἀντὶ τῶν κακῶν ἀπαιτούντων.

---

1. ἀναβαίνειν B. 2. ἀφικνουμένων B. 3. legeb. κράνιον. 4. τὸ γὰρ σῶμα B. 6. ἐς e Suid. Diog. scripsi: legeb. εἰς. 9. μετὰ σπουδῆς B. ὁμοία — σεῖε B om. 12. ἐπειδὴ καὶ B. 13. οὐδενὸς δὲ μεταλαγχάνει ἢ μόνης ἄχνης B. μόνην recepi e B Suida: legeb. μόνον. 15. ὖν e B P, codd. Apostolii reposuit Gaisf.: legeb. σῦν. 16. κακὰ B. ἀποδιδόντων B: vid. Diogenianus.

ad Ars. l. c., unde vere Aristotelem dixisse intelliges: περὶ μὲν οὖν τῶν πελαργῶν ὅτι ἀντιτρέφονται θρυλεῖται παρὰ πολλοῖς.

95. B. 124. Apost. III, 63. Arsen. 58: Schol. ad Luciani Pseudolog. §. 4: Suid.: Bekk. Anecd. I, 405, 16. Suidas proverbium ex Homero derivat: vid. Bernhardius et nott. ad Diogen. I, 43. Usurpat Lucian. Rhet. praec. §. 14. Pseudolog. I. c.: ἄγε τοίνυν, — ὅρα ὅπως σαφῶς προδιδάξῃς τοὺς ἀκούοντας, ὡς οὐ μάτην οὐδὲ φιλαπεχθημόνως οὐδ' ἀνίπτοις ποσὶ, κατὰ τὴν παροιμίαν, ἐπὶ τόνδε τὸν λόγον ἀπηντήκαμεν, κτλ.: Demon. Vit. §. 4: Syrian. ad Hermog. p. 40 T. IV Walz.: οἷος ἦν ὅ τε ἀπὸ τῆς κώπης ἀνίπτοις ποσὶ κατὰ τὴν παροιμίαν ἐπὶ τὸ βῆμα πηδήσας Δημάδης, Ἡγήμων τε καὶ Πυθέας καὶ Ἀριστογείτων ὕθλων ἀλόγων συκοφαντίας βουλάς τε καὶ τὰ δικαστήρια ἐμπεπληκότες: Aeneas Soph. Epist. XXI p. 428 Cujac.: οἱ μὲν πολλοὶ, τὸ δὴ λεγόμενον, ἀνίπτοις ποσὶν ἐπιπηδῶσι τοῖς ἱεροῖς, καθάπερ ὁ τοῦ Πλάτωνος χαλκεὺς ἐκεῖνος ὁ φαλακρὸς, ὃς ἔτι καπνοῦ καὶ δυςωδίας ὄζων ἐπανίστη τῇ δεσποίνῃ.

96. B. 125. Diog. I, 85. Greg. Cypr. I, 42. Apost. III, 46. Arsen. 56 ibiq. Macar.: Suidas. Utitur Lucian. Tyrann. §. 5.

97. Diog. I, 86. Apost. III, 24. Arsen. 55: Suidas.

98. B. 126. Diog. I, 87. Apost. III, 38. Arsen. 61 ibiq. Macar.: Suidas. De proverbio: πάντα κτλ. vid. infr. V, 62.

99. B. 127. Diog. I, 88. Greg. Cypr. I, 52. Apost. III, 47. Arsen. 56: Suidas.

100. B. 128. Diog. I, 89. Apost. III, 65. Arsen. 58: Suidas.

1 Ἄνθρακες ὁ θησαυρὸς πέφηνεν: ἐπὶ τῶν ἐφ' οἷς ἤλπισαν διαψευσθέντων. Μέμνηται αὐτῆς Λουκιανός· Τὸ γοῦν τοῦ λόγου ἐκεῖνο, ἄνθρακες ἡμῖν ὁ θησαυρὸς πέφυκε. Καὶ πάλιν, Ἀνθρακάς μου τὸν θησαυρὸν ἀπέφηνας.

2 Ἄξιος τοῦ παντός: ἐπὶ τῶν σφόδρα τιμίων.

3 Ἄξιος εἶ τῆς ἐν Ἄργει ἀσπίδος: ἐπὶ τῶν αἰδημόνων καὶ εὐγενῶν. Παρόσον οἱ ἐν Ἄργει ἀνύβριστοι παῖδες καὶ καθαροὶ κατά τι νόμιμον καὶ παλαιὸν γέρας τὰς ἀσπίδας φοροῦντες πομπεύουσιν.

4 Ἄξιοι τριχός: ἐπὶ τῶν εὐτελῶν καὶ μηδενὸς ἀξίων· παρόσον ἡ θρὶξ οὐδενὸς ἀξία.

5 Ἀπὸ βραδυσκελῶν ὄνων ἵππος ὤρουσεν: ἐπὶ τῶν ἀπὸ εὐτελῶν ἐπὶ τὰ μείζω μεταπηδώντων.

6 Ἄπληστος πίθος: ἐπὶ τῶν πολλὰ ἐσθιόντων καὶ

---

1. Legebatur πίφυκεν: B ἀναπίφηνεν. 3. ἐκεῖνο] Zenob. et B ἐκείνου. 4. πέφηνε] πέφηνε B, πίφυκε Zenob. 5. ἀπέφηνας] Legebatur ἀπίφηνας. 8. παρόσον κτλ. B habet ἐπειδὴ καὶ οἱ ἐν Ἄργει φέριστοι παῖδες καὶ καθ. ἀπό τινος νομίμου τὰς ἀ. φ. π. 12. παρόσον κτλ.] B habet τοῦτο γὰρ καὶ ἡ θρίξ. 13. Legebatur βραδυσκέλων. ὄνων ἵππος] ἵππων ὄνος B. ὄρουσιν B. 14. ἀπὸ τῶν εὐτελῶν B: deerat τῶν. πηδώντων B. 15. ὁ ἄπλ. BV. ἐπὶ — βάλλουσι om. BV.

1. B. 129. Diogen. I, 90. Greg. Cypr. I, 64. Apost. III, 22. Arsen. 57 ibique Macar.: Suidas. Lucianus Timone 41. Δίδια γοῦν μὴ ἄνθρακας εὕρω ἀνεγρόμενος. Zeuxide 2. Τὸ κατὰ τὴν παροιμίαν, ἄνθρακες ἡμῶν (ἡμῖν Fritzschius) ὁ θησαυρὸς ἦσαν. Hermotimo 71. Οἷά με εἰργάσω ἄνθρακάς μοι τὸν θησαυρὸν ἀποφήνας. Navigio 26. Ἀνθρακές σοι ὁ θησαυρὸς ἔσται. Philopseude 32. Τὸ τοῦ λόγου ἐκεῖνο ἄνθρακες ἡμῖν ὁ θησαυρὸς πέφηνας. Adde Walzii Rhett. Grr. I, 525. Phaedri Fabb. V, 6, 6.

2. B. 130. C. 36. Diogen. I, 91. Apost. III, 69. Arsen. 63 ibique Macar.: Suidas. Plato Sophista p. 216, C. Τοῖς μὲν δοκοῦσι μηδενὸς ἄξιοι, τοῖς δὲ ἄξιοι τοῦ παντός. — Τὰ πλείστου ἄξια Scholl. Aristidis 130. Frommel.

3. B. 131. Diog. I, 92. cll. IV, 84. Apostol. III, 70. Arsen. 63. Plut. 44. Ἡ ἐν Ἄργει ἀσπίς· Οἱ ἐν Ἄργει οἱ τὴν ἐν τοῖς παισὶν ὥραν καθαρὰν καὶ ἀδιάφθορον φυλάξαντες ἀναλαβόντες χρυσῆν ἀσπίδα προπομπεύουσι, τοῦτο γέρας ἔχοντες κατά τινα νόμον ἀρχαῖον. Vide Zenob. VI, 52. Callimachi Lavacr. Pall. 35. ibique Ezechielem.

4. B. 132. Diog. I, 93. Apost. III, 68. Arsen. 63: Suidas, Bekkeri Ann. p. 10, 6. Utitur Aristoph. Rann. 613. Compara Homericum ἐν καρὸς αἴσῃ et ἐν καρὸς μοίρᾳ Coisl. 187. Hesych.

5. B. 133. Diog. I, 94. Greg. Cypr. I, 65. Apost. IV, 2. Arsen. 70: Suidas.

6. Vat. III, 31. B. 148. Greg. Cypr. I, 50. Diog I, 95. VII, 27. Apost IV, 2. Arsen. 70: Suidas.

γαστριμαργούντων. Μετενήνεκται δὲ ἀπὸ τοῦ μύθου τοῦ περὶ τὰς Δαναΐδας, καὶ τοῦ πίθου εἰς ὃν ἀνιμῶσαι ὕδωρ βάλλουσι. Λέγεται γὰρ οὗτος ὁ πίθος ἐν Ἅιδου εἶναι οὐδέποτε πληρούμενος· πάσχουσι δὲ περὶ αὐτὸν αἱ τῶν ἀμυήτων ψυχαί· καὶ κόραι δέ, ἃς Δαναΐδας λέγουσιν, πληροῦσαι ἐν κατεαγόσιν ἀγγείοις ὕδωρ πρὸς αὐτὸν φέρουσι τετρημένον. Λύναται δὲ ἡ παροιμία καὶ ἐπ' αὐτοῦ λέγεσθαι τοῦ Ἅιδου, ὅτι πολλῶν πάντοτε θνησκόντων οὐδέποτε πληροῦται.

Ἡ δὲ αἰτία, δι' ἣν αἱ Δαναΐδες κατεκρίθησαν τὴν τιμωρίαν ταύτην, οὕτως ἔχει. Αἴγυπτος καὶ Δαναὸς ἀδελφοὶ ὄντες τῆς τῶν Μελαμπόδων ἐκράτουν γῆς, ἥτις νῦν Αἴγυπτος καλεῖται. Σχόντος δὲ Δαναοῦ θυγατέρας πεντήκοντα, καὶ Αἰγύπτου υἱοὺς πεντήκοντα, Δαναὸς τοὺς παῖδας τοῦ Αἰγύπτου δεδοικὼς στασιάσαντας περὶ τῆς ἀρχῆς, ἀναλαβόμενος τὰς θυγατέρας εἰς Ἄργος ἀφίκετο, κἀκεῖ κατῴκισεν. Ὕστερον δὲ οἱ τοῦ Αἰγύπτου παῖδες πρὸς Δαναὸν ἐλθόντες, τῆς τε ἔχθρας παύσασθαι παρεκάλουν, καὶ τὰς θυγατέρας πρὸς γάμον λαβεῖν ἠξίουν. Ὁ δὲ μνησικακῶν αὐτοῦ περὶ τῆς φυγῆς, ὡμολόγει τοὺς γάμους καὶ διεκλήρου τὰς κόρας. Ὡς δὲ ἐκληρώσατο τοὺς γάμους, ἑστιάσας ἐγχειρίδια δίδωσι ταῖς θυγατράσιν. Αἱ δὲ κοιμωμένους τοὺς νυμφίους ἀπέκτειναν, πλὴν Ὑπερμνήστρας. Αἵτη γὰρ Λυγκέα διέσωσε, παρθένον αὐτὴν φυλάξαντα. Λέγεται οὖν διὰ τοῦτο τὰς Δαναΐδας, ἄνευ Ὑπερμνήστρας, ἐν Ἅιδου κατακριθῆναι εἰς τετρημένον πίθον ὕδωρ ἀντλεῖν.

7 Ἀπὸ βαλβῖδος: οἷον ἀπ' ἀρχῆς χρὴ ἀγαθὸν εἶναι, ἢ τεχνίτην, ἢ κοινῶς ἐπὶ πάντων.

---

1. μετενήνεκται scripsi: legebatur μετήνεκται. 2. ἀνιμώσαι F. 3. οὗτος ἐλέγετο B V. 5. καὶ κόραι δὲ B V: deerat δέ. ἃς ἔνιοι Δαν. φασὶ B V. 6. αἱ πληρ. vulgo: αἱ om. B V. ἐν κατεαγ.] ἐν om. B V. 7. φέρουσαι τετρημένον B. γίγραπται δὲ τῷ πίθῳ Ἀμυήτων· λέγονται δὲ αἱ κόραι ἠπεδαναί, τουτέστιν ἀσθενεῖς, παρὰ τὸ ἄπεδον: B V. 8. λέγεσθαι καὶ ἐπὶ τοῦ Ἅιδου B V. 15. περὶ τῆς ἀρχῆς] ἐπὶ τ. ἀ. F. 21. ἐκληρώσατο Apollodorus. 28. Legebatur βαλβίδος. ἀπὸ ἀρχῆς P, vulgo ἀρχῆς. B sola habet ἤτοι ἀπ' ἀρχῆς.

Vide Intpp. Plat. Gorg. 493, C. Hemsterhus. in Scholl. Lucian. Diall. Marin. 6. Xenoph. Oecon. VII, 40. Aristot. Polit. VI, 3. Oecon. 6. Narratio ducta ex Apollodoro II, 1, 4 sqq. 7. B. 136. Apost. IV, 11. Macar. 69. Suidas.

8 Ἀπήντησε κεραυνοῦ βολὴ πρὸς ὑπέρτατον ἄτης: ἐπὶ τῶν πασχόντων ἄξια ὧν ἔδρασαν.

9 Ἅπαντα τοῖς σοφοῖσιν εὔκολα: ἐπὶ τῶν διὰ φρονήσεως καὶ τῶν δυσκόλων περιγινομένων.

10 Ἀττικὸς εἰς λιμένα: ἡ παροιμία ἐστὶ ἐπὶ τῶν [ἐν τοῖς λιμέσι] τὴν ἀνδρείαν ἐπιδεικνυμένων. Οἱ γὰρ Ἀττικοὶ ναῦται ὁπότε καταπλέοιεν οἴκαδε, προθυμότερον ἤλαυνον τοῖς οἰκείοις ἐπιδεικνύμενοι.

11 Ἀντ' εὐεργεσίης Ἀγαμέμνονα δῆσαν Ἀχαιοί: αὕτη κατὰ τῶν ἀχαρίστων λέγεται. Φασὶ δὲ αὐτὴν ὑπὸ Μαίσωνος τοῦ Μεγαρέως πεποιῆσθαι.

12 Ἀλώνητον ἀνδράποδον: ἶσον τῷ, βάρβαρον καὶ εὐτελές. Εἰς τὴν μεσόγειον γὰρ ἀναβάντες οἱ ἔμποροι ἐκόμιζον ἄλας, ἀνθ' ὧν τοὺς οἰκέτας ἐλάμβανον. Ὅθεν καὶ ὁ κωμικὸς φησί·

Θρᾷξ εὐγενὴς εἶ πρὸς ἅλας ἠγορασμένος.

13 Αἱ Χάρητος ὑποσχέσεις: ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων πολλά. Χάρης γὰρ ἐγένετο στρατηγὸς Ἀθηναῖος προθύμως ἐπαγγελλόμενος.

---

1. Sic B: vulgo κεράμου βολή: Apost. Ars. Ald. κακοῦ. 2. ἄτης scripsi: vulgo ἄτην, B ἄταν, Apost. et Ars. ὑπερτάτην ἄτην. 3. τοῖς σοφοῖς οὐκ εὔκολα B. 5. ἡ παροιμία — ἐπιδ.] B nonnisi ἐπὶ τῶν ἐπιδεικνυμένων. Legebatur ἐπὶ τῶν ἐν τοῖς λιμέσι τὴν ἀνδρ. ἐπιδ. Illa seclusi ut inepte ex origine inculcata. Compara Diogenianum et rell. 7. οἴκαδε om. B. 11. πεποίηται δὲ ὑπὸ Μίσωνος τοῦ Μεγαρίως B: legebatur Μίσωνος. 12. ἶσον τὸ εὐτελὲς B. 13. ἀναβαίνοντες B. 16. Θρᾷξ scripsi: legebatur Θρᾴξ. ἠγορασμένος] in P suprascriptum ὠνημένος. Et sic Dioge-nianus et Apostolius. 18. πολλὰ om. B. 19. Ἀθηναίων B. προχείρως πολλὰ ἐπαγγελλόμενος B.

8. B. 137. Greg. Cypr. I, 72. Apost. IV, 15. Arsen. 71. et rursus 66. Ἀπήντησε κακοῦ βουλὴ πρὸς ὑπερτάτην βλάπην (sic).

9. B. 138. Greg. Cypr. I, 66. Arsen. 66. Macar. Diog. I, 97. Addito post v. σοφοῖσιν ἐστὶν exibit trimeter iambicus.

10. B. 142. Diog. I, 66. Apost. IV, 72. Arsen. 82 Macar. Photius. Confer ad Diog. IV, 79. Dindorf. Arist. Frr. p. 62.

11. B. 143. Diog. I, 99. Apost. III, 21. Suidas. Arsen. 59. Macar. Conferantur quae disseruimus ad Prooemium Diogeniani. Usurpat Libanius Ep. CXCIV. Οἱ πολλὰ δὴ παρ' αὐτοῦ χρηστὰ παθόντες ἀντ' εὐεργεσίας Ἀγαμέμνονα φασίν.

12. B. 144. Diog. I, 100. Apost. II, 59. XX, 59. Arsen. 48. 474. Suidas, Hesychius. Vide Meinekii Menandrum p. 257.

13. B. 145. Diog. II, 1. Apost. XX, 59. Arsen. 474. Macar. Plut. 2. Suidas. Libanius Ep. CCCLV. Μαθητήν σε ὁρῶ τοῦ

14 *Ἁλιεὺς πληγεὶς νοῦν οἴσει: αὕτη παραπλήσιόν τι λέγει τῷ Ῥεχθὲν δέ τε νήπιος ἔγνω. Ἁλιεὺς γάρ, ὡς φασὶ, τοὺς ἁλισκομένους ἐν τῷ λίνῳ ἰχθῦς μετεχειρίζετο, καὶ πληγεὶς ὑπὸ σκορπίου, ἔφη, Πληγεὶς νοῦν οἴσω, καὶ ταῖς χερσὶν οὐκέτι τῶν νεοθηρεύτων ἰχθύων ἥπτετο. Μέμνηται αὐτῆς Σοφοκλῆς.*

15 *Ἄιδε τὰ Τέλληνος: οὗτος ὁ Τέλλην ἐγένετο αὐλητὴς καὶ μελῶν ἀνυποτάκτων ποιητής. Μέμνηται αὐτοῦ Δικαίαρχος ὁ Μεσσήνιος.*

16 *Ἀπώλεσας τὸν οἶνον ἐπιχέας ὕδωρ: ἐν Κύκλωπι δράματι Πολύφημος οὕτως πρὸς Ὀδυσσέα λέγει, ὅθεν εἰς παροιμίαν περιέστη.*

---

1. *παθὼν* B, qui reliqua contraxit in angustius. 3. *ὡς φασὶ* P H: vulgo *φησὶ*. 7. *τοὺς Τέλληνος* Plutarchus, qui plane consentit cum Zenobio, nisi quod vv. *μέμνηται κτλ.* ignorat. 9. *Δικαίαρχος* Schottus: libri *Δίαρχος*. Schotti emendationem firmat B.

στρατηγοῦ Χάρητος ὅσα γε εἰς ὑποσχίσεις. Ep. MCCCXIII. *Οὐκ ἄρα ὁ Χάρης μόνον ὑπισχνεῖτο μείζονα ὧν πράξειν ἔμελλεν, ἀλλὰ καὶ κτλ.* Adde Ep. DCXII. Diodorus Sic. XV, 95.

14. B. 147. Diog. II, 31. Greg. Cypr. I, 54. Apost. II, 53. Arsen. 41. Suidas: Eustath. Il. *P*, 30 p. 1093, 22: *ῥεχθὲν δέ τε νήπιος ἔγνω· τοῦτο δὲ παρὰ Μενελάου ῥηθὲν γνωμικόν ἐστι, συντόμως φρασθὲν, ὡς καὶ πρὸ αὐτοῦ τὸ, οὐ καλὸν ὑπέρβιον εὐχετάασθαι, ὡς ἂν καὶ αὐτὸ συνήθως εὐμνημόνευτον ἢ τῷ εὐπεριγράπτῳ τῆς ἀπαγγελίας, ὁποῖα καὶ τὰ τῶν ἑπτὰ σοφῶν ἀπομνημονεύματα. Ὅτι δὲ οὐκ ἐπαινετέος ὁ μετὰ τὸ ῥεχθῆναί τι νοήσας δηλοῖ καὶ ὁ Ἐπιμηθεὺς καὶ ὁ τῆς παροιμίας ἁλιεύς.* Scholl. Plat. 53. R. (378. Bekker.), Aristid. III, 681, D. (262. Frommel.) *Τὸ ἁλιεὺς πληγεὶς νοῦν ἴσχει παροιμία.* Usurpant Sophocles Amphiarao fr. 118. Dindorf. Nicephorus Progymn. in Walz. Rhett. Gr. I, 525. In Scholiis Aristidis eadem afferuntur verba Homerica *ῥεχθὲν δέ τε νήπιος ἔγνω*, ubi alii libri *παθών*: illud est Homeri Il. XVII, 32. hoc Hesiod. Opp. 216: de utroque egit Boissonad. Nic. Eugen. II, 150 sq.

15. Zenob. I, 45. B. 75. Diog. I, 44. Apost. I, 34. Arsen. 17. Macar. Plut. 27. — Dicaearchi memoria referenda videbatur Ruhnkenio ad *τὸν περὶ μουσικῆς*, v. Naekium in Mus. Rhen. 1833, 1, 42. Usurpat Liban. Epp. DXLVIII. *Οὐδὲ εἰ τὰ Τέλληνος ᾄδοι τις, οἷός τε ἔσται πρὸς αὐτόν σε μεταστῆσαι.* A Tellene isto, in quem Leonidae Tarentini exstat Epigramma, Ruhnkenio Ep Crit. I, p. 118 sq. distinguendus videtur *Τέλλις αὐλητὴς κάκιστος, Ἀντιγενίδας δὲ κάλλιστος* Plutarch. Apophthegm. 193, F. Ad alterum spectant quae Zenobius 1, 45. explicat, Plutarchi *κάκιστος* hoc loco respicitur. In Photii Cod. CXC, p. 534, D. *Τέλλις* quidam memoratur: ubi licet requiri videatur comicus poeta, Gellius ait jungi potuisse poetis Comicis Tellidem seu Tellenem, quem Zenobius testetur *σκώμματα κομψότατα* fecisse. Vide Bibl. Crit. Nov. 1828. p. 11. De tonosi vide Lobeck. Parall. 192.

16. Diog. II, 32. Suidas: *αὕτη δὲ ἡ παροιμία γίγονεν ἐκ τοῦ Ἀριστίου Κύκλωπος, ὡς φησι Χαμαι-*

17 *Ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ: ταύτης μέμνηται Μένανδρος καὶ Σώφρων καὶ Ἄλεξις. Λέγουσι δὲ ὅτι οἱ Λοκροὶ οἱ Ἐπιζεφύριοι πόλεμον ἔσχον πρὸς Κροτωνιάτας καὶ ἔπεμψαν εἰς Λακεδαίμονα συμμαχίας δεόμενοι· οἱ δὲ ἀπεκρίναντο αὐτοῖς, ὅτι δύναμιν μὲν οὐ δώσουσι, τοὺς δὲ Διοσκούρους αὐτοῖς ἐπιπέμψουσιν. Ἀναστρέψαντες δὲ οἱ Λοκροὶ μάχης γενομένης ἐνίκησαν τοὺς Κροτωνιάτας, τῶν Διοσκούρων συλλαβομένων· τὴν δὲ νίκην ἐκ τοῦ αὐτομάτου φήμη τις ἤνεγκεν εἰς τὴν Λακεδαίμονα, μηδενὸς ἀφιγμένου ἀγγέλου. Μετὰ δὲ ταῦτα ἐλθόντες τινὲς ἀπήγγειλαν τῇ αὐτῇ ἡμέρᾳ γεγενῆσθαι τὴν μάχην καὶ τὴν νίκην. Ἐπειδὴ οὖν τὰ παρὰ τῆς φήμης ἀγγελθέντα ὑπῆρχον ἀληθῆ, ἡ παροιμία εἴρηται ἐπὶ τῶν πάνυ ἀληθῶν. Σάγρα δ' ἔστι τόπος, ἐν ᾧ τὴν μάχην ἐνίκησαν οἱ Λοκροί.*

18 *Αἶξ Σκυρία: Χρύσιππος φησὶν ἐπὶ τῶν τὰς εὐεργεσίας ἀνατρεπόντων τετάχθαι τὴν παροιμίαν· ἐπειδὴ πολλάκις τὰ ἀγγεῖα ἀνατρέπει ἡ αἶξ. Ἄλλοι δὲ φασὶν ἐπὶ τῶν ὀνησιφόρων λέγεσθαι, διὰ τὸ πολὺ γάλα φέρειν τὰς Σκυρίας αἶγας. Μέμνηται Πίνδαρος καὶ Ἀλκαῖος.*

19 *Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας*

---

2. καὶ Σώφρων om. B V Suidas, Apostolius, Arsenius. 3. ἔχον B. πρὸς Λακ. B, qui cum V ultima contractiora habet. 20. μέμνηται Π. καὶ Ἀ. om. B. 21. ἴασι B et Diogenianus I, 60. Reliqui scriptores ἴασι, ut ipse Zenobius II, 46.

λίων ἐν τῷ περὶ Σατύρων: vid. Friebel. Graec. Satyrogr. fr. p. 65. Apost. IV, 7. Arsen. 71. — Usurpat Ulpianus Athenaei VIII, 362, A.

17. B. 148. Apost. II, 42. Arsen. 38: Scholiasta Clem. Alex. IV, 106. Klotz: Suidas. — Menandri locum in Ἀνατιθεμένῃ vide p. 17. Meinek. Ad tempus proelii nobilissimi definiendum facit aliquid memoria Sophronis, quam nollem neglexisset Niebuhrius Hist. Rom. III, 602. Confer Heynii Opusc. II, 184 sqq. Usurpat Cicero N. D. III, 5. *De Sagra Graecorum esse vulgare proverbium, qui quae affirmant certiora esse dicunt quam illa quae apud Sagram*, cll. II, 5. Strabon. VI, 375. Iustin. XX, 2. Plutarch. Paull. Aem. 268, C. Aelian. Hist. Animm. XI, 10. Dicebatur idem proverbium ἐπὶ τῶν ἀληθῶν, οὐ πιστευομένων δέ, Suidas, Apost., Arsen., Eustath. Il. p. 278, 5.

18. B. 149. Diog. II, 33. Apost. I, 83. Arsen. 27. Macarius, Suidas. Pindari fr. 73. Boeckh. Alcaei fr. 113. Matth. Vide Ath. XII, 540, D. Eberti Sicul. 197. Panofk. Res Samior. p. 35.

19. B. 150. Diog. I, 60. Apost. II, 21. Arsen. 34. Macarius: Eustath. ad Hom. Il. Σ, 376 p. 1148, 30: αὐτόματος ἦλθε Μενέλαος ... ἔνθα γράφουσι οἱ παλαιοὶ, ὅτι τὸ

ἔενται: οὕτως Ἡράκλειτος ἐχρήσατο τῇ παροιμίᾳ, ὡς Ἡρακλέους ἐπιφοιτήσαντος ἐπὶ τὴν οἰκίαν Κήϋκος τοῦ Τραχινίου, καὶ οὕτως εἰπόντος. Εὔπολις δὲ ἐν Χρυσῷ γένει ἑτέρως φησὶν ἔχειν τὴν παροιμίαν·

Αὐτόματοι δ' ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασιν.

Καὶ ὁ Πλάτων ἐν τῷ Συμποσίῳ οὕτως αὐτῇ ἐχρήσατο.

Ἄλλων δὲ φόρτος ἔνθεν ἦλθεν ἔνθ' ἔβη:

---

2. Κήϋκος Scholl. Platonis: vulgo Κήτους. 3. Χρυσῷ γένει eadem: vulgo Χρυσογένει. 6. αὐτῇ scripsi: legebatur αὐτῷ. 7. C: ἐπὶ τῶν καθ' ἑαυτοὺς χρωμένων τοῖς οὖσιν (καὶ μηδένι μεταδιδόντων addit Suidas, qui sqq. ignorat: cf. eundem s. Ἄλας ἄγων καθεύ-

τοιοῦτον αὐτόματον οὐ πάντων ἦν ἐν συμποσίοις, ἀλλὰ μόνων τῶν, ὡς αὐτοὶ ἐκτίθενται, οἰκείων καὶ γνησιωτάτων ἢ φύσει ἢ θέσει· εἰ δέ τις μὴ τοιοῦτος παρεισέφρησε τῷ συμποσίῳ, διεβάλλετο, καθὰ δηλοῖ Ἄλεξις ἐν τῷ, ἄνθρωπος εἶναί μοι δοκεῖς Κυρηναῖος· κἀκεῖ γάρ τις ἂν ἐπὶ δεῖπνον ἕνα καλῇ, πάρεισιν ἀκτωκαίδεκ' ἄλλοι, καὶ δέχ' ἅρματα, καὶ ξυνωρίδες ιε'· τούτοις δὲ δεῖ σε τἀπιτήδει' ἐμβαλεῖν. ὡς ἦν κράτιστον μηδὲ καλέσαι μηδ' ἕνα (emendatiores versus ap. Athen. XII init. leguntur). καὶ τοῦτο μὲν οὕτω ψεκτέον ὡς χυδαῖον· ἐκεῖνο δὲ τὸ πρῶτον καὶ ἐπαινεῖται καὶ παροιμίαν ποιεῖ τὴν, ἀκλητὶ κτλ. (infr. 46) καὶ τὸ, ἀγαθοὺς πρὸς ἀγαθοὺς ἄνδρας ἑστιασόμενος ἦκον, μή τινα τῖμον εἰσενεγκών, εἰπεῖν κατ' Ἀρχίλοχον (fr. 61. Schneidew.), ἀλλὰ δηλονότι ἀσύμβολον δεῖπνον εὑρών. Confer Zenob. II, 46. annott. ad V, 21. Alludunt Cratinus Pylaeae fr. V, Runk. Plato Symposio 174, B. Ἔπου τοίνυν, ἔφη, ἵνα καὶ τὴν παροιμίαν διαφθείρωμεν μεταβαλόντες, ὡς ἄρα καὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν αὐτόματοι ἀγαθοί. Ὅμηρος μὲν γὰρ κινδυνεύει οὐ μόνον διαφθεῖραι, ἀλλὰ καὶ ὑβρίσαι εἰς ταύτην τὴν παροιμίαν. Iliad. II, 408. Αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος. Quem Platonis locum secus quam debebat interpretatur Schleiermacherus: rectius reliqui interpretes. Vide Scholl. Plat. p. 43. R. 373. B. Lucian. Sympos. 12. Nicet. Eugen. III, 259. Liban. Ep. 84. Verum Heracliti nomen corruptum esse opinor: vide mea apud Bergk. Commentt. de Rell. Comoediae Att. 440. Certissima emendatione reduco Hesiodum, qui Herculem in Κήϋκος γάμῳ ista loquentem fecerit: quae quidem ex carmine isto epico in eadem re eximie servata sunt a Bacchylide lyrico poeta, cujus haec exstat memoria Athen. V, 178, B. Βακχυλίδης περὶ Ἡρακλέους λέγων ὡς ἦλθεν ἐπὶ τὸν τοῦ Κήϋκος οἶκόν φησιν· (fr. XXXII. Neue.) Ἔστα δ' ἐπὶ λάϊνον οὐδόν, τοὶ δὲ θοίνας ἔντυνον, ὧδέ τ' ἔφα· Αὐτόματοι δ' ἀγαθῶν δαῖτας εὐόχθους ἐπίρχονται δίκαιοι φῶτες. Αἱ δὲ παροιμίαι ἡ μὲν φησιν· Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν· ἡ δὲ· Αὐτόματοι ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασιν. Hoc Socrates Platonicus invertit per jocum: ad Agathonis enim appellationem alludit. Quod autem idem Homerum abusum ait proverbio, ludit: proverbii poetae Iliadis non venit in mentem. Credunt tamen Interpretes Platonici. — Εὔπολις] fr. 276 Runkel.

20. B. 157. Diog. II, 34. Greg. Cypr. I, 84. Apost. II, 40. Arsen. 37. Suidas. Vide ad Zenob. I, 23.

ἐπειδή τις, ὡς φασίν, ἔμπορος ἔπλει τὴν ναῦν ἁλῶν πληρώσας· ἀποκαθευδησάντων δὲ τῶν ναυτῶν ἐπεισελθοῦσα ἡ θάλασσα τούς τε ἄλας ἐξέτηξε καὶ τὴν ναῦν κατεπόντισεν.

21 Ἀνεπαρίασαν: ἐπὶ τῶν μεταγινωσκόντων καὶ μετατρεπομένων εἴρηται ἡ παροιμία. Ἐπειδὴ οἱ Πάριοι πολεμούμενοι ὑπὸ Ἀθηναίων καὶ ἀνοχὰς παρ' αὐτῶν αἰτήσαντες καὶ τυχόντες ἐπὶ ὑποσχέσει τοῦ παραδώσειν τὴν πόλιν, εἶτα προσδοκήσαντες συμμαχίαν ἥξειν ποθὲν, ἔλυσαν τὰ ὁμολογούμενα.

22 Ἀνθ' Ἑρμιόνος: εἴρηται ἡ παροιμία ἐπὶ τῶν σωζόντων τοὺς ἱκέτας· ἐπειδὴ ἐν Ἑρμιόνῃ τῆς Πελοποννήσου ἱερὸν ἦν Κόρης καὶ Δήμητρος, ἀσφάλειαν παρέχον τοῖς καταφεύγουσιν. Μέμνηται ταύτης Ἀριστοφάνης ἐν Βαβυλωνίοις.

23 Ἀνερίναστος εἶ: τάττεται ἡ παροιμία παρ' Ἑρμίππῳ ἐν Στρατιώταις. Φασὶ δὲ ὅτι ἐρινεοῦ τῆς ὀλυνθηφόρου ἐν τῷ καρπῷ φύεται θηρία, ἃ προσαγορεύουσι ψῆνας. Τούτων οἱ γεωργοὶ λαβόντες ἁφάπτουσι τῶν κλάδων ταῖς συκαῖς, ὅπως αὐτῶν ὁ καρπὸς μὴ ἀπορρέῃ. Ἐνδυόμενον γὰρ εἰς τοὺς φήληκας τὸ θηρίδιον στερεοῖ

δεις)· ἢ ἐπὶ τῶν ἐπαναστρεφομένων ἔνθεν ἐξέβησαν· τὸ γὰρ παλαιὸν ἀγῶνος συντελουμένου γυμνικοῦ ἔν τισι τόποις τῆς Ἀττικῆς ἄλες ἔπαθλον ἐδίδοντο· ἐπὶ τοὺς ἐπιχωρίους δὲ τοῦτο μόνον συνέβαινεν ἀγωνιζομένους. οἱ γὰρ ξένοι ἀπείργοντο, ὡσὰν μηδένος τῶν ἔξω μετέχοντος τῆς ἀγωνίας, πάλιν ἐς τὸν αὐτὸν τόπον ἀποχωρεῖ. Contractius B, qui καθευδησάντων, εἰσελθοῦσα, ἔτηξε. ἔνθεν B et alii: vulgo ὅθεν. 6. Vulgo ὑπὸ Θηβαίων: ex Diogeniano et aliis correxit Gaisfordius. 7. παραδώσειν scripsi: legebatur προδώσειν. Illud recte Diogenianus aliique. 18. C: ἐπὶ τῶν ὁμοίως ἱερῷ σωζομένων· Ἑρμιὼν γὰρ ἐν Πελοποννήσῳ κτλ. ut Suidas, quem ex C. emendabis: habet enim: ἐπὶ τῶν ὁμοίως διασωζόντων. Vulgo Ἑρμίωνος, C Ἑρμίονος: scripsi Ἑρμιόνος ex praecepto Choerobosci Bekkeri Ann. 1207. et Steph. Byz. s. v., cfr. Lobeck. Parall. 146. 11. ἱκέτας Schottus: libri οἰκέτας. 15. Legebatur ἀνιρίνεος εἶ: mutavi cum Hesychio, Suid.: Etym. M, 108, 10. Ἀνηρίναστος ὁ μὴ κρατῶν ἃ ἔχει, ἀλλ' ἀποβάλλων. 20. Quod vulgo legebatur ἐνδυόμενον γὰρ εἰς τοὺς σφῆνας Schaeferus Greg. Cor. 508 ψῆνας reponebat, Valckenarius εἰς τοὺς ὀλίνθους ὁ ψήν: ego φήληκας petii ex Et. M.

21. Diog. II, 35. Apost. III, 62. Arsen. 57. Macar. Steph. Byz. s. Πάρος, Suidas. Eustath. Dionys. Perieg. 525. — Vid. Marx. ad Ephor. p. 212.

22. Coisl. 33. Vide Aristoph. Babylon. fr. XXI. Dindorf. et Fritzschii disputationem in Commentat. de Arist. Babyl. p. 50. — De asylo cf. Phot. 16, 3. Usurpat Libanius Epp. 35 et 613.

23. Hesych. s. ἀνηρίναστος, Suidas, Etym. M. 108, 10. Et. Gudian. 57, 35. Zonar. 172.

τούτους καὶ πεπαίνει. Διόπερ ἐπὶ τῶν ἅπερ ἂν λάβωσι μὴ διακρατούντων εἰρῆσθαι τὴν παροιμίαν.

24 Ἃ φιλοχρηματία Σπάρταν ἔλοι, ἄλλο δὲ οὐδέν: αὕτη λέλεκται ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν προαιρουμένων. Μετενήνεκται δὲ ἀπὸ χρησμοῦ δοθέντος Λακεδαιμονίοις, ἐν ᾧ ἔχρησε τότε ὁ θεὸς ἀπολεῖσθαι τοὺς Λακεδαιμονίους, ὅταν ἀργύριον καὶ χρυσίον τιμήσωσι. Μέμνηται τοῦ χρησμοῦ Ἀριστοτέλης ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ.

25 Ἀθηνᾷ τὸν αἴλουρον: ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ κρείττονα τοῖς ἥττοσι διὰ σμικρὰν ὁμοιότητα ἡ παροιμία εἴρηται· ὡς εἴ τις διὰ γλαυκότητα τὸν αἴλουρον τῇ Ἀθηνᾷ συγκρίνοι.

26 Ἀττικοὶ τὰ Ἐλευσίνια: ἐλλείπει τὸ καθ' ἑαυτούς. Λέγει δὲ Δοῦρις ὅτι ὅταν καθ' ἑαυτοὺς συλλεγέντες τινὲς πράττωσί τι, ἐπιλέγουσιν ἑαυτοῖς, Ἀττικοὶ τὰ Ἐλευσίνια.

27 Αὐτῷ μελητέον, ἀλλ' ἐπὶ τὸν οἶκον: μέμνηται αὐτῆς Ἀριστοφάνης ἐν Γεωργοῖς, καὶ Πλάτων ὁ κω-

---

3. ἕλοι constanter Paroemiographi. Recte Plutarchus aliique ὅλοι: vid. Bernhardy ad Suidam. 6. ἀπολεῖσθαι scripsi: legebatur ἀπολέσθαι. 8. μέμνηται — πολιτείᾳ om. B. 10. Ἀθηνᾷ B. 13. συγκρίνοι Gaisfordius: legebatur συγκρίνει: Diogenianus συμβάλλοι: συμβάλλει Plutarchus: παραβάλλοι B, qui τὰ κρ. τοῖς ἥττ. omissis μικρὰν scribit. 14. καθ' ἑαυτῶν B. Idem λέγεται δὲ ἐπὶ τῶν καθ' ἑαυ . . . τι πραττόντων. 15. καθ' ἑαυτούς Gaisf. ex Aldo et Diogeniano. Sic et Plutarchus. Vulgo καθ' ἑαυτόν. 18. Dindorfius ad Arist. fr. c. I. »in αὐτῷ μελητέον, quae ego non intelligo, alii viderint, an αὐτομολητέον lateat, quod in fine trimetri opinor collocatum fuisse. Litterarum magnam similitudinem habet *Μελιτέων οἶκος*, ab Hesychio et Photio memoratus; *Μελιτέων οἶκος: ἐν τῷ (τῶν Μελιτέων* addit Hesychius) *δήμῳ παμμιγέθης ἦν οἶκος, εἰς ὃν οἱ τραγῳδοὶ φοιτῶντες ἐμελέτων.* Ei tamen hic non videtur locus esse.« In his ego tenebris caecutio: tentabam αὐλωδῷ μελητέον, alia: frustra omnia.

24. B. 152. Diogen II, 36. Plut. 43. Apost. V, 11. Arsen. 87. Macarius: Plutarch. Lacon. Instit. p. 239, E. Diodori Excc. Vat. p. 3. Dind. Scholl. Arist. Pac. 623. Suid. s. διεφθονόξενοι. Ciceronis Off. II, 22, 7. Rem tangit Plutarchus Agide 9. Alludit Eurip. Androm. 451.

25. B. 153. Diog. II, 37. Plut. 45. Apost. I, 73. Arsen. 24. Macarius: *λείπει τὸ παραβάλλει τις.* Suidas.

26. B. 154. Diog. I, 51. II, 38. Plut. 50. Apost. IV, 74: *ἐπὶ τῶν τὰ ἀπόῤῥητα μυουμένων· οἱ γὰρ Ἀττικοὶ ἐν Ἐλευσῖνι ἐπετέλουν τὰ τῆς Δήμητρος μυστήρια.* Arsen. 82. Macarius.

27. Aristoph. *Γεωργῶν* fr. XV.

μικός. Ἦν δὲ οὗτος ὁ οἶκος μέγας εἰς ὑποδοχὴν μισθουμένων.

28 Ἀττικὸς πάροικος: Λοῦρις [καὶ] περὶ αὐτῆς λέγει, ὅτι ἐπειδὴ Ἀθηναῖοι τοὺς περιοικοῦντας αὐτοῖς καὶ γειτνιῶντας ἐξέβαλον, ἡ παροιμία ἐκράτησε. Κρατερὸς δὲ ἀπὸ τῶν εἰς Σάμον πεμφθέντων Ἀθήνηθεν ἐποίκων τὴν παροιμίαν εἰρῆσθαι. Ἀττικοὶ γὰρ μεταπεμφθέντες εἰς Σάμον κἀκεῖ κατοικήσαντες τοὺς ἐγχωρίους ἐξέωσαν.

29 Αὐτοὶ χελώνας ἔσθεθ' οἵπερ εἵλετε: ἁλιεῖς ποτε χελώνας ἀνασπάσαντες διὰ τῶν δικτύων, διένειμον τοῖς παριοῦσιν. Οἱ δὲ μὴ βουλόμενοι λαμβάνειν εἶπον τοῖς ἁλιεῦσιν, Αὐτοὶ χελώνας ἐσθίετε, οἵπερ εἵλετε. Ὅθεν εἰς παροιμίαν ὁ λόγος περιέστη.

30 Ἀσπένδιος κιθαριστής: Ζήνων ὁ Μύνδιος ἐπὶ τῶν φιλοχρημάτων φησὶ τετάχθαι τὴν παροιμίαν, λέγων· »Καθάπερ οἱ Ἀσπένδιοι τῶν κιθαριστῶν οὐδεμίαν φορὰν ἔξω φέρουσι, πάσας δὲ ἐν τῷ ὀργάνῳ, οὕτως καὶ ὁ φιλοχρήματος οὐδὲν τῶν πέλας ἕνεκα οἰκονομεῖ, ἕλκει δὲ ἐφ' ἑαυτὸν πάντα.«

---

3. Seclusi καὶ. Alias περὶ ταύτης scribendum. 6. Libri ἐποίει ἐποίκων Plutarchus: correxit Valckenarius. 12. παροῦσιν P H F Hesychius. 13. ἔσθεθ' scripsi: legebatur ἐσθίετε. 18. φορὰν om. Aldus. ἐντὸς ὀργάνων Plutarchus. Recte.

28. Plut. 59. Macar. p. 83. Affert Aristoteles Rhet. II, 21, 12. De colonis illis Samiis vide Wesselingium ad Diod. Sic. XVIII, 8. Panofk. R. Sam. 97.

29. Diog. I, 36. Apost. V, 1. Arsen. 85. Hesychius.

30. Plut. 120. Cicero II. Verr. I, 20, 53. *Atque etiam illum Aspendium citharistam, de quo saepe audistis id quod est Graecis hominibus in proverbio, quem omnia intus canere dicebant, sustulit et in intimis suis aedibus posuit: ut etiam illum ipsum artificio suo superasse videatur.* Asconius sive quis alius haec commentatur: *Quum canunt citharistae utriusque manus funguntur officio. Dextra plectro utitur et hoc est foris canere: sinistrae digitis chordas carpunt et hoc est intus canere. Difficile autem quod Aspendius citharista faciebat, ut non uteretur cantu utraque manu, sed omnia i. e. universam cantionem intus et sinistra tantum manu complecteretur. Unde omnes quotquot fures erant a Graecis Aspendii citharistae in proverbio dicebantur, quod ut ille carminis, ita isti furtorum occultatores erant. Valet hoc proverbium et in eos, qui multum intestinis suis commodis consulunt praeter honestatem.* Cicero Leg. Agr. II, 26, 68. *Atque hoc carmen hic tribunus plebis non vobis, sed sibi intus canit.*

31 *Αὐτῷ κανῷ*: *αὕτη τάττεται κατὰ τῶν ἄρδην ὁτιοῦν λυμαινομένων. Φησὶ γὰρ ὁ Δίδυμος ὅτι τὰ δεῖπνα ἐπὶ κανῶν ἐκομίζετο. Καθάπερ ἐν Γρυψὶ λέγει καὶ Πλάτων·*

Ἀνηρπάκασ' ἅπαξάπαντ' αὐτῷ κανῷ.

32 *Ἄφυα πῦρ*: *ἐπὶ τῶν τὸ τέλος ὀξὺ λαμβανόντων ἡ παροιμία, παρόσον καὶ τὴν ἀφύαν τάχιστα ἕψεσθαι συμβαίνει μόνον ἰδοῦσαν τὸ πῦρ.*

33 *Ἀφ' ἵππων ἐπ' ὄνους*: *τὴν παροιμίαν ταύτην ἐροῦμεν ἐπὶ τῶν ἀπὸ τῶν σεμνῶν ἐπὶ τὰ ἄσεμνα ἡκόντων· οἷον ἀπὸ γραμματικῶν ἐπὶ πραγματικά, ἢ εἰς ἄλλο τι τῶν ἀτιμοτάτων.*

34 *Ἀτρέως ὄμματα*: *οἱονεὶ ἄτρεπτα καὶ σκληρά. Εἴρηται ἀπὸ τῆς Ἀτρέως παρανομίας, ὃς ὑπονοήσας ἐκ διαβολῆς τὸν ἀδελφὸν Θυέστην μοιχεύειν Ἀερόπην τὴν γυναῖκα αὐτοῦ, τὰ τέκνα τοῦ Θυέστου συγκόψας καὶ ἑψήσας, δειπνοῦντι παρέθηκε τῷ πατρὶ, αἴσθησιν παρασχὼν τῆς συμφορᾶς ἐκ τοῦ τελευταῖα τὰ ἄκρα παραθεῖναι.*

35 *Ἄφωνος Ἱππαρχίων*: *κατὰ τοὺς προπάτορας ἡμῶν δύο κιθαρῳδοὶ διάσημοι ἐγένοντο, Ἱππαρχίων καὶ Ῥουφῖνος. Καὶ δὴ ἀγῶνος ἐνστάντος πενταετηρικοῦ ἀγο-*

---

3. *ἐν Κρυψίοις λέγεται Πλ.* vulgo: *ἐν Κρυφίοις* Fabricius, *ἐν Κρυφίνοις* Valckenarius, *ἐν Γρυψὶ λέγει καὶ Πλ.* Meinekius Q. S. II, 15. Simpliciter *Πλάτων* B. 5. *ἄναξ ἅπ.* B. *ἀνηρπάκασ'* Meinekius. Et sic B: vulgo *ἀνήρπακας*. 6. *ἀφύα* scripsi: legebatur *ἀφύας*. *τέλος* omisso *τὸ* B Diog. Plut. Scholl. Ar. Eqq. 642 aliique. 10. *τῶν σεμνῶν* P H: vulgo *σεμνῶν*. 14. *παρανομίας* P B: *παρανομ* supra scripto *ος* H: vulgo *παρανομῆς*. *ἐκ διαβολῆς* B. 16. *καὶ ἑψήσας* om. B. 18. *τελευταῖα τὰ ἄκρα παραθεὶς, ὥστε αἴσθησιν αὐτῷ δοῦναι τοῦ μύσους* B. 21. *πενταετηρικοῦ* P H F. Aut *ἐνστάντος* aut *ἀγομένου* supervacaneum videtur Gaisfordio: neutrum vero.

31. B. 155. Diog. II, 39. IV, 68. Apost. IV, 97. IX, 21. Arsen. 85. 242.

32. B. 156. 510. C. 265. Plut. 128. Diog. II, 41. Arsen. 88. Macar. p. 305. Apud Scholl. Arist. Eqq. 642. Bekker. Anm. p. 472, 26. Suidam *Ἀφύα ἐς πῦρ*. Vide ad Zenob. IV, 25. Intpp. Hesych. *ἴδε πῦρ ἀφύη*. Clearchus *ἐν τοῖς περὶ παροιμιῶν* Ath. VII, 285, C. *Διὰ τὸ μικροῦ δεῖσθαι πυρὸς ἐν τοῖς τηγάνοις οἱ περὶ Ἀρχέστρατον ἐπιβάλλοντες κελεύουσιν ἐπὶ θερμὸν τήγανον σίζουσαν ἀφαιρεῖν· ἅμα δ' ἥπται καὶ σίζει, καθάπερ τοὔλαιον εὐθύς· διὸ λέγεται ἴδε πῦρ ἀφύη.* Vid. ad Zenob. I, 77. Coisl. *ἴδε πῦρ ἰδ' ἀφύη*.

33. Diog. I, 96. Apost. V, 9. Arsen. 86. Vide II, 5.

34. B. 154. Diog. II, 42. Apost. IV, 67. Arsen. 81. Macarius: *ἐπὶ τῶν ἀναιδῶν καὶ ἀδικωτάτων*: Suidas.

35. Suidas v. *Ἱππαρχίων ἄφωνος*.

μένου ἐν Ἡλιουπόλει κατὰ τὸ ἔθος, Ἱπαρχίων ἀχανὴς ἔστη ταραχῇ τῇ περὶ τὸ θέατρον.

36 Ἄρκτου παρούσης, ἴχνη μὴ ζήτει: ἐπὶ τῶν δειλῶν κυνηγῶν εἴρηται ἡ παροιμία. Μέμνηται δὲ αὐτῆς Βακχυλίδης ἐν Παιᾶσιν.

37 Ἄιδεις ὥσπερ εἰς Λῆλον πλέων: ἐπὶ τοῦ ἀφροντίστου καὶ φιληδονοῦντος. Εὐχερὴς γὰρ ὁ πρὸς τὴν Λῆλον πλοῦς, καὶ οἱ ἐκεῖσε καταίροντες ἀφροντίστως πλέοντες ἥδον.

38 Ἀετοῦ γῆρας, κορύδου νεότης: παρόσον καὶ γηράσκων ἀετὸς ἀμείνων ἐστὶ παντὸς νεάζοντος ὄρνιθος. Λέγεται δὲ τὸν βίον ἀετὸς καταστρέφεσθαι, τῆς καμπῆς τοῦ ἄνω χείλους πρὸς τὸ κάτω συγκαμψάσης.

39 Ἀράβιος αὐλητής: φασὶ τοὺς Ἀραβίους ἐν ταῖς νυκτεριναῖς φυλακαῖς κεχρῆσθαι αὐλῷ ἐπιμήκει· τὸν δὲ αὐλὸν τοῦτον διαδέχεσθαι ἄλλυν ἀπ' ἄλλου, καὶ αὐλεῖν πῦρ ἀνακαίοντας ἄχρις ἂν γένηται ἡμέρα.

40 Ἄλις δρυός: ἐπὶ τῶν ἐκ φαυλοτέρας διαίτης ἐρχομένων ἐπὶ βελτίονα εἴρηται ἡ παροιμία. Ἐπειδὴ τὸ

---

3. τὰ ἴχνη ζητεῖς (sic et Diog. Plut. Suidas: ἴχνη ζητεῖς Apost.)· ἐπὶ τῶν δήλων ἡ παροιμία· εἴρηται δὲ ἀπὸ τῶν κυνηγῶν B omissis reliquis. 6. ἐπὶ τῶν ἀφροντίστων omissis reliquis B. 11. ἀμεῖνον (sic) ἐστὶ παντὸς νεάζ. ὄρν. B, ex quo παντὸς interposui vulgo desideratum. 13. εἰς τὸ κάτω χρόνῳ συγκαφθείσης B: συγκαμψάσης etiam Apostolius. 18. εἰς ἀμείνονα μετατιθέντων B: ἐπὶ βελτίονα τεθέντων A. 19. Pergit B: παρόσον οἱ παλαιοὶ ἐπαύσαντο βαλανηφαγίας εὑρεθέντων σίτου καὶ οἴνου, τοῦ μὲν ὑπὸ τῆς Δημήτρας, τοῦ δὲ οἴνου ὑπὸ Διονύσου.

36. Vid. Diog. II, 70. Bacchylidis fr. XIV. Neue. Comparant Plutarchum Lucullo 8. Οὐκ ἔφη δειλότερος εἶναι τῶν κυνηγῶν, ὥστε τὰ θηρία παρελθὼν ἐπὶ κενοὺς αὐτῶν τοὺς φωλεοὺς βαδίζειν. Aristaenet. Epp. II, 12. ibique Intpp.

37. B. 34. Diog. I, 22. Apost. I, 45. Arsen. 19. Suidas. Vide Nitzsch. Melett. I, p. 137.

38. B. 36. Diog. I, 56. Greg. Cypr. I, 4. Apost. I, 63. Arsen. 21. Macar. Suidas. Aristoteles H. A. IX, 2. Γηράσκουσι τοῖς ἀετοῖς τὸ ῥύγχος αὐξάνεται τὸ ἄνω γαμψούμενον ἀεὶ μᾶλλον καὶ τέλος λιμῷ ἀποθνήσκουσιν. Cfr. Demetr. Eloc. 107. *Aquilae senectus* Terent. Heaut. III, 2, 10.

39. B. 59 consentit cum Zenob. II, 53. Confer Diog. I, 28. Coisl. 40. Greg. Cypr. I, 32. Apost. IV, 22. Arsen. 72. Steph. Byz. v. Ἀραβία, Eustath. Dion. Perieg. 939: Suidas. Usurpat Libanius IV, 143. Rsk. Ἀράβιος αὐλητὴς ἡ γυνή, μᾶλλον δὲ καὶ παρελήλυθε, τρυγόνος λαλιστέρα κτλ. Adde Pollucem VI, 120. Meinek. Menandr. p. 17 sqq. Liban. Epp. DCCLVIII. Μακρὸν ἂν εἴη λέγειν καὶ αὐλητοῦ φασιν Ἀραβίου.

40. B. 45. Diog. I, 62. Apost.

ἀρχαῖον οἱ ἄνθρωποι βαλάνοις δρυὸς τρεφόμενοι, ὕστερον εὑρεθεῖσι τῆς Δήμητρος καρποῖς ἐχρήσαντο.

41 Ἄλλην δρῦν βαλάνιζε: ἐπὶ τῶν συνεχῶς αἰτούντων ἢ παρὰ τῶν αὐτῶν δανειζομένων εἴρηται ἡ παροιμία. Ἐπεὶ βαλάνοις ἔζων τὸ πρὶν οἱ ἄνθρωποι· καὶ Βαλανιστὰς ἐκάλουν τοὺς μισθῷ τὸν καρπὸν τοῦτον συλλέγοντας. Πρὸς τοίνυν τοὺς τῆς συλλογῆς ἤδη πεπληρωμένης περισκοποῦντας εἴτινες εἶεν ἐν τῇ δρυῖ βάλανοι, οἱ παριόντες ἔλεγον σκώπτοντες, Ἄλλην δρῦν βαλάνιζε.

42 Ἀεί τις ἐν Κύδωνος: ἐπὶ τῶν φιλοξένων, καὶ πρὸς ὑποδοχὴν ἑτοίμων· παρόσον ὁ Κορίνθιος Κύδων φιλοξενώτατος ἐγένετο.

43 Ἀεὶ γεωργὸς εἰς νέωτα πλούσιος: ἐπὶ τῶν ἐλπίδι μὲν ἀεὶ τρεφομένων ἀπαλλάττεσθαι τῶν δεινῶν, τοῖς αὐτοῖς δὲ πάλιν περιπιπτόντων.

44 Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι: ἐπὶ

---

3. B ἐπὶ τῶν ἐνδελεχῶς τι αἰτούντων περὶ (l. παρὰ) τῶν αὐτῶν· ἐπειδὴ γὰρ βαλάνοις ἔζων τὸ παλαιὸν, σκώπτοντο (sic) τοὺς παριόντας καὶ περισκοποῦντας τὰς δρῦς, οὓς καὶ βαλάνους ἐκάλουν, ὡς μισθοῦ τοῦτο πράττοντας τὸ παρὸν ἐπιφώνουν οἱ ταύτας ἔχοντες. 10. αἰεὶ B. 39: BV: τὶς ἐν Κύδωνος: ἐπὶ τῶν φιλοφρόνως δεχομένων τοὺς ξένους· ἀπὸ Κύδωνος Κορινθίου φιλοξένου. 13. αἰεὶ γεωμόρος B. 14. B: μείζονα γὰρ τὴν μέλλουσαν εὐπορίαν (A. ἀπορίαν) ἐλπίζει. ἐλπίδι B: legebatur ἐπ' ἐλπ. 16. Apost. Arsen. addunt: μεταγε-

II, 76. Arsen. 41. Macar. Hesych. Suid.: Marcell. Praefatio. Eustathius Od. T, 166. p. 1859, 49. Ἄλις δρυὸς ἐπὶ τῶν δυσχερῶς φασι καὶ ἀηδῶς ἐσθιόντων, ὕστερον δὲ κάλλιόν τι εὑρόντων. Cic. Att. II, 19. Liban. Epp. MLXXXII. Buttmann. ad Dicaearch. fr. 13.

41. B. 23. Diog. I, 19. Greg. Cypr. I, 9. Apost. II, 47. Arsen. 39. Macar. Suid. Eustathius Od. T, 166. p. 1859, 51. Ἄλλην δρῦν βαλάνιζε ἄλλως ἐναλλαγὴν βίου δηλοῖ, οὐ μὴν τὴν ἐκ πάντη ἀγρίου εἰς ἥμερον. Vide Epigr. Ἀδέσπ. LX, 1. et Zenob. I, 21. III, 58.

42. B. 39. V. IV, 19. B. 910. Plut. 129. Diog. VIII, 42. Apost. XVIII, 66. Arsen. 447. Macar. p. 23: Eustath. Od. T, 292. p. 1468, 26: Κύδωνες δὲ, Κρήτης ἔθνος καὶ Κυδωνὶς, πόλις αὐτόθι ποταμὸν ἔχουσα Ἰάρδανον. εἰ δ' ἐκ τοῦ τοιούτου Κρητικοῦ τόπου καὶ τὰ Κυδώνια παρωνόμασται μῆλα, οὐκ ἔστι βεβαίως εἰπεῖν· ὁμοίως δὲ ἀβέβαιον καὶ τὸ φάναι ἀπὸ Κύδωνος αὐτοὺς ὠνόμασθαι τοῦ πάνυ φιλοξένου, περὶ οὗ παροιμία κεῖται Ἀεί τις ἐν Κύδωνος: Od. T, 176 p. 1861, 10: Κύδωνες δὲ ἀπὸ Κύδωνός φασι τοῦ Ἀπόλλωνος, περὶ ὧν καὶ ἀλλαχοῦ δηλοῦται. εἰ δ' οὗτός ἐστι καὶ ὁ παροιμιαζόμενος κατὰ τὸ, Ἀεί τις ἐν Κ. διὰ τὴν κατ' ἐκεῖνον φιλοξενίαν, οὐ πάνυ δῆλον. Suidas. Vide Muelleri Dorr. II, 414.

43. B. 40. Philemoni tribuunt Apost. I, 56. Arsen. 22. ibiq. Macarius. Vide Meinek. Men. et Phil. 287.

44. Diog. I, 58. Greg. Cypr. I, 18. Apost. I, 57. Arsen. 22: Suidas.

τῶν εἰς πάντα εὐδαιμονούντων. Οἱ δὲ, ἐπὶ τῶν ἀξίως τιμωμένων.

45 Ἀγὼν πρόφασιν οὐκ ἐπιδέχεται, οὔτε φιλία: ὁ Μύλων ὁ παροιμιογράφος Ἰβύκειον τὴν παροιμίαν ταύτην φησὶν, ὡς πρώτου χρησαμένου τοῦ Ἰβύκου.

46 Ἀκλητὶ κωμάζουσιν ἐς φίλων φίλοι: παροιμία ὁμοία τῇ,

Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν.

47 Ἀεὶ κολοιὸς ποτὶ κολοιὸν ἰζάνει: ἐπὶ τῶν τοῖς ὁμοίοις προσομιλούντων. Ἐπειδὴ οὐ μόνον ἐστὶ τὸ ζῶον φιλάλληλον καὶ συνδυαστικὸν καὶ ἀγεληδὸν πετόμενον, ἀλλὰ καὶ ἁλίσκεται διὰ τὴν αὐτοῦ σκιὰν, προσερχόμενον αὐτῇ καθ' ὕδατος ὁραθείσῃ.

48 Ἀμαλθείας κέρας: ἡ παροιμία αὕτη ὁμοία ἐστὶ τῇ, Αἴξ οὐρανία.

γραμμένου τοῦ εὖ πίπτουσι εἰς τὸ ἐμπίπτουσι, quod reddimus auctori. Nempe ex Diogeniano rescribendum erat τιμωμένων pro vulg. τιμωρουμένων. Recte Macarius: ἐπὶ τῶν ἀξίως εὐδαιμονούντων. 9. πὰρ κολοιῶ ἰζάνειν F et fere reliqui. Correctum ex B, ubi est: ἐπὶ τῶν ὁμοίοις προσομιλούντων. . . . . φιλάλληλον καὶ ἀγεληδὸν πετόμενον, ἀλλὰ καὶ . . . . . ὁραθεῖσαν καθ' ὕδατος. 13. αὐτῇ καὶ καθ' ὕδωρ legebatur: delevi καὶ. 14. Ἀμαλθίας B, qui addit τὸ πάντων ἐπιτυγχάνειν. C: ἐπὶ τῶν ἀφθόνως ζώντων. Ἀπὸ τῆς Ἀμαλθείας τῆς τροφοῦ (Cod. τροφός) τοῦ Διὸς, ἣ γάλακτι αὐτὸν ἔτρεφεν. ἢ ἀπὸ Ἀμαλθείας γυναικὸς καπηλίδος, ἣ τις πᾶσαν τὴν ἐμπολὴν κέρατι εἶχεν: εἰς ἣν χάριν πότου Ἡρακλῆς εἰσιὼν, τὸ κέρας κέκλοφεν, ἀφ' οὗ φασὶν εὐθηνήσαντα τὸν Ἡρακλέα καλῶς ζῆσαι.

45. B. 41. Greg. Cypr. I, 19. Suidas. Vide quae commentati sumus ad Ibyci Rheg. fr. XXIII. quibus non video quid addatur praeter Scholl. Plat. 370. Bekker. quae testantur usum eo proverbio Aristophanem Thesmophoriazusis alteris fr. XIX, 318. Dindorf.

46. B. 43. Diog. I, 60. Greg. Cypr. I, 81. Apost. II. 21. Arsen. 34. Macar. Suidas. Vide II, 19. Eustathius Il. *B*, p. 247. Ἐκ τοῦ αὐτόματος ἦλθεν ὁ ἀδελφὸς Μενέλαος παροιμία ὕστερον ἐπενοήθη τὸ Ἀκλητὶ κωμάζουσιν ἐς φίλους (ἢ ἐς φίλων) φίλοι.

47. B. 44. Diog. I, 61. Greg. Cypr. I, 15. Apost. I, 54. (qui hausit ex Ael. H. A. XVII, 16.) Arsen. 22. Macar. Plut. 66. Ἀεὶ κολοιὸς πὰρ κολοιὸν ἰζάνει: Scholl. Plat. 143. Ruhnk., 395 Bekker., Scholl. A Iliad. *P*, 755. Συναγελαστικὸν ὁ κολοιὸς καὶ φιλάλληλον, ὡς ἡ παροιμία· Καὶ γὰρ κολοιὸς παρὰ (αὐτὶ κ. ποτὶ D.) κολοιὸν ἰζάνει. Usurpant Aristot. Eth. Nic. VIII, 1. Καὶ κολοιὸς ποτὶ κολοιόν. Rhet. I, 11. Ἀεὶ κολοιὸς πρὸς κολοιόν. Ethic. ad Eudem. II, 3. Καὶ κολοιὸς ποτὶ κολοιὸν, ἔγνω δὲ φώρ τε φῶρα καὶ λύκος λύκον. Liban. Ep. 1186. Vide Wyttenbachium Plut. Morall. 93, E. Intt. ad Plat. Rep. I, 329 A. Schottus addit Gregor. Naz. Ep. ad Eudoxum: Κολοιὸς δὲ ποτὶ κολοιὸν ἰζάνει καὶ τῆς παροιμίας ἀκούεις.

48. Vide I, 26. B. 48 convenit cum Plut. 127. C. 23. Cfr. Diog.

Εἴρηται δὲ ἐντεῦθεν. Ἡ Ῥέα τὸν Δία τεκοῦσα ἐν Κρήτῃ, δίδωσι τοῦτον τρέφεσθαι ταῖς Μελισσέως παισὶ Νύμφαις Ἀδραστείᾳ τε καὶ Ἴδῃ. Αὗται μὲν οὖν τὸν παῖδα ἔτρεφον τῷ τῆς Ἀμαλθείας αἰγὸς γάλακτι· αὐξηθεὶς δὲ ὁ Ζεὺς τὴν μὲν αἶγα κατηστέρισεν, ὅθεν Αἴξ οὐρανία λέγεται, θάτερον δὲ τῶν ταύτης κεράτων ταῖς Νύμφαις δίδωσι, δεδωκὼς αὐτῷ χάριν, ἵν' ὅπερ αἱ Νύμφαι θέλωσιν, αὐταῖς ἀναβλύζῃ. Τοῦτο ὕστερον Ἀχελῶος λαβὼν, Ἡρακλεῖ δέδωκεν ἀντίλυτρον περιάξαντι θάτερον τῶν κεράτων αὐτοῦ, ὅτε περὶ τοῦ γάμου τῆς Δηϊανείρας πρὸς ἀλλήλους ἐμάχοντο. Εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν ἀρθόνως τισὶ παρεχομένων τὰς τοῦ πλουτεῖν ἀφορμάς· ἐπεὶ καὶ ὁ τὸ κέρας τῆς Ἀμαλθείας ἔχων, πᾶν ὃ ἐβούλετο ἀρθόνως ἐλάμβανεν.

49 *Ἀετὸν ἵπτασθαι διδάσκεις: ἐπὶ τῶν ἐγχειρούντων διδάσκειν τινὰς ἃ ἐπίστανται μᾶλλον τῶν θελόντων διδάσκειν.*

50 *Ἀετὸς ἐν νεφέλαις: ἔστι μὲν οὖν χρησμός· εἴρηται δὲ ἐπὶ τῶν δυσαλώτων, παρόσον ὁ ἀετὸς ἐν νεφέλαις ὢν οὐχ ἁλίσκεται.*

51 *Ἀεὶ φέρει τὶ Λιβύη καινὸν κακόν: ἐπὶ τῶν κακουργοτάτων, καὶ ἀεὶ προεξευρισκόντων νεώτερον τι κακόν.*

---

1. *ἐν Κρήτῃ* om. B. 6. *τῶν κεράτων αὐτοῦ* Schottus: libri *τ. κ. αὐτῆς.* 15. Legebatur *αἰετόν.* Reliqui omnes *ἀετόν.* B: *ὁμοία τῇ Λιλφῖνα πήχεσθαι διδάσκεις·* [vid. infr. III, 30] *ἐπὶ τῶν θελόντων διδάσκειν τινὰ ἃ ἐπίσταται.* 18. *ἀετὸς* B: legebatur *αἰετός.* 21. Deerat *καινόν*, quod pro vulg. *κακὸν* exstat apud Aristot. Et Zenobium legisse *καινὸν κακόν* ipsius explicatio arguit.

I, 64. Greg. Cypr. I, 16. Apost. II, 86. Arsen. 49. Macar. Hesych. Suidas: cf. Boissonad. Ann. Grr. III, 12. Usurpavit primus Anacreon fr. VIII, 1. Phocylides fr. I. Brunck. Ad narrationem istam confer Apollod. I, 1, 6. II, 7, 5. et Argumentum Soph. Trachiniarum.

49. B. 49. Diog. I, 65. Greg. Cypr. I, 17. Apost. I, 58. Arsen. 20. Macar. Suidas. Aelian. H. A. XV, 22.

50. B. 50. Diog. I, 67. Greg. Cypr. I, 20. Arsen. 21. Suidas, qui iterum apponit v. *αἰετός.* Aristophanis Eqq. 1008. *Αἰετὸς ἐν νεφέλησι γενήσεαι ἥματα πάντα.* cll. 1093. Avv. 979. Daetalenss. fr. 28. Dindorf. Plenius oraculum vide in Scholl. Eqq. 1008 (1010). Plutarch. Demosth. 20. cll. Scholl. Aristid. 114. Frommel. III, 341. Dindorf. Boissonad. ad Theod. Hyrt. Ann. Grr. II, 451. Aliena propinant Apostol. I, 62. Arsen. 21. Macarius.

51. B. 51. Diog. I, 68. Greg. Cypr. I, 27. Apost. I, 67. Arsen.

52 Ἀεί με τοιοῦτοι πόλεμοι διώκοιεν: ἐπὶ τῶν ἀνάνδρων καὶ μηδενὸς ἀξίων.

53 Ἀετὸς θρίπας ὁρῶν: ἐπὶ τοῦ ἀφροντιστοῦντος καὶ καταφρονοῦντος τῶν μικρῶν.

54 Ἀζάνια κακά: ἐπὶ τῶν κακοῖς προσπαλαιόντων. Ἀζάναι γὰρ τόπος ἐστὶ τῆς Ἀρκαδίας λεπτόγεως, σκληρὸς καὶ ἄκαρπος, περὶ ὃν πονοῦντες γεωργοὶ οὐδὲν κομίζονται.

55 Ἀνάγυρον κινεῖν: ἔστιν ὁ Ἀνάγυρος (Ἀναγυροῦς) δῆμος Ἀττικὸς, ἔνθα δυσῳδες φυτὸν φύεται, οὕτω καλούμενον Ἀνάγυρος. Εἴρηται οὖν ἡ παροιμία ἐντεῦθεν ἐπὶ τῶν κινούντων τινὰ ἐπὶ κακῷ ἑαυτῶν. Τινὲς δὲ λέγουσιν ὅτι Ἀνάγυρος ἥρως γέγονεν, ὅστις τοὺς οἴκους τῶν γειτονούντων αὐτῷ ἐκ βάθρων ἀνέστρεψεν, ἐπειδὴ τὸ ἡρῷον αὐτοῦ ὑβρίσαι ἐπεχείρησαν. Μέμνηται ταύτης Ἀριστοφάνης ἐν Λυσιστράτῃ.

---

1. Suidas πολέμιοι. 3. B ἐπὶ τῶν ἀφροντιστούντων καὶ καταφρονούντων τῶν μ. 5. Ἀζάνια scripsi: legebatur Ἀζάνια: B Ἀζανία, Diog. Ars. Macar. Ἀζαναῖα. Ἀζάνιος ethnicum attestatur Steph. Byz. 6. Ultima B sic: σκληρὸς γὰρ τόπος ἡ Ἀζανία, εἰς ἣν οἱ γεωργοῦντες οὐδὲν ἐκαρποῦντο. Ἀζανία habet et Macarius, Ἀζάναια Diogenianus, Ἀζάνη Apost. Arsenius. 8. C: Ἀνάγυρος: δῆμος τῆς Ἀττικῆς, ἔνθα ἦν βορβορώδης τόπος κἀντεῦθεν δυσῳδης, ὃς κινούμενος πολλὴν ἐποίει τὴν δυσωδίαν. Ἐντεῦθεν ἐπεκράτησε καὶ παροιμία, κινεῖς τὸν Ἀνάγυρον, ἐπὶ τῶν ἑαυτοῖς ἐπικινούντων κακά. Ἔνιοι δὲ ἀπὸ ἀναγύρου, λοχμώδους φυτοῦ ἀλιξικάκου ὄντος, ὃ τριβόμενον ὄζει καὶ δυσωδίαν ἐπιφέρει τὴν τοῦτο τρίβοντα. Οἱ δὲ φασὶν ἀπὸ ἱερείας τινὸς τῆς Ἑκάτης, ἥτις ἐνθουσιοῦσα καὶ βακχευομένη τῇ δαίμονι, ἠπίλλει κινῆσαι αὐτῇ τὸν ἀνάγυρον· καὶ ἅμα λαμβάνουσα τοὺς ἐκ τοῦ φυτοῦ λύγους, ἐμάστιζεν ἑαυτήν, ὡς δῆθεν τὴν Ἑκάτην ἐκ τούτου λυποῦσα· καὶ ἡ παροιμία ἐπεκράτησεν ἐπὶ τῶν ἑαυτοῖς ἐπιφερόντων κακά. Ἀνάγυρος ἥρως B et Valckena-

22. Macar.: Aristot. H. A. VIII, 28. Usurpant Anaxilas ἐν Ὑακίνθῳ Ath. XIV, 623, F. Ἡ μουσικὴ δ' ὥσπερ Λιβύη πρὸς τῶν θειῶν ἀεί τι καινὸν κατ' ἐνιαυτὸν θηρίον τίκτει. Nicephor. Greg. II, 507, B. Paris. Ἐγώ, φησὶν, ὦ παῖ, τὴν παροιμίαν τὴν Ἀεί τι Λιβύη φάσκουσαν φέρει καινὸν ἐπαινῶ κτλ. Confer Schaefer. Poett. Gnom. 279. Perperam ad fabulas Libysticas haec trahit Bernhardy Hist. Litt. Grr. I, 58. Plin. N. H. VIII, 16. *Semper aliquid novi Africa affert.*

52. B. 53. Diog. I, 70. Greg. Cypr. I, 23. Apost. I, 66. Arsen. 22.

53. B. 54. Diog. I, 71. Greg. Cypr. I, 24. Apost. I, 64. Arsen. 21. Macar.

54. B. 55. Diog. I, 24. Apost. I, 70. Arsen. 24. Macar. Originem proverbii expedit Steph. Byz. s. v. Ἄζανοί. Confer Muelleri Dorr. II, 450.

55. B. 56. C. 31. Diog. I, 25. cll. 52. Greg. Cypr. I, 22. Macar. 56. Bekker. Ann. 210, 5. Aristophanis locus est Lysistr.

56 *Ἄνω ποταμῶν ἱερῶν χωροῦσι πηγαί: παροιμία ἐπὶ τῶν ὑπεναντίως λεγομένων ἢ γινομένων· οἷον εἰ ὁ πόρνος τὸν σώφρονα ἔλεγε πόρνον. Ἐπειδὴ οἱ ποταμοὶ ἄνωθεν κάτω ῥέουσιν, οὐ κάτωθεν ἄνω.*

57 *Ἀπ' ὄνου καταπεσών: ἡ παροιμία τέτακται ἐπὶ τῶν μειζόνων καὶ ἀδυνάτων· ὡς Ἀριστοφάνης· Ἀπὸ τύμβου πεσών. Καὶ Εὔπολις, Ὥσπερ ἀπὸ χθονὸς πεσών.*

58 *Ἀράβιος ἄγγελος: παροιμία παρὰ τὸ Ἀράβιος αὐλητὴς παραλαμβανομένη ἐπὶ τῶν ἀπαύστως διαλεγομένων. Εἴρηται δὲ ἐπὶ τοῦ Ἀραβίου αὐλητοῦ, ὡς ἠύλει μὲν δραχμῆς, ἐπαύετο δὲ τεττάρων.*

59 *Ἀρκάδας μιμούμενος: παροιμία ἐπὶ τῶν ἄλ-*

---

rius Diatr. Eur. 269. Legebatur ἄνθρωπος ἥρως. B habet: *Ἀνάγυρος γὰρ Κρὴς* (l. ἥρως) *ἐπιχώριος τοὺς γειτονοῦντας ἐκ βάθρων ἀνέστρεψεν, ἐπειδὴ τὸ ἡρῷον αὐτοῦ ὕβρισαι ἐπεχείρησαν.* 1. ἱερῶν om. B C. 3. *εἰ πόρνος τὸν σώφρονα τοῦτο λέγει* B. 5. Bodlejanus: *Οἱ δὲ ἀπὸ νοῦ φασιν· ἀπὸ τοῦ ζώου συντέτακται ἐπὶ τῶν μειζόνων καὶ ἀδυνάτων.* Coislinianus: *Ἀπὸ τῶν μηδ' ὄνοις δυναμένων, οὐχ ὅπως ἵπποις χρῆσθαι, ἢ ἐπὶ τῶν ἀχάλινον ἐχόντων στόμα καὶ ἀπὸ γλώσσης πιπτόντων, ἐπεὶ ὁ ὄνος ἀχάλινος καὶ πολλοὶ διὰ τοῦτο ἐξ αὐτοῦ πίπτουσιν. Οὕτω Πλάτων.* ἀπ' ὄνου scripsi: legebatur ἀπὸ ὄνου. 7. *καὶ Εὔπολις κτλ.* om. C. 9. *παρὰ τὸ* Gaisf.: legebatur *περί.* »Leg. ὃς *δραχμῆς μὲν ἠύλει, τ. δ' ἐπαύετο.*« Gaisf. 13. *Ἀρκάδα* B, qui om. vv. *καὶ μοχθούντων* et ultima *ἀλλ' — ἐμάχοντο.*

68. *Ὁ γοῦν Ἀνάγυρός μοι κεκινῆσθαι δοκεῖ*, ubi v. Scholia. Adde Liban. Ep. LXXVIII. Boissonad. Ann. Grr. I, 268.

56. B. 58. C. 35. Diog. I, 27. Greg. Cypr. I, 28. Apost. III, 31. Arsen. 60. Macar. Suidas. Vide Euripidis Medeam 410. ibique copias Intpp. Teste Hesychio jam Aeschylus usurpaverat.

57. B. 161. C. 39. Apost. IV, 1. Arsen. 70. Hesych. Suid. Plat. Legg. III, 701, C. *Λεῶν φαίνεται ἔμοιγε οἷόν περ ἵππον τὸν λόγον ἑκάστοτε ἀναλαμβάνειν καὶ μὴ καθάπερ ἀχάλινον κεκτημένον τὸ στόμα βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον κατὰ τὴν παροιμίαν ἀπό τινος ὄνου (νοῦ* Bodl.) *πεσεῖν.* Aristophanis locus est Vespp. 1367. *Τί δῆτα λῃρεῖς ὥσπερ ἀπὸ τύμβου πεσών;* ubi Scholia: *καὶ τοῦτο ὡς εἰς γέροντα ἀντὶ τοῦ ἀπὸ νοῦ καταπεσών.* Qui excidit apud Zenobium alter locus est Nubb. 1275. *Τί δῆτα λῃρεῖς ὥσπερ ἀπ' ὄνου καταπεσών;* ubi v. Scholia et Hermanni annotationem. Eupolidem respicit Hesychius: *Ἀπ' ὄνου καταπεσών, ἀπὸ τύμβου πεσών· καὶ Εὔπολις· Ὥσπερ ἀπ' ὄχθου πεσών· οἷον ἀπ' ὄνου.* Runkelius fr. 341. »corruptela inest non facile emendanda.« Facile vero: collato Zenobiano *ἀπὸ χοὸς π.* cum illa scriptura quae est apud Hesychium, cujus codex *ἀπόχθου* exhibet, patet jocose dixisse Eupolidem *ἀπὸ χθονὸς πεσών.* Id reposui.

58. B. 59. Hesych. Suid. Vide ad II, 39. Meinek. Menandr. 17. Ultima versiculus: C. 40. *Δραχμῆς μὲν αὐλεῖ, τεττάρων δὲ παύεται.*

59. B. 60. Diog. I, 29. Apost. IV, 25. Arsen. 76. Macar. He-

λοις πονούντων καὶ μοχθούντων. Οἱ γὰρ Ἀρκάδες πολλὰ πολεμήσαντες οὐδεμίαν νίκην ἰδίαν ἔσχον, ἀλλ' ἐπὶ μισθῷ ὑπὲρ ἀλλοτρίων ἐμάχοντο.

60 Βόχχορις: οὗτος Αἰγύπτιος ὢν ἐπὶ δικαιοσύνῃ καὶ ἐπινοίᾳ κρίσεων ἀπομνημονεύεται. Εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν δικαιότατα καὶ παρευρημένως κρινόντων.

61 Βάλλ' εἰς Μακαρίαν: οἱ μὲν κατὰ εὐφημισμὸν ἐξεδέξαντο λέγεσθαι, ἀντὶ τοῦ, Βάλλε εἰς δειλαιότητα. Μακαρίαν γὰρ ἐν Ἅιδου χωρίον διατυποῦσιν. Οἱ δὲ τὴν Μακαρίαν θυγατέρα φασὶν Ἡρακλέους, καὶ κατὰ χρησμὸν εἰς ἑκούσιον θάνατον ἑαυτὴν ἐπιδοῦναι, κατὰ τὴν Εὐρυσθέως ἐπὶ τὰς Ἀθήνας στρατείαν. Μετὰ θάνατον γὰρ Ἡρακλέους, διώκοντος Εὐρυσθέως τοὺς ἐκείνου παῖδας, καὶ πρὸς τὸν τοῦ Ἐλέου βωμὸν τῶν Ἡρακλειδῶν προσπεφευγότων, Ἀθηναῖοι μὴ ἐκδιδόντες αὐτοὺς, πρὸς Εὐρυσθέα πόλεμον ὑπέστησαν· (καὶ) χρη-

---

1. ἄλλοις ego dedi: legebatur ἄλλως, apud Suid. ἑτέροις. »Recte Schottus mutilum hunc locum esse suspicatus est; sed medicina in promptu est. Scilicet pro ὅσον οἱ Λακεδαιμόνιοι τοὺς καταφεύγοντας εἰς Ταίναρον τῶν Εἱλώτων ἀπαγαγόντες ἀπέκτειναν, hic reponenda ex fine Adag. I, 30. μίαν νίκην — ἐμάχοντο. Verba ὅσον οἱ — ἀπέκτειναν pertinent ad Ταινάριον κακόν. Vide B 902.« Gsf. Recte. B 60. Ἀρκάδα μιμούμενος. ἐπὶ τῶν ἄλλως πονούντων. Οἱ γὰρ Ἀρκάδες πολλὰ πολεμήσαντες οὐδεμίαν νίκην ἰδίαν ἔσχον. 4. Βόχορις PHF: vulgo Βάκχυρις cum B et Suida. Βίκχορις Plut. Demetr. XXI. olim: nunc Βόκχορις. Cfr. Morall. II, 529, E. 5. κρίσεως μνημον B. 6. καὶ παρευρημένως om. B. Valckenarius παναρμονίως. Anne πρευμενῶς! 7. C: ἐπὶ τῶν ἑαυτοὺς εἰς κίνδυνον κατ' ἀρετὴν διδόντων. Μακαρία γάρ ἡ Ἡρακλέους, ὁπηνίκα ἐπιστράτευσεν ὁ Εὐρυσθεὺς ταῖς Ἀθήναις, ἑαυτὴν ἐπέδωκε σφάγιον ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας. Τούτου γενομένου, τῶν Ἀθηναίων ἕκαστος θαυμάζων τῆς κόρης τὴν ἀρετὴν, ὁ μὲν στεφάνους ἐπιβάλλων, ὁ δὲ ἄνθη ῥίπτων, ἐπιφώνει, »βάλλ' εἰς μακαρίαν.« Οἱ δὲ κατ' εὐφημισμὸν τὸ μακαρία, ἐστὶ γὰρ ἀντὶ τοῦ ἐν ᾅδου, ἐν θανάτῳ· ἐπεὶ χωρίον ἔφασκιν ἐν ᾅδου, μακαρίαν κατ' εὐφημισμὸν καλούμενον· τὸ δ' αὐτὸ τοῦτο καὶ εἰς μακαρίαν λέγουσι καὶ εἰς μακαρίαν. Βάλλε Mak. B. 8. ἐξεδέξαντο P: vulgo ἐδέξαντο cum B. 10. Μετὰ θάνατον — ἐξώρυξεν αὐτοῦ om. BV: v. Apollod. II, 8, 1.

sych. Suid., ubi vide Bernhard. et Meinek. Q. S. II, 12. Usurpat Liban. Epp. DXL. Explicuit de hoc proverbio F. Naekius Ind. Scholarr. Bonnens. 1833.

60. B. 209. Suid. Zonar. Lege Plutarchum V. Demetr. XXVII, 901, D.

61. B. 256. C. 45. Apost. V, 36. Arsen. 136. Hesych. Suid. Scholl. Ar. Eqq. 1148. Plut. 782. Platon. 134. R. (393. Bekker.). Vide Ruhnken. ad Tim. 59. Bergler. Alciphr. I, 9. III, 32. Heindorf. Plat. Hipp. Maj. 293, A. Hermann. Lucian. C. H. 30.

σμοῦ δοθέντος, ἀπαλλαγήσεσθαι τῆς Εὐρυσθέως καταδρομῆς, εἴ τις τῶν Ἡρακλειδῶν πρὸς θάνατον ἑκούσιον ἐκδῷ ἑαυτὸν, ἡ Μακαρία πρὸς θάνατον ἑαυτὴν ἐξέδοτο, καὶ συμβαλόντες Ἀθηναῖοι νικῶσιν Εὐρυσθέα, καὶ πολλῶν πεσόντων, Εὐρυσθέα Ὕλλος ἀπέκτεινε παῖς Ἡρακλέους, καὶ αὐτοῦ τὴν κεφαλὴν πρὸς Ἀλκμήνην ἐκόμισεν· ἡ δὲ κερκίσι τοὺς ὀφθαλμοὺς ἐξώρυξεν αὐτοῦ. Τὸν οὖν τάφον τῆς Μακαρίας ἄνθεσι καὶ στεφάνοις τιμῶντες οἱ Ἀθηναῖοι ἐπέλεγον, Βάλλ' εἰς Μακαρίαν. Τὸ μὲν οὖν πρῶτον ἐπὶ τῶν κατ' ἀρετὴν διδόντων ἑαυτοὺς εἰς θάνατον ἡ παροιμία ἐλέγετο· ὕστερον δὲ καταχρηστικῶς ἐπὶ πάσης ἀφοσιώσεως.

62 Βάκηλος εἶ: ἐπὶ τῶν ἐκλύτων καὶ ἀνάνδρων. Βάκηλος δὲ κυρίως λέγεται ὁ ἀπόκοπος.

63 Βυζίνη παῤῥησία: ἐπὶ τῶν σφόδρα πεπαῤῥησιασμένων. Ἀπὸ Βυζίνου τοῦ Ποσειδῶνος μετὰ παῤῥησίας ἀεὶ διαλεγομένου.

64 Βίος ἐξηυλημένος: ἐπὶ τῶν ἀχρήστων· ἐκ μεταφορᾶς τῶν ἀρχείων αὐλῶν.

65 Βοιώτιος νόμος: ἐπὶ τῶν τὰς μὲν ἀρχὰς ἠρεμούντων, ὕστερον δὲ τοῖς κακοῖς ἐπιτεινόντων, ὡς φησὶ Σοφοκλῆς·

Ὅταν τις ᾄδῃ τὸν Βοιώτιον νόμον.

Εἴρηται δὲ ἡ παροιμία, παρόσον Βοιωτοὶ πρότερον βίον ἄλυπον καὶ ἤρεμον ἔχοντες, μετὰ τελευτὴν Λαΐου πολλοῖς κακοῖς περιέπεσον.

---

9. ἐπέλεγον P H: vulgo ὕστερον ἐπέλεγον. εἰς Μακ. libri: ἐς Μακ. B. Coislinianus: τὸ αὐτὸ τοῦτο καὶ ἐς μακ. λέγουσι καὶ εἰς μακ. 11. καταχρηστικῶς om. P H. 14. ἀπρόκοπος P H F et Bodlejanae collectionis codex A. 15. Bodl. A Βυζήνου bis: B Βυζήνη, sed m. sec. Βυζίνου. 25. ἄλυπον P H: vulgo ἄλυτον.

62. B. 208. Diog. III, 45. Apost. V, 34. Arsen. 135. Suidas.

63. B. 110. Byzanta heroëm Neptuni et Ceroessae nymphae filium novi: Byzinum non item.

64. B. 211. Suidas.

65. B. 214: Ἡ παροιμία κατὰ τῶν ἀνοήτως διακειμένων. Greg. Cypr. I, 92. Apost. V, 70. Arsen. 145. Macar. Plut. 77. Βοιωτίων νόμος· ἐπὶ τῶν τὰς ἀρχὰς ἠρεμαίας (ἠρεμαίως) ἐχόντων, αὖθις δὲ σφοδρῶς ἐπιγιγνομένων. Sophoclis fr. 858. Dindorf. Confer Aristophanis Ach. 14. Λεξίθεος εἰςῆλθ' ᾄσόμενος Βοιώτιον, ubi Scholia docent de Terpandri nomo musico cogitandum esse.

66 *Βοῦθος περιφοιτᾷ*: *ταύτης μέμνηται Κρατῖνος ἐν Χείρωσι. Τέτακται δὲ ἐπὶ τῶν εὐήθων καὶ παχυφρόνων, ἀπό τινος Πυθιονίκου Βούθου μετενεχθεῖσα.*

67 *Βούνας δικάζει*: *αὕτη λέγεται ἐπὶ τῶν τὰς κρίσεις ἀναβαλλομένων ἀεὶ καὶ ὑπερτιθεμένων. Βούνας γὰρ Ἀθηναῖος ἐγένετο, ὡς φησι Μνασέας· τούτῳ δὲ Ἠλεῖοι πρὸς Καλυδωνίους διαφερόμενοι ἐπέτρεψαν τὴν δίκην, νομίσαντες ἀναμένειν ἕως ἂν ἀποφήνηται. Γνοὺς δὲ ὁ Βούνας τοῦτο, ἤκουσε μὲν ἀμφοτέρων, ἀνεβάλλετο δὲ μέχρι τελευτῆς τὴν ἀπόφασιν.*

68 *Βοιώτια αἰνίγματα*: *ἐπὶ τῶν ἀσυνέτων, ἐκ μεταφορᾶς τῆς Σφιγγός. Παρόσον Θηβαίοις ἡ Σφὶγξ αἰνίγματα προὔθηκεν· Τετράπους, δίπους, καὶ πάλιν τρίπους. Ὅπερ ἐφευρὼν Οἰδίπους, τὴν τοῦ πατρὸς βασιλείαν εἵληφε, καὶ τὴν ἰδίαν μητέρα ἔγημεν ἀγνοῶν. Λαΐῳ γὰρ τῷ Θηβῶν βασιλεῖ χρηστηριαζομένῳ περὶ γενέσεως ἀῤῥένων παίδων ἀνεῖλεν ὁ θεός·*

Λάϊε Λαβδακίδη
μὴ σπεῖρε τεκνων ἄλοχα δαιμόνων βίῃ·
κτενεῖ γάρ σ' ὁ φύς.

Ἐπιλαθόμενος δὲ τοῦ χρησμοῦ Λάϊος συνῆλθε τῇ γυναικὶ αὐτοῦ Ἰοκάστῃ. Ὡς δὲ ἤσθετο παιδίον ἄῤῥεν ἐξ αὐτῆς γεννηθέν, τὸν χρησμὸν ἐννοήσας, τὰ τούτου σφυρὰ διέτρησε, καὶ εἰς ὄρος ἐξέθετο. Βουκόλος δέ τις παριὼν καὶ τὸ βρέφος ἀνειληφὼς, τῇ ἰδίᾳ γυναικὶ ἀπεκόμισεν.

---

1. *ταύτης — Χείρωσι* om. B. brevius C, ubi *Βουλίας δικ.* 4. Eadem verbis paullo aliis B. 8. *νομίσαντες* libri: Wyttenbachius in Plutarch. Provv. XXIII. *ὁμόσαντες.* 9. *ὁ Βούνας* P: aberat articulus. 10. *ἀπόφανσιν* F. 12. *Παρόσον* rell. ignorat B. 16. *τῷ Θηβῶν* H F: vulgo *τῶν Θηβῶν.*

66. B. 216. Plut. 33. Hesych. Suid. Macar. 147. Herodianus *περὶ μον. λέξ.* p. 42, 8. *Βοῦθος Πύθια ἐνίκησα, παροιμία· βοῦθος περιφοίτα* (Scribe: *Πύθια νικήσας· παροιμία* vel *ὅθεν παρ. Βοῦθος περιφοιτᾷ*)· *Κρατῖνος Χείρωσι. τάττεται δὲ καὶ ἐπὶ τῶν εὐήθων καὶ παχυρίνων.* Cratini Chironum fr. X, p. 65. Runkel.

67. B. 217. C. 54. Plut. 23. Apost. V, 75. Arsen. 145. Macar. Vide infra ad II, 86. Zenobius quum repperisset *διττογραφίαν* et *Βούνας* et *Βουλίας* — illud apud Plut. et in Bodl. exstat — idem proverbium bis posuit. Verum est *Βουλίας*. Ceterum v. Nitzsch. Melett. I, p. 157.

68. B. 219. Diog. III, 47. Greg. Cypr. I, 94. Apost. V, 81. Arsen. 146. Macar. Compara Apollod. III, 5, 7. et rell. Illa quidem *καιράνοις ἐκποδὼν μεθίστασθαι* sunt Eur. Phoen. 40. *Ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο.*

Ἡ δὲ τὰ σφυρὰ τοῦ παιδὸς θεραπεύσασα, Οἰδίπουν αὐτὸν καλεῖ· τοῦτο θεμένη τὸ ὄνομα διὰ τὸ τοὺς πόδας ἀνοιδῆσαι. Τελειωθεὶς δὲ Οἰδίπους, καὶ τῶν ἡλίκων ἐπὶ ῥώμῃ διαφέρων, κατὰ φθόνον ὠνειδίζετο ὑπόβλητος εἶναι. Ἀφικόμενος οὖν εἰς Δελφοὺς περὶ τῶν ἰδίων ἐπυνθάνετο γονέων, καὶ χρήσαντος τοῦ θεοῦ πρὸς τὴν πατρίδα μὴ πορεύεσθαι, τὸν μὲν γὰρ πατέρα φονεύσειν, τῇ μητρὶ δὲ μιγήσεσθαι, νομίσας ἐξ ὧν ἐλέγετο γεγεννῆσθαι, πρὸς Θήβας ἠπείγετο, καὶ συντυχὼν Λαΐῳ ἐφ' ἅρματος ὀχουμένῳ, κελεύοντος τοῦ κήρυκος κοιράνοις ἐκποδὼν μεθίστασθαι, μὴ πειθόμενος παρὰ τοῦ ἡνιοχοῦντος τῷ πατρὶ ἐτύφθη· ὀργισθεὶς δὲ καὶ τὸν ἡνίοχον καὶ τὸν Λάϊον ὑπερμαχοῦντα τοῦ ἡνιόχου ἀπέκτεινεν. Ἐλθὼν δὲ εἰς Θήβας, καὶ τὴν βασιλείαν ἐφευρὼν Λαΐου γέρας προκειμένην σὺν τῇ γυναικὶ Ἰοκάστῃ τῷ λύσοντι τὸ αἴνιγμα τῆς Σφιγγός, τοῦτο λύσας τὴν τοῦ πατρὸς βασιλείαν παραλαμβάνει, καὶ τῇ μητρὶ προσομιλεῖ ἀγνοῶν, ἐξ ἧς Ἐτεοκλέα καὶ Πολυνείκην ἐγέννησεν. Ὕστερον δὲ παρὰ τῆς μητρὸς ἀναγνωρισθεὶς, ἑαυτὸν ἐτύφλωσεν· Ἰοκάστη δὲ τῶν τειχῶν τῆς πόλεως ἑαυτὴν ἀνήρτησεν.

69 *Βοῦς ἐφ' ἑαυτῷ κονιεῖται: ἐπὶ τῶν εὐχερῶς ἐπὶ κακῷ σφῶν ἑπομένων. Οἱ γὰρ βόες πρᾷοι ὄντες, ῥᾳδίως τοῖς δεσμοῖς ὑπακούουσι. Τινὲς δὲ, ἐπὶ τῶν εἰς προὔπτον κίνδυνον ἑαυτοὺς ἐμβαλλόντων.*

70 *Βοῦς ἐπὶ γλώττης: παροιμία ἐπὶ τῶν μὴ δυναμένων παῤῥησιάζεσθαι, ἤτοι διὰ τὸ ἄφωνον τοῦ ζώου, ἢ διὰ τὸ τῶν Ἀθηναίων τὸ νόμισμα ἔχειν βοῦν ἐγκεχαραγμένον· ὅπερ ἐκτίνειν ἔδει τοὺς πέρα τοῦ δέοντος παῤῥησιαζομένους.*

---

5. παρὰ τῶν ἰδίων **P H.** 7. τῇ μητρὶ δὲ **P H**: vulgo τῇ δὲ μητρί. 8. ἐλέγετο **Valckenarius**: vulgo ἔλεγε. 13. ὑπερμαχοῦντας **P H.** 22. ἐπὶ κακῷ κινουμένων **B.** 23. ὑπείκουσι **B.** 25. γλώσσης **B.** 26. διὰ τὸ ἄφωνον] διὰ τὴν ἰσχὺν **B.** 27. διὰ τὸ τὸ τῶν Ἀθ. **P F**: διὰ τὸ τῶν Ἀθ. τὸ νόμ. **B**: vulgo διὰ τὸ τῶν Ἀθ. νόμ. 28. ἐκτίνειν **P H F.** ἔδει **om. B.**

69. **B. 220. Cicero Att. VIII, 5.** *Nam audivi tum eum ἰῦναι Ηολλὰ μάτην κεράεσσιν ἐς ἠέρα θυμήναντα, multa, inquam, mala eum dixisse: suo capiti, ut ajunt.* **Confer Catulli Pel. et Thet. 110. cum Intpp.**

70. **B. 221. Diog. III, 48. Greg. Cypr. I, 95. Apost. V, 74. Arsen. 143. Macar. Hesych. Suid. Pollux IX, 6, 61.** Ἔνιοι Δηλίων, οὐκ Ἀθηναίων ἴδιον εἶναι νόμισμα τὸν βοῦν νομίζουσιν, ἐντεῦθεν δὲ καὶ τὴν παροιμίαν εἰρῆσθαι· *Βοῦς ἐπὶ*

71 *Βαλὼν φεύξεσθαι οἴει; πρὸς τοὺς κακόν τι δράσαντας καὶ οἰομένους φυγεῖν.*

72 *Βάλλ' εἰς ὕδωρ: ἐπὶ τῶν ὀλέθρου ἀξίων· οἷον, Καταπόντισον.*

73 *Βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν: ἐπὶ τῶν οὐ δυναμένων τοῖς ἰδίοις χρῆσθαι καλοῖς· παρόσον ἀσθενὴς ἡ βύβλος πρὸς τὸ φέρειν σῖτον. Στάχυας γὰρ ἀνατέλλουσα οὐκ ἐκτρέφει.*

74 *Βῶλος ἄρουραν: ἐπὶ τῶν μεγάλοις τὰ μικρὰ προσφιλοτιμουμένων. Ὅμοιόν ἐστιν εἴ τις θαλάττῃ ἐκ χαράδρας ὕδωρ ἐπεισάγει, καὶ χαρίζεσθαι δοκεῖ.*

75 *Βοῦς ἐπὶ σωρῷ: ἐπὶ τῶν ἡδυπαθούντων.*

76 *Βορβόρῳ ὕδωρ λαμπρὸν μιαίνων, οὔποθ' εὑρήσεις ποτόν: ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις.*

77 *Βάλλ' εἰς ὄλεθρον, ἤ, Βάλλ' ἐς κόρακας: ἐπὶ τῶν ὀλέθρου ἀξίων.*

I. Vulgo *Βάλλων φεύξασθαι*: V *βαλὼν φεύξασθαι οἴει: ἐπὶ τῶν κακόν τι πραττόντων καὶ ἐκφυγεῖν οἰομένων*, quocum facit B, nisi quod is recte *βαλὼν φεύξεσθαι* habet. Post *οἴει* signum interrogandi ex Suida adjeci. 3. *Βάλλε* B. 5. *καρπός* B: vulgo *καρπόν*. *στάχυν* B: vulgo *στάχυς*. 6. *παρ' ὅσον ἀσθενὴς ἄνωθεν ἡ βύβλος* V B reliquis omissis. 8. *ἐκτρέφει* P: vulgo *ἐντρέφει*. 9. *Βώλοις ἄρουραν* C cum Apostolio. *μεγίστοις* B V. 10. *προσφιλ.* B C: vulgo *φιλοτιμ.* 11. *ἐπεισάγοι* et *δοκοίη* C. 14. *τὰ κάλλιστα* B: deerat *τά*. 16. *ἐς κόρ.* C: reliqui *εἰς*.

γλώσσῃ βέβηκεν, εἴ τις ἐπ' ἀργυρίῳ σιωπήσειεν. Adde Scholia Il. *Φ*, 79. Eustath. Il. *B*, 449. p. 252, 24. Utitur Theogn. 651. Welcker., quem vide, Aesch. Ag. 36. Novam viam explicationis instituit Lobeckius Aglaoph. I, p. 36. Vide Bernhard. ad Suid., Ferd. Bamberger. de Aesch. Agam. p. 22, qui rata habet quae tradunt Scholl. Arist. Avv. 1106. ex Philochoro de didrachmis vetustis Atheniensium bove insignitis.

71. B. 225. Apost. V, 48. Arsen. 138. Suid. Plato Symp. p. 189, B. *Βαλών γε, ὦ Ἀριστόφανες, οἴει ἐκφεύξεσθαι*; Wyttenbach. Plut. S. N. V. p. 6.

72. B. 226. Diog. III, 51. Apost. V, 49. Arsen. 138. Mac.

73. B. 227. Suidas. Ex Aesch. Suppl. 768.

74. B. 228. Diog. III, 52. Apost. V, 88. Arsen. 147. Suidas qui habet *Βῶλος ἄρουρα*: Ars. *Βώλοις ἄρουραν· ἐπὶ τῶν τοῖς μικροῖς χαριζομένων τοὺς μεγάλους.*

75. Diog. III, 53. Apost. V, 79. Arsen. 145. Suidas.

76. B. 231. Diog. III, 55. Apost. V, 83. Arsen. 146. Macar. Sunt Aesch. Eumenidd. 664. 65.

77. B. 232. C. 44. Apost. V, 41. Arsen. 137. Macar. Suid. Scholl. Ar. Nubb. 133. et rell. Vide III, 87. ibique collegam.

78 *Βατράχοις οἰνοχοεῖς: πρὸς τοὺς ταῦτα παρέχοντας ὧν οὐ χρήζουσιν οἱ λαμβάνοντες.*

79 *Βατράχῳ ὕδωρ: ὡς Γαλῇ στέαρ: ἐπὶ τῶν ταῦτα διδόντων οἷς χαίρουσιν οἱ λαμβάνοντες. Εἴρηται δὲ καὶ, Βοῦς εἰς ἄμητον, ἐπὶ τῶν μέγα ὠφελουμένων.*

80 *Βομβύλιος ἄνθρωπος: ἐπὶ τοῦ ἀκάρπου· παρόσον ὁ βομβύλιος καρπὸν οὐ φέρει. Ἔστι δὲ μελίττης εἶδος ἐκ πηλοῦ τὰ κηρία πλαττούσης.*

81 *Βοῦς ἀλλότριος τὰ πολλὰ ἔξω βλέπει: ἐπὶ τῶν ἀμελουμένων παρ' ἀλλοτρίων, καὶ διὰ τοῦτο πρὸς τοὺς ἰδίους δεσπότας, ὡς ἐπιμελουμένους, ἀφορώντων.*

82 *Βοῦς ἄμητον ἐπιτηροῦντες: ἐπὶ τῶν μετὰ ἐπιμελείας καμνόντων.*

83 *Βοῦς ὁ Μολοττῶν: αὕτη λέγεται ἐπὶ τῶν εἰς πολλὰ διαιρουμένων πράγματα καὶ κατακοπτομένων. Οἱ γὰρ Μολοττοὶ ἐν τοῖς ὁρκωμοσίοις κατακόπτοντες εἰς μικρὰ τοὺς βοῦς, τὰς συνθήκας ἐποιοῦντο.*

84 *Βοιωτοῖς μαντεύσαιο: αὕτη καταρατική ἐστιν. Ἡρακλείδης γὰρ φησὶ, μαντευομένοις τοῖς Θηβαίοις περὶ πολέμου ἀπεκρίνατο ἡ προφῆτις ἡ ἐν Δωδώνῃ, νίκην αὐτοῖς ἀσεβήσασιν ἔσεσθαι. Εἷς δὲ τῶν θεωρῶν ἁρπάσας Μυρτίλαν τὴν προφῆτιν, ἐνέβαλεν εἰς θερμοῦ παρακείμενον λέβητα. Ἄλλοι δὲ φασὶν, ὅτι Θηβαίοις πολεμοῦσι Βόμβος μάντις πλείους ἔφη νικήσειν, εἰ προθύσαιεν τῶν ἡγεμόνων ἕνα. Οἱ δὲ ἀποκτείναντες τὸν Βόμβον ἐνίκησαν.*

---

3. *βατράχου* H. *καὶ γαλῇ* B. 5. *μεγάλα ὠφελ.* B. 8. *ἐκ κηροῦ* A. 12. *ἐπιτηροῦντας* B. *μετὰ ἐπιμελείας* B V: vulgo *μ. ὠφελείας.* 18. *μαντεύσεως* Plutarchus, *μαντεύσαις* B. *κατάρατος* Plutarchus. 19. *περὶ πολέμου* H Plut.: vulgo *περὶ τοῦ π.* 21. *Βόμβρος* et *Βόμβρον* Plut. *νικήσεσθαι* Plut.

78. B. 235. Diog. III, 57. Apost. V, 43. Arsen. 137. Macar. Suidas. Pherecrates *Κοριαννοῖ* Ath. X. p. 431, E. *Ἔρρ' ἐς κόρακας· βατράχοισιν οἰνοχοεῖν σε δεῖ.*

79. B. 236. Diog. III, 58. Apost. V, 50. Arsen. 139. Macar. collato Diog. III, 83.

80. B. 238. Suidas.

82. B. 239. Diog. III, 59.

83. B. 240. Diog. III, 60. Apost. V, 69. Arsen. 143. Suidas. Vide Lucian. Tox. 48. De Coislin. 57. vide nott. ad Diogenianum.

84. Plut. 9. fere consentit: aliter Vat. II, 67. Bodl. *Ἠείρησαν γὰρ εἰς τὴν ἱέρειαν ἐμβαλόντες αὐτὴν εἰς τὸν ἐν Δωδώνῃ λέβητα ζέοντα, ἐρωτικῶς διατεθεῖσαν εἰς ἕνα τῶν θεωρῶν.* Vide Muelleri Orchom. p. 385.

85 *Βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα: τοῦτο Εὐριπίδου ἐστί. Καὶ Ἀριστόξενος δὲ φησὶν, ὅτι Εὐριπίδης διορθῶν τὸν Τήλεφον ἐξεῖλε τὴν πεττείαν. Λέγεται δὲ ἐπὶ τῶν ἀδιανοήτων.*

86 *Βουλίας δικάζει: ἐπὶ τῶν τὰς κρίσεις ὑπερτιθεμένων δικαστῶν, ἀπὸ Βουλίου τινὸς Ἀθηναίου· ὃς ἐπὶ τοσοῦτον ἀνεβάλλετο τὴν δίκην, ὥστε φθάσαι τελευτῆσαι πρότερον ἢ τὴν δίκην ἀποφήνασθαι.*

87 *Βελλεροφόντης τὰ γράμματα: Βελλεροφόντης ἀνελὼν Βέλλερον, ἢ, ὥς τινες φασὶ, Πείρην, εἰς Τίρυνθα φυγὰς ἐξ Ἄργους παραγίνεται πρὸς τὸν Προῖτον. Τούτου ἔρωτα ἔσχει Ἄντεια ἡ τοῦ Προίτου γυνή· τοῦ δὲ ἀπαρνουμένου, λέγει πρὸς τὸν Προῖτον, ὅτι Βελλεροφόντης ἐρωτικοὺς αὐτῇ προσεπέμψατο λόγους. Προῖτος δὲ πιστεύσας, ἔδωκεν αὐτῷ ἐπιστολὰς πρὸς Ἰοβάτην κομίσαι· ἐν αἷς ἀνεγέγραπτο, Βελλεροφόντην ἀποκτεῖναι. Ὁ δὲ ἀγνοῶν, τὰ γεγραμμένα καθ' ἑαυτοῦ κομίζει. Ἰοβάτης δὲ ἀναγνοὺς ἐπέταξεν αὐτῷ κτεῖναι τὴν πυρίπνουν Χίμαιραν, νομίζων αὐτὸν ὑπὸ τοῦ θηρίου διαφθαρήσεσθαι. Τριῶν γὰρ ζώων εἶχε φύσιν σύνθετον, προτομὴν μὲν λέοντος, οὐρὰν δράκοντος, καὶ τρίτην κεφαλὴν μέσην αἰγὸς, δι' ἧς πῦρ ἀνίει. Ἀναβὰς οὖν ὁ Βελλεροφόντης ἐπὶ τὸν Πήγασον, ὃν εἶχεν ἵππον πτηνὸν, κατετόξευσε τὴν Χίμαιραν. Μετὰ δὲ τὸν ἀγῶνα τοῦτον Ἀμαζόσιν ἐπέταξεν ἀγωνίσασθαι, ὡς δὲ καὶ ταύτας ἀπέκτεινε, τοὺς τότε ῥώμῃ νεότητος διαφέροντας ἐπιλέξας, ἐπέταξεν ἀποκτεῖναι λοχήσαντας. Ὡς δὲ καὶ τοῦτον ἐνίκησεν τὸν ἀγῶνα, θαυμάσας τὴν δύναμιν αὐτοῦ ὁ Ἰοβάτης, τό τε γράμμα ἔδειξε, καὶ παρ' αὐτῷ μένειν ἠξίωσε·*

---

1. *δύο* dedi: legebatur *δύω*. **B V.** 5. *Βουλείας* **H F.** 4. *λέγεται* et sqq. accessere ex **H F.** 17. *κομίζειν* **H F.** 19. *αὐτοῦ* **H.** 24. *τὸν ἀγ.* **P H**: deerat *τόν*.

85. B. 260. Vide Eurip. Teleph. fr. III. Dindorf. T. IX, p. 339. Matthiae. Arist. Rann. 1447. ubi Scholia: *Ἀρίσταρχός φησιν ἀδεσπότως τοῦτο προφέρεσθαι* (l. περιφ.), *ὡς Εὐριπίδου πεποιηκότος κυβεύοντας ἐν τῷ Τηλέφῳ, οὓς καὶ περιῆλε· μήποτ' οὖν ἐκεῖθεν ἦν.* Unde apud Zenobium *Ἀρίσταρχος* reponendus videri possit: vid. Mahnius Diatr. de Aristox. p. 206.

86. Vide II, 67. Demetr. de Eloc. CLIII. *Ὁ παρὰ Σώφρονι ῥητορεύων Βουλίας οὐδὲν ἀκόλουθον ἑαυτῷ λέγει.*

87. Apollodor. II, 3. Res nota.

δοὺς δὲ αὐτῷ τὴν θυγατέρα, καὶ τὴν βασιλείαν τελευτῶν κατέλιπεν.

88 Γενναῖος εἶ ἐκ βαλαντίου: ἐπὶ τῶν διὰ τὸν πλοῦτον εὐγενῶν εἶναι δοκούντων.

89 Γλαῦξ ἵπταται: ἡ πτῆσις τῆς γλαυκὸς νίκης σύμβολον τοῖς Ἀθηναίοις ἐνομίζετο.

90 Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται πάγῃ: ἐπὶ τῶν διὰ χρόνου πλῆθος οὐχ ἁμαρτανόντων.

91 Γλαύκου τέχνη: ἢ ἐπὶ τῶν ῥᾳδίως κατεργαζομένων, ἢ ἐπὶ τῶν πάνυ ἐπιμελῶς καὶ ἐντέχνως εἰργασμένων. Ἵππασος γάρ τις κατεσκεύασε χαλκοῦς τέτταρας δίσκους οὕτως, ὥστε τὰς μὲν διαμέτρους αὐτῶν ἴσας ὑπάρχειν, τὸ δὲ τοῦ πρώτου δίσκου πάχος ἐπίτριτον μὲν τοῦ δευτέρου, ἡμιόλιον δὲ τοῦ τρίτου, διπλάσιον δὲ τοῦ τετάρτου, καὶ κρουομένους ἐπιτελεῖν συμφωνίαν τινά. Καὶ λέγεται Γλαῦκον ἰδεῖν τοὺς ἐπὶ τῶν δίσκων φθόγγους πρῶτον.

92 Γλυκὺς ἀγκών: τὴν παροιμίαν φησὶν εἰρῆσθαι ἀπὸ τοῦ λεγομένου μακροῦ ἀγκῶνος ἐν τῷ Νείλῳ· κατὰ ἀντίφρασιν ἀντὶ τοῦ δυσχερής.

---

4. *εὐγενῶν* B Diogen. Suidas: vulgo *γενναίων*. 5. *ἐπὶ τῶν ἀγαθῶν οἰωνῶν* addit C. 7. *πάγῃ* adjeci ex B V Suida. 9. *τέχνην* B, qui rell. omissis habet: *ἐπὶ τῶν πάνυ ἐπιμελῶς καὶ ἐντέχνως εἰργασμένων. μὴ ῥᾳδίως* Scholl. Plat. Diog. Apost. 11. *Ἵππασος* P et Scholl. Plat.: vulgo *Ἵππασις*. 12. *οὕτως ὥστε* Scholl. Plat.: vulgo *οὕτως*. 15. *καὶ κρουομ.*] Scholl. Plat.: *Κρουομένους δὲ τούτους ἐπιτελεῖν* (cod. Clark. *κρωνομένους δὲ ἀποτελεῖν*) *συμφωνίαν τινά· καὶ λέγεται Γλαῦκον ἰδόντα τοὺς ἐπὶ τῶν δίσκων φθόγγους πρῶτον ἐγχειρῆσαι δι' αὐτῶν χειρουργεῖν.* 17. B nonnisi ultima: *Κατὰ ἀντίφρ. ἀντὶ τοῦ δυσχερής.* *ἀγγὼν* H: *ἀγγῶν* F, qui mox *ἀγγῶνος*. 18. *Νείλῳ*] *Ἴλλῳ* H.

88. B. 311. Diog. IV, 6. Apost. VI, 6. Arsen. 159. Macar. Suidas.

89. B. 265. C. 79. Diog. III, 72. Hesych. Suid. Scholl. Ar. Eqq. 1089 (1091). Cfr. ad Diogen. III, 93. Bekker. Ann. 232, 30. Foss de Theophrast. Char. I, p. 40.

90. B. 312. Diog. III, 7. Greg. Cypr. II, 10. Apost. VI, 4. Arsen. 159. Suidas.

91. B. 313. C. 80. Apost. VI, 27. Arsen. 162. Macar. Diog. IV, 8. Suid. Hesych. Phot. Marcellini Praefat. p. XXIII. Scholl. Plat. p. 12. (381. Bekker.) unde supplebis mancam Zenobii explanationem. Vide Intpp. Plat. Phaedon. p. 108, D. Petav. ad Julian. p. 76. Sillig. Catal. Artiff. p. 219. Mueller. Archaeol. p. 40 sq.

92. B. 314. Apost. VI, 33. Arsen. 163. 64. Hesychius, Suidas, C. 82, quem ad Suid. adscripsere. Plato Phaedro p. 257, D. *Γλυκὺς ἀγκών, ὦ Φαῖδρε, λέληθέ σε, ὅτι ἀπὸ τοῦ μακροῦ ἀγκῶνος τοῦ κατὰ Νεῖλον ἐκλήθη*, ubi lectu

93 *Γαλῇ χιτώντον*: ὁμοία ἡ παροιμία αὕτη τῇ· *Οὐ πρέπει γαλῇ κροκωτόν. Ἐπειδὴ γαλῆ κατὰ πρόνοιαν Ἀφροδίτης γυνὴ γενομένη ἐν χιτῶνι κροκωτῷ οὖσα ἐπέδραμε μυΐ. Μέμνηται ταύτης Στράττις.*

94 *Γραῦς Σέριφος*: Ἀπολλόδωρος φησίν, ὅτι ἔστι τις παροιμιώδης λεγομένη Σεριφία γραῦς, ἡ ἐν παρθενίᾳ γεγηρακυῖα. Οἱ δὲ ἀπὸ τῆς ἀκρίδας· τὴν γὰρ ἀρουραίαν ἀκρίδα ὑπό τινων μάντιν λεγομένην κατὰ Σικελίαν γραῦν σέριφον καλεῖσθαι ἢ γραῦν σεριφην. Λέγουσι δὲ ὅτι εἴ τινι ἐμβλέψειε ζώῳ, κακόν τι ἐκείνῳ γίνεται.

95 *Γυμνότερος λεβηρίδος*: Ἀριστοφάνης φησὶ *Τυφλότερος λεβηρίδος*. Λεβηρὶς δὲ ἐστὶ τὸ σῦφαρ καὶ ἔκδυμα τοῦ ὄφεως καὶ τοῦ τέττιγος. Κυρίως δὲ λεβηρὶς, ᾧ περιέχεται τὸ ἔμβρυον τοῦ βοός· τελέως ἐστὶ δὲ καὶ τοῦτο τυφλόν· τὰς γὰρ ὀπὰς μόνας ἔχει τῶν ὀφθαλμῶν. Τάττουσι δὲ τὴν λέξιν καὶ ἐπὶ τέττιγος, καὶ συνόλως ἐπὶ τῶν ἀποδυομένων τὸ γῆρας. Τριχῇ δὲ ἀναγράφουσι τὴν παροιμίαν, καὶ οἱ μὲν τυφλότερος λεβηρίδος, οἱ δὲ κενότερος, οἱ δὲ γυμνότερος.

---

2. κροκωτός B. 4. μέμνηται — Στρ. om. B. Στράττις scripsi: erat Στράτις. 5. Vulgo γραῦς ἔριφος: Σέριφος Suidas. 6. Σεριφία] Ἐριφία P F: Σέριφος B V. 7. ἀρουραίαν ἀκρ. Confer Scholl. Theocr. X, 18. 9. ἔριφον et ἐρίφην P H F: ἔριφον et ἐρίφων B V. 10. εἴ τινι P H: vulgo ἔν τινι. 13. τοῦ ὄφεως ἀπὸ τῆς λεπίδος B. 14. τελέως om. B. Legebatur τελείως· ἔστι δὲ καὶ τοῦτο τυφλόν: correxi ex Hesychio. 19. κενότερος C P H: κενώτερον B; vulgo νεότερος.

dignissima quae apposuit Stallbaumius excerpta ex praeclara disputatione Grauerti in Indice Lectt. Acad. Monaster. per menses hibernos $18^{30}/_{31}$ habitarum. Is excitavit reliquos Grammaticos: adde Scholl. L. II. *II*, 702. Utitur Plato Comicus Phaone, v Meinek. Q. S. II, p. 26. Liban. Epp. XLVI. Ὁ ταῖς ἄλλοις ἐς τέρψιν ἐρχεται, τοῦτ' ἐμοὶ γλυκὺς ἀγκὼν διὰ τὴν ἀσθένειαν. Cum explicatione illa quam tentant Scholl. Homeri Lobeckius Aglaoph. II, p. 1022. confert Paus. V, 3, 3. Ὑπερησθέντες ἀμφότεροι τῇ μίξει καὶ αἱ γυναῖκες καὶ οἱ ἄνδρες ἔνθα συνεγένοντο τὸ χωρίον Βαδύ (h. e. ἡδύ) ὀνομάζουσι.

93. B. 277. Diog. III, 82. Plut. 101. Apost. V, 92. Arsen. 155. Macar. Suidas: de C. 64. vid. nott. ad Diogenianum, Vide Knochii Babrium p. 151.

94. B. 267. Hesychius. Suidas. Apollodori locus est Fragmm. p. 444. Heyne. Vide Leopardi Misc. V, 21.

95. B. 268. C. 89. Diog. III, 73. Apost. VI, 55. Arsen. 169. Macar. Suidas, Hesychius. Rursum λεβηρίδος τυφλότερος B. 593. Apost. XI, 79. Arsen. 332. Dici ἐπὶ τῶν πάνυ πενήτων notat C. Aristophanis locus est Amphiarai fr. XX. Dindorf. Strattis in Phoenissis Erotian. Lex. Hipp. p. 244. Franz., Eustath. Opuscc.

96 *Γραῦς βακχεύει: ἐπὶ τῶν παρ' ὥραν τὶ διαπραττομένων. Ταῖς γὰρ νέαις πρέπει τὸ χορεύειν.*

97 *Γέρων βοῦς ἀπένθητος δόμοισιν: ἐπὶ τῶν καθ' ὥραν τελευτησάντων.*

98 *Γυμνῷ φυλακὴν ἐπιτάττεις: παροιμία ἐπὶ τῶν μὴ δυναμένων τὰ προστάγματα πληροῦν, διὰ τὸ ἀναγκαῖον αὐτὸ γίνεσθαι.*

99 *Γλῶσσα ποῖ πορεύῃ; πόλιν ἀνορθώσασα καὶ πόλιν καταστρέψουσα: ἐπὶ τῶν διὰ λόγων ἢ ὠφελούντων ἢ βλαπτόντων.*

100 *Γέλως συγκρούσιος: Ἄκοσμος καὶ ἄτακτος· παρόσον τινὲς γελῶντες τὰς χεῖρας ἢ τοὺς πόδας συγκρούουσιν.*

1 *Γεράνδρυον μεταφυτεύειν: ἐπὶ τοῦ ἀδυνάτου. Παρεγγυᾷ δὲ, ὅτι μὴ δεῖ τοὺς παρηβηκότας προάγειν εἰς τὰ τῶν ἀκμαζόντων ἔργα.*

2 *Γόνυ κνήμης ἔγγιον: ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον*

---

1. Bodlej. A *βλακιύει.* 2. *τὸ χορ.* libri: *τὸ* om. B. 6. *τα τεταγμένα* B V. 8. Ante *πόλιν* inserit C: *Ἀπόκρισις. ἀνορθώσασα* Diogenianus: rell. *ἀνορθώσουσα, ὀρθώσουσα.* Nisi forte *ἢ πάλιν ἀνορθώσουσα.* Vide Bernhard. ad Suid. *ἀνορθώσουσα* B: *ὀρθώσουσα* vulgo. 9. *καὶ πόλιν* P B: vulgo *πάλιν. διὰ λόγων* P C: vulgo *διὰ λόγον*; *διαλόγων* H; *διὰ λόγου* B. 11. *συγκροτούσιος* C et Suidas. 14. B *γερανδρῖν*: vulg. *γερόδρινον*: veram lectionem Diogenianus et Suidas suppeditarunt: vid. Spanhemius ad Callim. h. in Jov. 22. Bernhardyus ad Suidam.

p. 135, 34. *Ἐμὲ — καὶ αὐτῆς, ὅ φασι, λεβηρίδος κενότερον ἀπετέλεσε, τοῖς ὅλοις ἀποστερήσας ἐμέ.* Athen. VIII, p. 362, B. *Πάντας ἐπιστοματίζειν πειρώμενος αὐδενὸς μὲν ἀμαθίαν κατέγνως, σαυτὸν δὲ ἀποφαίνεις κενότερον λεβηρίδος.* Plura Intpp. Hesychii.

96. B. 269. Diog. III, 74. Greg. Cypr. I, 99. Apost. VI, 47. Arsen. 168. Macar.

97. B. 317. C. 74. Diog. IV, 11. Greg. Cypr. II, 12. Apost. VI, 9. Arsen. 160. Suidas.

98. B. 270. C. 91. (quem v. apud Intpp. Suid.) Diog. III, 75. Arsen. 170. Hesychius, Suidas. Cfr. Runkel. ad Pherecr. 57.

99. B. 315. C. 84. Diog. IV, 9. Apost. VI, 39. Arsen. 164. Suidas.

100. B. 271. C. 72 Diog. III, 76. Apost. V, 100. Arsen. 158. Suidas.

1. B. 272. Diog. III, 77. Apost. VI, 5. Arsen. 159: Suidas. Seneca Epist. 86: *didici ab Aegialo, diligentissimo patre familias, quamvis vetus arbustum transferri posse.*

2. B. 273. C. 86. Diog. III, 78. Greg. Cypr. I, 96. Apost. VI, 45. Arsen. 168: Schol. ad Theocrit. XVI, 18: *παροιμία ἐστὶ τὸ ποῤῥωτέρω ἡ κνήμη τοῦ γόνατος· τίθεται δὲ αὕτη ἐπὶ τῶν ἀγαπώντων ἑαυτοὺς καὶ λεγόντων προτιμοτέρους εἶναι αὐτοὺς τῶν ξένων*: Suidas. Usurpant Aristot. Eth.

τῶν ἑταίρων ἀγαπώντων. Φασὶ γὰρ ὅτι ἐν τῷ κατὰ Χαιρώνειαν πολέμῳ ἰδόντα τινὰ ἀνεψιὸν καὶ ἀδελφὸν καταπονουμένους, ὑπερασπίσαι τὸν ἀδελφόν, εἰπόντα τὸ προκείμενον.

3 Γελλὼ παιδοφιλωτέρα: ἐπὶ τῶν ἀώρως τελευτησάντων, ἤτοι ἐπὶ τῶν φιλοτέκνων μὲν, τρυφῇ δὲ διαφθειρόντων αὐτά. Γέλλω γάρ τις ἦν παρθένος, καὶ ἐπειδὴ ἀώρως ἐτελεύτησε, φασὶν οἱ Λέσβιοι αὐτῆς τὸ φάντασμα ἐπιφοιτᾶν ἐπὶ τὰ παιδία, καὶ τοὺς τῶν ἀώρων θανάτους αὐτῇ ἀνατιθέασι. Μέμνηται ταύτης Σαπφώ.

4 Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος: ἐπὶ τῶν διὰ τὸ γῆρας ἐμπειροτέρων. Εἴλκυσται μέντοι ἐκ τῶν Σόλωνος ἐλεγείων.

5 Γραῶν ὕθλος: ἐπὶ τῶν μάτην ληρούντων.

---

1. τ. ἑταίρων] VB ἑτέρων; C. ἢ ἑτέρους ἀγ., ἔνιοι δὲ ἐπὶ τῶν ὀφειλόντων παρέχειν μᾶλλον προσήκουσιν ἢ τοῖς ξένοις· ὁμοία καὶ Τῶν φίλων τοὺς φιλτάτους, καὶ Τῶν οἰκείων τοὺς οἰκειοτέρους. ὅτι — Χαιρωνείαν] Schottus: οἱ ἐνωτοὶ κατὰ χρείαν: e VB restituit Gaisfordus. 2. ἰδόντες Schottus: e B correxit Gaisfordus. 3. ὑπερασπ. τ. ἀδ.] B βοηθῆσαι τῷ ἀδελφῷ. 5. Γελλοῦς C Suidas, L. Dindorfius in Steph. Thes. s. v.: ab epitomatore duo proverbia in unum videntur confusa, Γελλώ (vid. sup. I, 55) et Γελλοῦς παιδοφιλωτέρα: prius de iis dicebatur, qui immatura morte obirent et spectrum erat infantarium: ad alterum altera explicatio ἤτοι — αὐτά pertinebat. παιδοφιλωτέρα e C Suida Gaisfordus dedit: Schottus παιδοφιλοτέρα, Neuius ad Sapph. fragm. p. 97 παιδολέτειρα. C: ἐπὶ — ἤτοι om. 6. τροφῇ L. Dindorfius. 7. C: παρθένος, ᾗ τις ἐν τῷ τίκτειν ἐτελεύτησε. 8. ἔφασαν C. αὐτῆς P C Gaisfordus: αὐτοῖς Schottus. 10. ἀνετίθεσαν C. 11. vulgo δὲ ἀεὶ, B δ' ἀεί: δ' αἰεὶ Apostolius. 12. εἴλκυσται — ἐλεγ. B om. 14. ὕθλοι B.

ad Nicomach. IX, 8, 2. Theocritus, coqui ap. Athen. IX, 383 B. Plaut. Trinum. V, 2, 30. Cic. Epist. ad Famil. XVI, 23.

3. C. 68. Hesych. Suidas. Φάσμα Ἐπάβης alia comparat Lobeckius Aglaoph. 302. Σαπφώ] fr. 41 Schneidew.: Γελλῶς παιδοφιλωτέρα: etiam ab inferioris aetatis scriptoribus Gello s. Gillo saepe memoratur: vid. L. Dindorfius in Steph. Thesauro s. v.

4. B. 274. Diog. III, 80. Apost. VI, 16. Arsen. 161: Schol. Plat. 384 Bekk.: Suid. s. γηρᾶναι. Versum, quem a Solone sene pronuntiatum esse narrat Plutarchus Solon. 2. 31, adhibuerunt multi: Soph. Antig. 711 ubi vid. Scholl., Plat. Lach. 188 B. Reip. VII, 536 D. Amat. 133 C. Cicer. Cat. maj. 8. 14.

5. B. 275. Diog. III, 79. Greg. Cypr. I, 100. Apost. VI, 50. Arsen. 168 ibiq. Macarius: Suidas. Plat. Reip. I, 350 E: ἐγὼ δέ σοι ὥσπερ ταῖς γραυσὶ ταῖς τοὺς μύθους λεγούσαις εἶεν ἐρῶ: Lucian. Dial. Mort. X, 8. Gregorius Boisson. Anecd. V, 449. Heindorf. ad Plat. Gorg. 527 A: γραϊκὸν ὕθλον dixit Clemens Alex. Protrept. 20, 11 Sylb.

6 *Γλαῦξ εἰς Ἀθήνας: ἐπὶ τῶν ἀχρήστους ἐμπορίας ἀγόντων, ἐπειδὴ τὸ ζῶον πάνυ ἐπιχωριάζει τοῖς Ἀθηναίοις.*

7 *Λαιδάλεια ποιήματα: οἱ μὲν ἐπὶ τῶν παραδόξων ἔργων, οἱ δὲ ἐπὶ τῶν ἀκριβούντων τὰς τέχνας φασὶν εἰρῆσθαι τὴν παροιμίαν· ἐπειδὴ τῶν παλαιῶν δημιουργῶν πλαττόντων τὰ ζῶα τυφλὰ, ὁ Λαίδαλος καὶ τοὺς ὀφθαλμοὺς αὐτοῖς ἀνεπέτασεν, ὡς καὶ δόξαν κατασχεῖν ὅτι καὶ ἔμψυχά ἐστι καὶ κινοῦνται καὶ φθέγγονται. Φασὶ γοῦν τινὰ τῶν δαιδαλουργῶν ἀνδριάντων δεδέσθαι τοῦ ποδὸς, ὡς μὴ ἀποδράμοι.*

8 *Διομήδειος ἀνάγκη: ἐπὶ τῶν κατὰ ἀνάγκην τινὰ πραττόντων. Μέμνηται αὐτῆς Ἀριστοφάνης ἐν Βατράχοις. Ὅτε γὰρ λαβόντες τὸ Παλλάδιον Διομήδης καὶ*

---

1. vulgo *γλαῦξ*, B *γλαῦκα*. C: *ἐπὶ τῶν μάτην ἐπισωρευόντων τινὰ εἰς ἀφθονίαν προυπαρχόντα* (l. *προϋπάρχοντα*) *καὶ ἀλυσιτελεῖς ἐμπορείας ποιούντων, ἐπειδὴ τὸ ζῶον τοῦτο σφόδρα ἐπιχωριάζει ταῖς Ἀθήναις.* 2. *ἐπειδὴ π. ἐγχωριάζει τ. Ἀ. τὸ ζ.* B: *τὸ ζῶον* P F H Gaistordus: *ζῶον τοῦτο* Schottus. *ἐπιχωριάζων* H. 4. B C: *Λαιδάλου ποιήματος.* 5. C: *ἐπὶ τῶν ἀκριβῶς τὰ τεχνάσματα ποιούντων· ἀπὸ Λαιδάλου τινὸς μηχανοποιοῦ σοφοῦ.* 6. *εἰρῆσθαι φασὶν* B omissis sqq. 11. Legebatur *ἀποδράσοι.* 13. *τινὰ* B: vulgo *τι.* 14. Debebat *Ἐκκλησιαζούσαις*: eundem errorem Scholiasta Platonis committit. B: *Διομήδους γὰρ μετὰ Ὀδυσσέως κομίζοντος τὸ Παλλάδιον ἐπὶ τὰς ναῦς, ὁ Ὀδυσσεὺς βουλόμενος αὐτοῦ μόνου*

6. B. 276. C. 78. Diog. III, 57. 81. Greg. Cypr. II, 11. Apost. VI, 30. Arsen. 164: Schol. ad Arist. Equit. 1102. Av. 304: *παροιμία δέ ἐστιν ἐπὶ τῶν μάτην ἐπισωρευόντων τινὰ ἐπὶ τοῖς προϋπάρχουσιν, οἷον εἴ τις ἐν Αἰγύπτῳ σῖτον ἐπαγάγῃ ἢ ἐν Κιλικίᾳ κρόκον. ... Λήμων δέ φησιν ὅτι οὐ τοῦ ζώου μόνον πληθύνοντος ἐν τῇ πόλει, ἀλλὰ καὶ ὅτι τοῦ νομίσματος.* Eustath. ad Hom. Il. *A*, 206 p. 87, 50: *λαμβάνεται δὲ ἢ ἐπὶ τῶν συμβαλλόντων ἔνθα μὴ χρεία συμβολῆς ἢ ἐπὶ τῶν θαμιζόντων ἔνθα πολὺ τοιοῦτον πλῆθος· οἱ δὲ παλαιοί φασι καὶ ὅτι τὸ γλαῦκ' Ἀθήναζε ἁρμόττει ἐπὶ τῶν ἄλλοθεν μάτην τὰ πλεονάζοντα ὡς σπάνιά τινα ἐμπορευομένων, ὅ καὶ εἶναι ὅμοιον τῷ, πύξον ἐς Κύτωρον ἤγαγες* [vid. interpp. ad Steph. Byz. *s. Κύτωρος*] *ἢ ἰχθῦς εἰς Ἑλλήσποντον*: Hesych. Suidas. Arist. Av. l. c., Lucian. Nigrin. init., Liban. Epist. 1348.

7. B. 335. C. 96 Apost. VI, 71. Arsen. 174 ibiq. Macar.: Schol. Eurip. Hecub. 821. ad Platon. 328. 367 Bekk.: Tzetz. Chiliad. I, 537: Harpocr. 51, 14 Bekk. Hesych. s. *δαιτάλεια*, s. *Λαίταλον*. Suid. Bekker. Anecd. 240, 16. Usurparunt multi: iis, quos Schol. Eurip. et Hesychius laudavere, adde Alexin Athen. VII, 301 A. Plat. Hippia Maj. 282 A. Min. 97 D. Euthyphr. 11 B. Aristot. Polit. I, 4. de Anima I, 3. Liban. Epist. 1221. *ἐπειδὴ* sqq.] similiter rem enarrat Etym. M. 251, 1.

8. B. 338. Apost. VII, 15. Arsen. 181. Narratio Hesychio

Ὀδυσσεὺς ἐκώμιζον ἐπὶ τὰς ναῦς, τότε βουλόμενος Ὀδυσσεὺς αὐτοῦ μόνου τὴν φιλοτιμίαν γενέσθαι, ἐπεχείρησε φονεῦσαι τὸν Διομήδην μετὰ τοῦ Παλλαδίου προηγούμενον. Προϊδὼν δὲ ἐκεῖνος ὡς ἐν κατόπτρῳ ἀντιστίλβον τὸ ξίφος καὶ συλλαβὼν αὐτὸν καὶ δήσας τὰς χεῖρας πλάτει τοῦ ξίφους ἀκολουθῶν ἔτυπτεν.

9 *Δεινῆς ἀνάγκης οὐδὲν ἰσχυρότερον: ἀνάγκη γὰρ καὶ θεοὺς βιάζεται. Καὶ Πλάτων φησίν, Ἀνάγκην δὲ οὐδὲ θεός ἐστι δυνατὸς βιάζεσθαι.*

10 *Δακτύλου ἡμέρα: ἐπὶ τῶν εὐημερούντων. Δάκτυλος γάρ τις ἀνὴρ γέγονεν Ἀθηναῖος, μεγίστων λαχὼν τιμῶν.*

11 *Δάτος ἀγαθῶν: πόλεως ὄνομα ἣν ἀπῴκησαν*

τὸ ἔργον φανῆναι ἐπεχείρησε τὸν Διομήδην ἀνελεῖν· ὁ δὲ γνοὺς, τοῦτον συλλαβὼν καὶ δήσας αὐτοῦ τὰς χεῖρας ἔτυπτεν ἀκολουθῶν αὐτῷ πλατεῖ τῷ ξίφει. 7. C: *ἐπὶ τῶν δι' ἀνάγκην καὶ τὰ παρα φύσιν ἢ μὴ καθήκοντα ποιούντων. καὶ ἄλλη· Δεινὰ τὰ δεινά, ἐπὶ τῶν σφόδρα δεινῶν· καὶ ἕτεροι οὕτως· Δεινὰ τὰ δεινὰ καὶ δεινότερα τῶν Λεινίου.* 8. *θεοὺς*] B *θεὸς*. *φησιν* om. V. 9. *θεὸς*] vulgo *θεοὺς — δυνατοὺς*: e V B correxit Gaisfordus. *ἐστι*] *εἶναι λέγεται* Plato. 10. *Δατύλλου* Hesychius, *Δατύλου* vulgo: correxi e B Diogeniano. 11. B *τις Ἀθήνησι γέγονε.*

auctore e Leschis Iliade parva emanavit estque a Conone Narrat. 34. Schol. Platon. 408 Bekk. Eustath. ad Hom. Il. *K*, 531 p. 822, 17 ad proverbium explicandum adhibita: addit Eustathius: *ὅθεν καὶ παροιμία . . . ἐπὶ τῶν βίᾳ ἐγχειρούντων ἔργοις καὶ μάλιστα ὅτι τις ἄλοὺς ἐπίβουλος βίαν πάσχῃ ἐνεργεῖν τι τῶν μὴ θελητῶν· καίτοι τινὲς τὴν τοιαύτην παροιμίαν ἀπὸ τοῦ Θρᾳκὸς Διομήδους φασὶν ἐκπεσεῖν, ὃς ἠνάγκαζε τοὺς ξένους αἰσχραῖς οὔσαις ταῖς αὐτοῦ θυγατράσι μίγνυσθαι, ἃς καὶ ἵππους ὁ παλαιὸς λόγος ἀλληγορεῖ· εἶτα καὶ ἀνῄρει τοὺς μὴ ἐθέλοντας γαμβρούς.* Alteram narrationem proverbio explicando Clearchus, uti refert Hesychius, adhibuerat: eandem apponunt Schol. ad Arist. Eccles. 1029, Suidas, Apostolius. Alludunt Arist. Eccles. 1074. Plat. Reip. VI, 493 D. Anonym. Cramer. Anecd. III, 223: *ἐγὼ δὲ τοσοῦτον οὐκ ἂν τῷ τοιούτῳ ξυνθείην δόγματι, ὡς οὐδὲ σκυτέα ῥᾳδίως οὐδένα εἴποιμ' ἄν, κἂν ἡ Διομήδειος ἀνάγκη μοι ἐπικέοιτο, ξίφει τὸ μετάφρενον πληττομένῳ.*

9. B. 323. C. 99. Suidas. Plat. Legg. V, 741 A: adde ibid. VII, 818 B. G. Hermannum ad Eurip. Helen. 532 et cf. sup. I, 85. *Δεινὰ τὰ δ.*] compara Soph. Antig. 332.

10. B. 320. Diog. IV, 13. Apost. VI, 77. Arsen. 176: Hesych. Suidas. Ex Alcaei versu: *πίνωμεν· τί τὸ λύχνον μένομεν; δάκτυλος ἁμέρα* [fr. 33 Schneidew.] vv. *δάκτυλος ἡμέρα* de vitae humanae brevitate in proverbium abierant: quod quum paroemiographi nescirent, proverbii verba et corruperunt et ficta explicatione ornaverunt: vid. Gataekerus Miscell. 715. Jacobsius Annott. ad Anthol. I, 2, 28.

11. B 321. Apost. VI, 74. Arsen. 176: Strab. VII, 490 Sie-

Θάσιοι· ἐφ' ᾗ καὶ παροιμία ἐλέχθη, Λάτος ἀγαθῶν, ὡς οὔσης καλλίστης· ἔχει δὲ καὶ χρύσεα μέταλλα καὶ ἔστιν εὐδαίμων.

12 *Λαφνίνην φορῶ βακτηρίαν: τοῦτο λέγειν εἰώθασιν οἱ ὑπό τινων ἐπιβουλευόμενοι· παρόσον ἀλεξιφάρμακον ἡ δάφνη.*

13 *Δι' ὀξείας δραμεῖν: ἐπὶ τῶν διακινδυνευόντων. Ὀξεῖαν γὰρ λέγουσι τὴν λόγχην.*

14 *Λαυλίαν κορώνην: ἀντὶ τοῦ ἀηδόνα. Λαυλία δὲ ἐλέχθη διὰ τὸ τὰ περὶ τὸν Τηρέα ἐν Λαυλίδι τῆς Φωκίδος συστῆναι· οἱ δέ, ὅτι περὶ τὴν Λαυλίαν καταλαμβανόμεναι αἱ περὶ τὴν Πρόκνην μετέβαλον εἰς ὄρνιθας· ἔνιοι δὲ τὴν δασεῖαν ἀκούουσι· δαυλὸν γάρ ἐστι τὸ δασύ. Τὰ δὲ περὶ τὸν Τηρέα καὶ τὴν Πρόκνην οὕτως ἔχει· Πανδίων θυγατέρας ἐσχηκὼς δύο, Πρόκνην καὶ Φιλομήλαν, ἠγάγετο νυμφίον ἐπὶ τῇ Πρόκνῃ τὸν Τηρέα· ὁ δὲ τῆς Φιλομήλας ἐρασθεὶς καὶ βιασάμενος αὐτήν, ἵνα μή τινι τὸ γεγονὸς ἐξείπῃ, τὴν γλῶτταν αὐτῆς ἀπέτεμεν. Ἐκείνη δὲ πέπλῳ ὑφάνασα γράμματα, διὰ τούτων ἐμήνυσε Πρόκνῃ τὰς ἰδίας συμφοράς. Μαθοῦσα τοίνυν ἡ Πρόκνη τὰ συμβάντα τῇ Φιλομήλᾳ, Ἴτυν ἀπέκτεινεν, ὃν*

---

1. B V: *καὶ ἡ παροιμία ἐλέχθη, ὡς ἐχούσης αὐτῆς χρύσια μέταλλα καὶ εὐδαιμονίαν ἄλλην· τάττεται δὲ ἐπὶ τῶν μεγάλα ἀγαθὰ ἐπαγγελλομένων.* 2. *ἔχει*] legebatur *ἔστι*. 4. *φορῶ* B: vulgo *φορεῖ*. 5. *ἐπὶ τῶν ὑπό τινων ἐπιβ.* B. 7. P H F *διώξειε*. 8. *τὴν λ.*] *τὸν λόγον* P H F. 10. *Λαυλίᾳ* scripsit Gaisfordus: ego librorum scripturam retinui: vid. Tzschuckius ad Strab. IX p. 527.

benk. Eustath. ad Dionys. Perieg. 517: *Θάσος . . . τὸ Λάτον συνῴκισε πόλιν ἔνδοξον περὶ τὴν τοῦ Στρύμονος παραλίαν· ἀφ' οὗ παροιμίαν οἱ παλαιοὶ φασὶ, Λάτος ἀγαθῶν*: Harpocr. 52, 9 Bekk. Suidas. Vid. Wichersius Theopomp. frr. p. 150 sqq.

12. B. 322. Diog. IV, 14. 78. Apost. VI, 79. Arsen. 176 ibiq. Macar.: Suidas. Veteres credebant, lauro inesse vim quandam malum averruncandi: Plin. N. H. XV, 30, 135. Casaubonus ad Theophr. Charact. XVI, 1.

13. B. 325. Diog. IV, 16. Apost. VII, 25: in Arsenio p. 185 explicatio, quam Walzius in notas ablegavit, sola superest: Suidas. Vid. Mitscherlichius Horat. Carmm. IV, fin.

14. Hesych. Etym. M. 250, 7. Suid. Zonar. 469. Ex Aristophane natum videtur, qui *δαυλίαν κορώνην* ironice dixerat: Etym. M. *ἔνιοι — δάσυ*] consentiunt Etym. M. et Pausanias ap. Eustath. ad Hom. Il. p. 274, 24: vid. Mu-llerI Orchom 380. Historia ducta est ex Apollod. III, 14, 8: eandem Hesychius commemoraverat in nostri proverbii explicatione: vid. L. Dindorfius in Stephani Thes. s. *δάκτυλος ἡμίρα*.

εἶχε παῖδα ἐκ Τηρέως, καὶ αὐτῷ παρατίθησι τὰ τοῦ παιδὸς μέλη εἰς βρῶσιν. Γνοὺς δὲ τὸ γεγονὸς ὁ Τηρεὺς Πρόκνην καὶ Φιλομήλαν ἀπ᾽ αὐτοῦ φευγούσας ἐδίωκεν. Αἱ δὲ καταλαμβανόμεναι ηὔξαντο ἀφανεῖς γενέσθαι καὶ μετεβλήθησαν, Πρόκνη μὲν εἰς ἀηδόνα, Φιλομήλα δὲ εἰς χελιδόνα. Ὅθεν ἔτι καὶ νῦν αἱ χελιδόνες τετμημένας τὰς γλώσσας ἔχουσι· Τηρεὺς δὲ εἰς ἔποπα μεταβληθεὶς Ἴτυν εἰς δεῦρο θρηνεῖ.

15 Δευτέρων ἀμεινόνων: παροιμία ἐπὶ τῶν θυομένων ἐκ δευτέρου, ὅταν αὐτοῖς τὰ πρότερον ἱερὰ μὴ καυθῇ καὶ ἐπὶ δεύτερα τραπῶσιν.

16 Δικαιότερος σταχάνης: ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων. Σταχάνην γὰρ οἱ Δωριεῖς τὴν τρυτάνην καλοῦσιν· ἴσως παρὰ τὴν στάσιν.

17 Δικτύῳ ἄνεμον θηρᾷς: ἐπὶ τῶν μάτην καὶ ἀνοήτως τι ποιούντων.

18 Διὰ δακτυλίου δεῖ σε ἑλκυσθῆναι: ἐπὶ τῶν διὰ νόσον ἢ λύπην λεπτῶν καὶ ἰσχνῶν γινομένων.

19 Διὰ μαχαιρῶν καὶ πυρὸς ῥίπτειν δεῖ: ἐπὶ τῶν παραβαλλομένων καὶ ῥιψοκίνδυνα ποιούντων.

---

8. Ἴτυν — θρηνεῖ] Errat Zenobius. 9. παροιμία B om. 10. τὰ πρότερα B. 11. B: τραπῶσι λέγοντες δευτέρων ἀμειν. 12. Δικαιότερος B A: vulgo δικαιότερον. στιχάνης A et sic infra. 14. ἴσως π. τ. στ. om. B A. 15. Cod. Reg. 100 ap. Boissonad. l. c.: ἐπὶ τ. μάτην τι ποιούντων κ. ἀν. 17. vulgo εἰςιλκυσθῆναι: e Diogeniano, Suida, aliis correxit Hemsterhusius ad Arist. Plut. l. c. 19. B: δ. μ. προσριπτεῖ: ἐπὶ τῶν παραβόλως καὶ ῥιψοκινδύνως τι ποιούντων.

15. B. 324. Diog. IV, 15. Apost. VI, 80. Arsen. 176: Schol. Platon. 451 Bekk.: Hesychius. Adhibent Plat. Legg. IV, 723 D. Aristot. Metaphys. I, 2. Liban. Epist. 695. 856. Affine proverbium Euripideo αἱ δεύτεραί πως φροντίδες σοφώτεραι: Hippol. 436. Arsen. 25.

16. B. 340. Diog. IV, 28. Apost. IV, 7. Arsen. 180 ibiq. Macar.: Suidas.

17. B. 341. Diog. II, 28. IV, 29. Plutarch. ap. Boisson. Anecd. I, 394. Apost. VII, 12. Arsen. 181: Suidas. Nicephorus Greg. Histor. XVIII, 4, 2: εἰς πῦρ τε ἔδοξα ξαίνειν καὶ δικτύῳ θηρεύειν ἀνέμους.

18. Diog. II, 30. IV, 30. Greg. Cypr. II, 17. Apost. VII, 22. Arsen. 181: Suidas. Alludit Aristoph. Plut. 1037.

19. B. 343. Apost. VII, 1. Arsen. 179: Suidas. Ductum est a praestigiatoribus: Athen. I, 19 E. IV, 129 D. Boissonad. Anecd. I, 398. Xenoph. Memorab. I, 3, 9: οὗτος κἂν εἰς μαχαίρας κυβιστήσειε κἂν εἰς πῦρ ἅλ-

20 *Λίκνην ὑφέξει κἂν ὄνος δάκῃ κύνα: ἐπὶ τῶν ἐπὶ μικροῖς συκοφαντουμένων.*

21 *Διὸς Κόρινθος: παροιμία ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων καὶ πραττόντων.*

22 *Λέχεται καὶ βῶλον Ἀλήτης: ἐπὶ τῶν πάντα πρὸς τὸ κρεῖττον ἐκδεχομένων. Ἀλήτην γάρ φασι φεύγοντα κατελθεῖν βουλόμενον εἰς Κόρινθον καὶ βουκόλου τινὸς ἀπαντήσαντος αἰτῆσαι τροφήν· οὐκ ἔχειν δὲ φάσκοντος ἐκείνου, ἄραντος δὲ βῶλον δοῦναι αὐτῷ· τὸν δὲ λαβόντα φάναι,*

Λέχεται καὶ βῶλον Ἀλήτης.

---

1. C: *ἐπὶ τῶν μικρὰ πταιόντων καὶ ἀξίων κολάζεσθαι.* 2. *ἐπὶ μικροῖς* B Suidas, Gaisfordus: *ἐπὶ μικρά* Schottus. 3. VB: *Ὁ Διὸς Κόρινθος καὶ Παῖε τὸν Διὸς Κόρινθον: ἐπὶ τῶν τὰ αὐτὰ πολλάκις ἀνακυκλούντων. Κορινθίων γὰρ ἐπί τινος δικαιολογίας τῆς μετὰ Μεγαρέων οὐδὲν δίκαιον (δι B) ἐχόντων εἰπεῖν, μόνον τοῦτο ὅτι Οὐκ ἀνέξεται ὁ Διὸς Κόρινθος, πολλάκις λεγόντων, οἱ Μεγαρεῖς ἀπεκρίναντο, Παῖε, παῖε τὸν Διὸς Κόρινθον· ὅθεν ἡ παροιμία.* 5. In Hesychio verba *δέχεται κ. β. ἀλ.* exciderunt.

λοιτο: similiter *διὰ πυρὸς βαδίζειν* Aristophanes dixit Lysistr. 136. add. Eupol. fr. 135 Runk. Chion. Epist. 17. Wyttenb. ad Plutarch. Morr. 50 D. Peerlkamp. Nov. Act. Societ. Rheno-Traject. I, 127.

20. B. 326. C. 109. Diogen. IV, 17. Greg. Cypr. II, 13. Apost. VII, 11. Arsen. 181: Suidas.

21. B. 344: V. III, 13. B. 699. Apost. VII, 17. XIII, 97. Arsen. 182. 377. Macar. 416: Schol. Aristoph. Ran. 442: Hesych. Phot. s. *Πυθώδε ὁδός*, s. *Ὑπέρου περιτροπή*. Suidas: alio modo proverbii vim Demon apud Schol. ad Pind. Nem. VII fin. definit: *ἐπὶ τῶν ἄγαν μὲν ὑπερσεμνυνομένων, κακῶς δὲ καὶ πονηρῶς ἀπαλλαττόντων*: aliter rursus Schol. Platon. 368 Bekk.: *ἐπὶ τῶν ἐπ' οὐδένι τέλει ἀπειλούντων*: in eo tamen uterque consentiens, quod ex historia, quam e B. supra apposui, definitionem derivat: vid. C. O. Muelleri Orchom. 138. Dorr. I, 88: Photius denique s. *ὁ Διὸς Κόρινθος* haec sola habet: *ἐπὶ τῶν πάλαι μὲν εὐπραγησάντων, ὕστερον δὲ οὐ καλῶς ἀπαλλαξάντων.* Scriptores antiqui saepe usi sunt proverbio: Schol. ad Platon.: *μέμνηται δὲ ταύτης Ἀριστοφάνης ἐν τοῖς Βατράχοις λέγων: ἀλλ' ἢ Διὸς Κόρινθος ἐν τοῖς στρώμασιν· καὶ ἐν Ταγηνισταῖς* (fr. 22 Dind.) *καὶ Ἔφορος ἐν πρώτῃ ἱστοριῶν* (fr. 27 Marx.) *καὶ Πλάτων Εὐθυδήμῳ* (p. 292 E.) — — *καὶ Πίνδαρος*: add. Aristoph. Eccles. 823: hinc factum est, ut saepe etiam a recentioribus adhiberetur: Liban. Epist. 565. Theodorus Hyrtac. Boiss. Anecd. II, 433.

22. Plutarch. 48. Diog. I, 4. IV, 27. Apost. VI, 83. Arsen. 177 ibiq. Macar.: Hesych. s. *Διὸς Κόρινθος*. Alludit Plato Gorg. 499 C: *ἀνάγκη μοι — καὶ τοῦτο δέχεσθαι τὸ διδόμενον παρὰ σοῦ*: cf. Stallbaumius ad Plat. Euthydem. 285 A. Historia exstat apud Pausaniam II, 4. Schol. ad Pindari Nem. VII fin. alios: vid. Marxius ad Ephori fr. p. 112. O. Muelleri Dorr. I, 85.

23 Διπλοῦς ἄνδρας: τὰ δισύλλαβα ἀνδρῶν ὀνόματα. Ὅθεν ἐπίγραμμα,

Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν περυκότα,
χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

24 Λὶς ἑπτὰ πληγαῖς πουλύπους πιλούμενος: ἐπὶ τῶν κολάσεως ἀξίων. Παρόσον ὁ πολύπους θηρευθεὶς τύπτεται πολλάκις πρὸς τὸ πίων γενέσθαι.

25 Λίχολοι γνῶμαι: παρὰ τὸ διχῇ ἰδιότροποι, κατὰ μετάληψιν. Χόλος γὰρ ἡ ὀργὴ, ὀργὴ δὲ τρόπος. Βακχυλίδης,

Ὀργαὶ μὲν ἀνθρώπων διακεκριμέναι μυρίαι.

26 Δόρυ καὶ κηρύκιον: παροιμία, ἣν ἔνιοι πειθανάγκην λέγουσιν. Εἴρηται δὲ ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων, ἀπὸ τοῦ δόρυ κατέχειν καὶ κηρύκιον.

---

1. ἀνδρῶν] »ἀνδρῶν in ἀνδραπόδων mutabat Schottus, recte an secus non dixerim, quum nesciamus unde verba illa sumpserint grammatici:« G. Dindorfius in Steph. Thesaur. L. Gr. s. διπλοῦς: vid. nott. 2. ὅθεν — τρόπους] »haec om. P H. Et fortasse huc intulit ed. F. ex Anthol. (Pal. X, 95). Vid. Jacobsii Anim. I, 3, p. 247.« Gaisf. 5. Πολύπους codd.: correxit Gaisfordus ex Athenaeo. πηλούμενος A B. 8. δισχο H. παρὰ τὸ δίχα· ἢ δίτροποι Hesychius: οἱονεὶ δίτροποι Diogenianus, Apostolius. 12. κηρύκιων B. πειθανάγκην] τιθανάην P H: veram Hesychius suppeditavit lectionem: vid. Cicero Epist. ad Attic. IX, 13, 4. Wyttenbachius Epist. Crit. 196. παροιμία — δὲ om. B C. 13. παρακολουθούντων B codd.: emendavit ex Hesychio Schottus. 14. καὶ ἀπειλ. B om. C: ἐπὶ τῶν παρακαλούντων καὶ ἀπειλούντων. Γιφυραῖοι ὑπ' Ἀθηναίων πεμφθέντες εἰς Λιλφοὺς ἐπὶ τῷ λαβεῖν χρησμὸν, ἐν τῷ ὑποστρέφειν ἔμαθον Ἀθηναίους ὑπὸ Εὐμόλπου πολεμουμένους, καὶ φοβηθέντες, οἱ μὲν πρεσβύτεροι ἔλαβον κηρύκεια προηγούμενοι· οἱ δὲ νέοι καθωπλισμένοι εἵποντο. 14. κηρύκιον B.

23. Hesychius s. διπλοῦς consentit, addit autem post ὀνόματα: οἱ δὲ, παλίμβολα. Plura h. l. excidisse sponte intelligitur: Zenobius exposuisse videtur v. διπλοῦς significare i. q. δισυλλάβους: cf. Athen. XIV, 614 E ibiq. interpp.: tum i. q. ποικίλους, de quo usu vid. Mitscherlichius Horat. Carmm. I, 6, 7. Versus ex Aristophanis Ran. 1447 petiti.

24. B. 345. Apost. VII, 24. Arsen. 183: Suidas. Usurpavit Aristoph. Athen. 316 B: πληγαὶ λέγονται πουλύπου πιλουμένου. Vox πίων Schweighaeusero difficultates creavit: nullae adsunt: priusquam coquerent piscem coqui caedendo molliorem ideoque pinguiorem reddebant.

25. Diog. IV, 32. Apost. VII, 18. Arsen. 183: Hesychius. Explicat Lobeckius ad Soph. Ajac. 127. Bacchyl. fr. LX Nev., 35 Schneidew.

26. B. 346. C. 112. Apost. VII, 34. Arsen. 184: Eustath. ad Hom.

27 *Δραχμὴ χαλαζῶσα: ἐπὶ Διοφάντου τὸ θεωρικὸν ἐγένετο δραχμή· ἐπεὶ δὲ ἔπεσε χάλαζα τότε ἀπὸ τοῦ ἀέρος, χαλαζῶσαν αὐτὴν ἐπέσκωπτον.*

28 *Δίκη δίκην ἔτικτε καὶ βλάβην βλάβη: ἐπὶ τῶν φιλοδίκων καὶ συνειρόντων δίκας δίκαις.*

29 *Δὶς πρὸς τὸν αὐτὸν αἰσχρὸν προσκρούειν λίθον: ἐπὶ τῶν δεύτερον τοῖς αὐτοῖς περιπιπτόντων.*

30 *Δελφῖνα νήχεσθαι διδάσκεις: ἐπὶ τῶν ἐν ἐκείνοις τινὰ παιδοτριβούντων, ἐν οἷς ἤσκηται.*

31 *Δέδοται καὶ κακοῖς ἄγρα: ἐπὶ τῶν παρ' ἀξίαν εὖ πραττόντων.*

32 *Δειλότερος εἰ τοῦ παρακύπτοντος: ἐπὶ τῶν σφόδρα δειλῶν. Ἀνὴρ γάρ τις οὕτως ἐγένετο δειλὸς,*

---

1. *ἐπὶ Δ.* ex Hesychio Schottus, G. Dindorfius in Steph. Thes. L. Gr. s. *δραχμή*: *ἐπὶ τῶν Δ.* H F Gaisfordus. 4. *βλάβη βλάβην* B H. 5. *βλάβαις βλάβας* B. 6. Exibit versus, si *εἰςκρούειν* cum Erasmo legeris. Explicationem B ignorat. 8. B *ἐ. τ. παιδοτρ. ἐκεῖνα ἅ τις ἤσκηται.* 9. *τινὰς* cod. Reg. 1000 ap. Boissonadum l. c. Legebatur *ἤσκηνται*: correxi e C. 12. B: *φοβούμενός τις τὸν Ἡρακλέα κατέδυ εἰς σπηλαῖον κἀκεῖ ὑπὸ δειλίας ἀπέθανεν. Ἐντετύπωται οὖν τῷ λίθῳ ἀνθρωποειδὴς εἰκών· καὶ τὴν κεφαλὴν ἀνέχει τοῦ σπηλαίου, καλεῖται δὲ παρακύπτων.* 13. C: *ὡς παρακύψας ἐκ σπηλαίου καὶ ἰδὼν τὸν Ἡρ. κατέδυ εἰς τὸ σπήλαιον καὶ διὰ δειλίαν ἀπέθανε.*

II. *Γ*, 222 p. 408, 4: *παροιμία ἦν, ὥς φησι Παυσανίας, ἐπὶ τῶν ἅμα π. κ. ἀπ.. οἱ δεκατευθέντες γάρ, φησίν, εἰς Δελφοὺς ὑπ' Ἀθηναίων* (scribe *Ἀργείων*: v. O. Muelleri Dorr. I, 257.) *Γεφυραῖοι, λαβόντες χρησμὸν ὡς ἀνδρὶ Γεφυραίῳ οἶκος φίλος οἶκος ἄριστος, εἶτα βουσὶν ἀκολουθοῦντες ἕως οὗ ἐκεῖνοι κοπιάσουσιν, οἱ βόες δηλαδή, ὡς ὁ θεὸς αὐτοῖς ἔχρησεν, ὅπως ἐκεῖ καταμείνωσι, πολεμουμένων Ἀθηναίων ὑπὸ Εὐμόλπου, ἐπὶ Τάναγραν ὥδευσαν, δόντες μὲν τῷ προηγουμένῳ κηρύκειον ὡς ἐπὶ πρεσβείᾳ καὶ εἰρήνῃ, καθοπλίσαντες δὲ κατόπιν τοὺς νέους. — — ἐν ἑτέρῳ δὲ ῥητορικῷ λεξικῷ γράφει ὡς ὑπὸ Ταναγραίων πολεμούμενοι Γεφυραῖοι προέπεμψαν κήρυκα καὶ κατόπιν καθώπλισαν ἑαυτούς· κἀντεῦθεν ἡ ῥηθεῖσα παροιμία:* Hesych. Suidas.

27. Hesych. Suidas. Vid. Boeckhii Oeconom. publ. Athen. I, 239.

28. B. 347. Greg. Cypr. II, 14. Apost. VII, 9. Arsen. 181: Suidas.

29. B. 329. Diog. IV, 19. Greg. Cypr. II, 15. Apost. VII, 29. Arsen. 183: Suidas. Menander sentent. singul. 121 Mein.: *δὶς ἐξαμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ.*

30. B. 348. C. 104. sup. II, 49. Diog. I, 65. IV, 33. Apost. VI, 95. Arsen. 177 ibiq. Macar. Plutarch. Boiss. Anecd. I, 395: Suidas. Usurpant Aristaen. Epist. II, 1. Anonym. Cramer. Anecdd. III, 201: *τοῦτ' ἐκεῖνο — τῷ παροιμιακῷ δελφῖνι δίδως τὴν θάλατταν.*

31. B. 349. Diog. IV, 34. Greg. Cypr. II, 20. Apost. VI, 81. Arsen. 176: Georgides Gnomolog. in Boisson. Anecd. I, 28: Suidas.

32. B 339. C. 98. Apost. VI, 91. Arsen. 177. Plutarch. 75: Suidas.

ὥστε διὰ φόβον Ἡρακλέους κατέδυ εἰς σπήλαιον καὶ διὰ δειλίαν ἀπέθανε. Παρακύψας γὰρ ἐκ τοῦ σπηλαίου καὶ ἰδὼν τὸν Ἡρακλέα, ἀπελιθώθη καὶ διέμεινεν ἔτι καὶ νῦν ὁ λίθος ἀνθρωποειδὴς τὴν κεφαλὴν ὑπερέχων τοῦ σπηλαίου.

33 *Δὶς καὶ τρὶς τὸ καλόν: ὅτι χρὴ περὶ τῶν καλῶν πολλάκις λέγειν.*

34 *Διωλύγιον κακόν: ἐπὶ τῶν μέγα τι καὶ δεινὸν ὑφισταμένων. Διωλύγιον γάρ ἐστι τὸ μέγα καὶ πολὺ διῆκον. Οὕτως οὐ μακρὰ καὶ διωλύγιος φλυαρία· Πλάτων.*

35 *Δειλὸν ὁ Πλοῦτος: παρόσον οἱ πλούσιοι τὰς οἰκίας ἀσφαλίζονται καὶ κύνας τρέφουσι καὶ πολλὰς ἑαυτῶν ποιοῦνται φυλακάς.*

36 *Δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδόνιπτρον: ἐπὶ τῶν ἁρμοδίως τοῖς πράγμασι κεχρημένων.*

37 *Δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι: ἐπὶ τῶν σφόδρα κακουργοτάτων· τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι.*

---

5. *Δ. κ. τ. τὰ καλὰ* B omissis reliquis. *ὅτι* Schol. Plat.: legebatur *οὕτω*. 7. *μέγα τι* B: deerat *τι*. 8. *ἐπὶ πολὺ* Suidas, Zonaras, alii. 9. *οὐ μακρὰ* B P H F Gaisfordus: *ἡ μ.* Schottus. 11. *διλὸν* B P H Gaisfordus: *διλὸς* Schottus. 12. *ἑαυτῶν*] *αὐτοῦ* B. 14. *ὑποδήματ'* Dindorfius Aristoph. fr. p. 137. 15. *χρωμένων* B. 16. *πλέκοντο μηχ.* Schottus, *πλέκειν δὲ μηχ.* B, *πλέκειν τοι* Eustathius, alii, Gaisfordus. 17. *κακούργων* B.

33. B. 329. Diog. IV, 20. Apost. VII, 27. Arsen. 183: Schol. Plat. 354: *παροιμία δὶς καὶ — λέγειν· Ἐμπεδοκλέους τὸ ἔπος, ἀφ' οὗ καὶ ἡ παροιμία· φησὶ γάρ· Καὶ δὶς γὰρ ὃ δεῖ καλόν ἐστιν ἐνισπεῖν* (vs. 164 Sturz.): Suidas. Saepe a Platone adhibetur: Gorg. 498 E. Phileb. 59 E. Legg. VI, 754 B. XII, 956 E: add. Plutarch. non posse suav. vivi s. Epicur. c. 24. de Iside et Osir. 36. Lucian. Dipsad. fin. Cram. Anecd. III, 205.

34. B. 350. Apost. VII, 26. Arsen. 183 ibiq. Macar.: Suidas: vid. Zenob. V, 55. Vocem *διωλύγιος* explicant Schol. Plat. 361 Bekk., Bekkeri Anecd. 238, 10. alii: vid. Ruhnkenius ad Tim. Lex. 88. Platonis locus est Theaetet. 162 A.

35. B. 331. Apost. VI, 82. Arsen. 176 ibiq. Macarius. Ductum est ex Eurip. Phoen. 597: *δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν*: tetigit Aristoph. Plut. 202: *ἀλλὰ καὶ λέγουσι πάντες ὡς Δειλότατόν ἐσθ' ὁ πλοῦτος*, ad quem locum vid. Scholl.: add. Bacchyl. fr. 4 Schneidew. Eurip. Archel. fr. 33.

36. B. 332. Helladius apud Phot. Biblioth. 533, b, 17 Bekk.: *ὅτι παροιμίαν εἶναί φησι τὸν δεξιὸν ὑποδεῖσθαι πόδα, τὸν δ' ἀριστερὸν νίζειν· φησὶ γὰρ ὁ Ἡολέμων* (fr. CI Preller.), *ὡς μαρτυρεῖ Δίδυμος, δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδάνιπτρα*: Suidas. Pythagorae Symbolis Iamblichus Symb. 12 p. 338 Kiessl. annumerat, exponitque actiones honestas tamquam dexteriores primo loco collocandas esse, inutiles autem tamquam sinistras abjiciendas.

37. B. 351. Diog. IV, 35. Apost.

38 *Δελφῖνα πρὸς τοὐραῖον δεῖς: ἐπὶ τοῦ ἀδυνάτου διὰ τὸ εὐκίνητον εἶναι. Πρὸς τοὺς οὐ δυναμένους τηρεῖν τὰ διδόμενα ἢ ἔχειν.*

39 *Δουλότερος Μεσσήνης: ἐπειδὴ πολλάκις ἀποστάντας τοὺς Μεσσηνίους ἐδουλώσαντο οἱ Λακεδαιμόνιοι καὶ ἐχρῶντο αὐτοῖς χαλεπώτερον ἢ τοῖς ἄλλοις δούλοις.*

40 *Δοῖδυξ αὔξει: ἐπὶ τῶν μὴ αὐξανομένων φησὶν ὁ Χρύσιππος, ἀλλὰ καὶ [ἐπὶ τῶν] μικρῶν μενόντων εἴρηται ἡ παροιμία. Ὁ γὰρ δοῖδυξ μικρός ἐστι καὶ στρογγύλος.*

41 *Διὸς ἐγκέφαλος: ἐπὶ τῶν ἡδυπαθούντων ἡ παροιμία τέτακται. Κλέαρχος δὲ ἐν τῷ πέμπτῳ περὶ βίων φησὶ, τὰ πολυτελῆ βρώματα παρὰ τοῖς Πέρσαις Διὸς καὶ βασιλέως ἐγκέφαλον καλεῖσθαι.*

42 *Δῶρον δ' ὅ τι δῷ τις ἐπαίνει: αὕτη κόμμα ἐστὶ χρησμοῦ τοῦ δοθέντος Μυσκέλλῳ τῷ Ῥυπῖ, καθ' ὃν δὴ χρόνον Κρότωνα οὐκ ἐβούλετο οἰκίζειν, [ἀλλὰ] Σύβα-*

---

8. B. 458. Diog. IV, 65. Photius. Sed Apost. IX, 30. Arsen. 245. simile habent proverbium: εὕδοντι κύρτος αἱρεῖ. Vide nott. critt. et ad Diogen. l. c. Plutarchus Moralll. II, 187, B. Τιμόθεος εὐτυχὴς ἐνομίζετο στρατηγὸς εἶναι· καὶ φθονοῦντες αὐτῷ τινες ἐζωγράφουν τὰς πόλεις εἰς κύρτον αὐτομάτως ἐκείνου καθεύδοντος ἐνδιομένας. Ἔλεγεν οὖν ὁ Τιμόθεος· Εἰ τηλικαύτας πόλεις λαμβάνω καθεύδων, τί με οἴεσθε ποιήσειν ἐγρηγορότα; Compara Plut. Sull. VI.

9. B. 457. Hesych. Suid. Discimus ex Photio usurpasse Cra-

10 *Ζαλεύκου νόμος: ἐπὶ τῶν ἀποτόμων. Ζάλευκος γὰρ Λοκροῖς τοῖς Ἐπιζεφυρίοις ὡμότερον ἐνομοθέτησεν.*

11 *Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας: ὅτι οὐκ ἀπρονόητα κἂν βραδέως ἡ δίκη τοὺς πονηροὺς μέτεισι. Φασὶ γὰρ τὸν Δία εἰς διφθέρας τινὰς ἀπογράφεσθαι τὰ πραττόμενα τοῖς ἀνθρώποις.*

12 *Ζεῖ χύτρα, ζεῖ φιλία: ἐπὶ τῶν διὰ τοῦ δείπνου συνιόντων εἰς φιλίαν.*

13 *Ζητῶν γὰρ ὄψον ἱμάτιον ἀπώλεσα: ἐπὶ τῶν ἀτυχεστάτων.*

14 *Ζωὴ πίθου: ἐπὶ τῶν ἐπιεικῶς καὶ μετρίως ζώντων· ἀπὸ Διογένους τοῦ φιλοσόφου, ᾧ πίθος ἦν ἡ ἰδίστη καταγωγὴ καὶ διατριβή.*

---

1. *νόμοι* B. 4. *οὐκ ἀπρονόητα τὰ ὄντα. Φασὶ γὰρ κτλ.* B: *ἀπρονόητα τὰ τῶν θεῶν* C: *ἀπρον. τὰ πάντα* Scholl. Homeri. 7. *ζῇ χύτρα, ζῇ φ.* Bodl. AB: *ζεῖ φιλία* dedi ex Macario aliisque: legebatur *ζῇ. διὰ τοῦ δείπνου συνιόντων* dedi: legebatur *συνιεισόντων*: B *διὰ δείπνων εἰς φιλίας συνιόντων.* 9. *θοιμάτιον* dedi: legebatur *θοιμάτιον.* 11. *ἐπιεικῶν* B. 12. *ἡ ἡδίστη* PH: rell. omittunt *ἡ.* 13. *καταγωγὴ καὶ* om. B.

tinum *ἐν Πυλαίᾳ* fr. 10. Runkel. Auctor narrationis *Θεόπομπος ἐν τῇ ὀγδόῃ τῶν περὶ Φίλιππον*, Wichers. fr. 73. Confer Herod. III, 160. ibique Intpp. Pessime Photium contraxere Apost. IX, 58. Arsen. 261., ubi Macarius *ἐπὶ τῶν φορτικά τινα διὰ πλοῖτον ὑπομενάντων.* Unde quid sibi Zopyrus voluerit claret.

10. B. 459. Diog. IV, 94. Apost. IX, 50. Arsen. 260. Macar. Cfr. de Zaleuci legibus Nitzsch. Melett. I, 62 sqq.

11. B. 460. Diog. IV, 95. Apost. IX, 53. Arsen. 260. Aliter C. 234: *Ζεὺς γὰρ κατῄει χρόνιος εἰς τὰς διφθέρας: ὅτι οὐκ ἀπρονόητα τὰ τῶν θεῶν. Διφθέραι δὲ τόπος ἦν ἐντελής, ἐν ᾧ ἁμαρτήσαντες μόλις ἐκολάσθησαν οἱ οἰκήτορες.* Scholl. Ven. B II. A, 175. *Ζεὺς κατεῖδε χρ. εἰς τ. δ.: ἐπὶ τῶν ποτε ἀμειβομένων ὑπὲρ ὧν πράττουσι καλῶν ἢ κακῶν, ὅτι οὐκ ἀπρονόητά φησι τὰ πάντα, ἀλλὰ τὸν Δία εἰς διφθέρας τινὰς ἀπογράφεσθαι καί ποτε ἐπεξιέναι.* Confer Valckenar. in Herod. V, 58. Diatr. Eurip. 185. Nitzsch. Melett. Hist. Hom. I, 70.

12. B. 461. Diog. IV, 96. Apost. IX, 54. Arsen. 261. Macar. Aliud est illud C. 233. *Ζεῖ χ., ζεῖ φ.: παροιμία ὅτι ὅταν πλουτῇ τις φίλους ἔχει*, cfr. Suidam. Rursus C. 347. *Ζῇ χ., ζῇ φ.: ὅτι τοῖς δυστυχήσασιν οὐκ εἰσὶ φίλοι.* Duo statuo exstitisse proverbia: alterum *ζεῖ χ., ζεῖ φ.*, quod explicat Zenobius: alterum *ζεῖ χ., ζῇ φιλία*, quod C habet. Dicebaturque de istis qui cum faece siccatis cadis diffugerunt amici.

13. B. 462. Diog. IV, 97. Apost. IX, 56. Arsen. 261. Suidas. Ortum proverbium ex Arist. Nubb. 855. *Διὰ ταῦτα δὴ καὶ θοιμάτιον ἀπώλεσας.*

14. B. 464. Diog. IV, 98. Apost. IX, 59. Arsen. 263. Suidas. Cfr. de dolio Diogenis Hermann. Luc. de Conscr. Hist. p. 20.

15 *Ζωὸς γενήσῃ κρομμύου μόνον λαβών: πρὸς τοὺς ἀπὸ μικρᾶς αἰτίας μεγάλην δόξαν καρπουμένους.*

16 *Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα: ἐπὶ τῶν μὴ κατὰ προαίρεσιν ζώντων. Κέχρηται αὐτῇ Πλάτων ἐν Ἱππίᾳ.*

17 *Ἤτοι τέθνηκεν, ἢ διδάσκει γράμματα: τῶν μετὰ Νικίου στρατευσαμένων εἰς Σικελίαν οἱ μὲν ἀπώλοντο, οἱ δὲ ἐλήφθησαν αἰχμάλωτοι, καὶ τοὺς τῶν Σικελιωτῶν παῖδας ἐδίδασκον γράμματα. Οἱ οὖν διαφεύγοντες εἰς Ἀθήνας, καὶ ἐρωτώμενοι περὶ τῶν ἐν Σικελίᾳ, ἔλεγον, Ἢ τέθνηκεν, ἢ διδάσκει γράμματα. Καὶ οὕτως ὁ λόγος παροιμιώδης ἐγένετο. Εἴρηται δὲ ἐπὶ τῶν ἀμφιβόλως λαλούντων.*

18 *Ἢ κρίνον ἢ κολοκύντην: τὸ τῆς κολοκύντης ἄνθος καλεῖται κρίνον· ἄδηλον δὲ, εἰ οἴσει καρπόν. Ἕτερον οὖν τὸ μὲν κρίνον οἱ ἀρχαῖοι ἐπὶ τοῦ τεθνηκότος, τὴν δὲ κολοκύντην ἐπὶ τοῦ ὑγιοῦς. Μέμνηται ταύτης Λίφιλος λέγων·*

Ἐν ἡμέραισιν αὐτὸν ἑπτά σοι, γέρον,
θέλω παρασχεῖν ἢ κολοκύντην ἢ κρίνον.

19 *Ἢ δεῖ χελώνης κρέα φαγεῖν, ἢ μὴ φαγεῖν: τῆς χελώνης ὀλίγα κρέα βρωθέντα στρόφους ποιεῖ, πολλὰ δὲ καθαίρει. Ὅθεν ἡ παροιμία. Ἕτεροι δὲ ἐπὶ τῶν*

---

4. *κέχρηται — Ἱππίᾳ* om. B. *Ἱππείᾳ.* 5. *Ἱππίᾳ* Gaisfordus: vulgo *Ἱππείᾳ.* 7. *τοὺς τῶν Σικ.* B: deerat *τῶν.* 9. *διαφυγόντες* B. 12. *εἴρηται — λαλούντων* om. B. 14. *ἤτοι κρίνον* C, v. Lobeck. Soph. Aj. 177. not. 17. *μέμνηται — κρίνον* om. B. 18 *λέγων ἐν Ἡμέραισιν* olim: v. Valcken. Diatr. Eurip. 16. 19. *αὐτόν* Valckenarius: libri *αὐτός.* *γέρον* Gaisf. ex P: *γερὸν* (sic) H: vulgo *γέρων.* 20. *ἢ κολοκύντην* Valckenarius: deerat *ἤ.*

15. B. 465. Diog. IV, 99. Apost. IX, 62. Suidas. Apud Arsen. 263. est: *κρομμύου μοῖραν λαβών.*

16. B. 466. Diog. IV, 100. Apost. IX, 63. Arsen 263. Macar. Suidas. Platonis locus est Hipp. Maj. 301, C: *Τοιαῦτα, ὦ Ἱππία, τὰ ἡμέτερά ἐστιν, οὐχ οἷα βούλεταί τις, ἀλλ' οἷα δύναται.* Scholia: *παροιμία ἐπὶ τῶν λεγομένων ἢ πραττομένων, κατὰ δύναμιν ὑφ' ἑκάστου λεγομένη· τὰ ἡμέτερα οὐχ οἷα βούλεταί τις, ἀλλ' οἷα δύναται.* Vide Heindorf. ad Cratyl. p. 140. Terent. Andr. IV, 5, 10. *Ut quimus, ajunt, quando ut volumus non licet.*

17. B. 475. Diog. V, 9. Marcellini Praef. XXII. Apost. X, 4. Arsen. 280. Confer Plut. Nic. XXIX. Diod. Sic. XIII, 33.

18. B. 476. C. 253, qui ait dici *ἐπὶ τῶν ἀδήλων.* Loco Diphili citat Menandrum, versus ipsos non apponit Diog. V, 10.

19. Contractius B. 467. Diog.

ἀρχομένων ὁρμᾶν ἐπί τι πρᾶγμα, στραγγευομένων δέ. Φασὶ δὲ αὐτὴν Τερψίωνος εἶναι.

20 Ἡ Ἀμαία τὴν Ἀζησίαν μετῆλθεν: ἱστορεῖ Δίδυμος, ὅτι Ἀμαία μὲν ἡ Δημήτηρ παρὰ Τροιζηνίοις προσαγορεύεται, Ἀζησία δὲ ἡ Κόρη. Ἀπὸ γοῦν τῆς ἱστορίας ἡ παροιμία προῆχθη. Λέγεται δὲ ἐπὶ τῶν πολυχρονίῳ ζητήσει χρωμένων. Πλούτωνος γὰρ Περσεφόνην ἁρπάσαντος ἡ Δημήτηρ ἀνὰ πᾶσαν τὴν γῆν περιέρχεται ταύτην ζητοῦσα.

21 Ἡλιθιώτερος τοῦ Πραξίλλης Ἀδωνιδος: Πράξιλλα Σικυωνία μελοποιὸς ἐγένετο, ὡς φησὶ Πολέμων. Αὕτη ἡ Πράξιλλα τὸν Ἄδωνιν ἐν τοῖς μέλεσιν εἰσάγει ἐρωτώμενον ὑπὸ τῶν κάτω, τί κάλλιστον καταλιπὼν ἥκει, ἀποκρίνασθαι, ἥλιον καὶ σελήνην καὶ σικύους καὶ μῆλα. Ὅθεν εἰς παροιμίαν προῆχθη ὁ λόγος. Ἡλίθιον γὰρ τὸ τῷ ἡλίῳ παραβάλλειν τοὺς σικύους.

---

1. στραγγευομένων Casaubonus: vulgo ut P H στρατευομένων. 3 et 4. Ἀμαία dedi cum rell. Paroemiographis, qui tamen fere ἀμαῖα: legebatur Ἀμία. Lobeckius Aglaoph. 822: »Ἡ Ἀμαία τὴν Ἀζησίαν μετῆλθε: h. e. ἡ Δημήτηρ τὴν Κόρην, neque ego aut Spanhemio assentior nomen hoc a verbo ἀμᾶν derivanti ad Callim. Hymn. in Cer. 137. p. 717. aut Muellero Λαμία τὴν Αὐξησίαν (Herod. V, 82.) corrigenti Aeginet. p. 171. Ἀζησία ipsius Cereris nomen est in Anecdd. Bekkeri 348.« Ἀμαία comparat cum glossa Hesychii: Ἀμμᾶς: ἡ τροφὸς Ἀρτέμιδος· καὶ ἡ μήτηρ· καὶ ἡ Ῥέα· καὶ ἡ Δημήτηρ. Confer de v. ἀμαία vel ἠμαῖα Prelleri Demet. et Perseph. 325 sq. 10. Πράξιλλα C: reliqui Πραξίλλα. 11. γελοποιὸς V. 12. ἐν τοῖς μέλεσιν] ἐν τοῖς ὕμνοις C.

V, 1. Apost. IX, 68. Arsen. 272. Suid. Hesych. Photius. Demonis priorem fuisse explicationem testatur Photius. Ath VIII, 337, A sqq. Κλέαρχος ἐν τοῖς περὶ παροιμιῶν καὶ διδάσκαλον τὸν Ἀρχιστράτου γενέσθαι φησὶ Τερψίωνα. ὃν καὶ πρῶτον Γαστρολογίαν γράψαντα διακελεύεσθαι τοῖς μαθηταῖς τίνων ἀφεκτέον. ἀπεσχεδιακέναι τε τὸν Τερψίωνα καὶ περὶ τῆς χελώνης τάδε· Ἡ χρὴ χελώνης ἢ φαγεῖν ἢ μὴ φαγεῖν. ἄλλοι δ' οὕτως λέγουσιν· Ἢ δεῖ χελώνης κρέα φαγεῖν ἢ μὴ φαγεῖν. Terpsionis meminit Plutarchus de Genio Socr. 581.

20. Contractius B. 478. Apost. II, 87. Arsen. 50. Plut. 41. Suidas. Vide nott. critt.

21. Contractius B. 480. C. 218., qui ait dici ἐπὶ τῶν ἀνοήτων. Diog. V, 12. Plut. 118. Apost. IX, 81. Arsen. 275. Suidas, quem confer s. v. ἠλιθιάζω. Post vv. καταλιπὼν ἐλήλυθεν pergit C: ἐκεῖνον δὲ λέγοντα οὕτως· Κάλλιστον μὲν ἐγὼ λείπω φάος ἠελίοιο, Δεύτερον ἄστρα φαεινὰ σελήναίης τε πρόσωπον, Ἡδὲ καὶ ὡραίους σικυοὺς καὶ μῆλα καὶ ὄγχνους (ὄγχνας). Εὐήθης γάρ τις ἴσως ὁ τῷ ἡλίῳ καὶ τῇ σελήνῃ τοὺς σικυοὺς καὶ τὰ λοιπὰ συναριθμῶν. Est Praxillae fr. 1. in Delectu nostro. De Adonide Praxillae

22 *Ἡρακλεία λίθος: ταύτην ἔνιοι μαγνῆτιν λέγουσι τὴν ἐπισπωμένην τὸν σίδηρον. Οἱ δὲ ἑτέραν, παραπλήσιον ἀργύρῳ. Κέκληται δὲ οὕτως ἀπὸ Ἡρακλείας, τῆς ἐν Λυδίᾳ πόλεως.*

23 *Ἢ τρὶς ἓξ ἢ τρεῖς κύβοι: ἡ παροιμία παρὰ Φερεκράτει ἐν τοῖς Μυρμηκανθρώποις. Κεῖται δὲ ἐπὶ τῶν ἀποκινδυνευόντων. Τὸ μὲν γὰρ τρὶς ἓξ, τὴν παντελῆ νίκην δηλοῖ· τὸ δὲ τρεῖς κύβοι, τὴν ἧττων. Πάλαι γὰρ τρισὶν ἐχρῶντο πρὸς τὰς παιδιὰς κύβοις, καὶ οὐχ, ὡς νῦν, δύο. Ἔστι δὲ ὁμωνυμία. Κύβον γὰρ ἔλεγον ἰδίως αὐτὸν τὸν ῥιπτούμενον, ὅτε πλήρης ἐστὶ καὶ μή. Τοὺς δὲ κύβους τοὺς τοιούτους οἱ Ἴωνες καλοῦσιν Οἴνας καὶ τὴν παροιμίαν οὕτως ἐκφέρουσιν, Ἢ τρὶς ἓξ ἢ τρεῖς οἶναι.*

24 *Ἡ Φανίου θύρα: ὁ Φάνιος, ὡς φασὶν, ἐγένετο ὀβολοστάτης, ἄλλως δὲ τυφλός. Ὑπανοίγοντος δὲ τοῦ παιδὸς αὐτοῦ τὰ ταμεῖα καὶ τὴν θύραν, ἣν ἐκεῖνος ἰσχυρὰν ἐνόμιζεν εἶναι, τὴν παροιμίαν εἰρῆσθαι ἐπὶ τῶν μηδὲν ἀνυόντων ἐν τῷ φυλάττειν.*

---

2. *οἱ δὲ ἑτέραν παραπλήσιον ἀργύρῳ* dedi: vulgo *ἡ δὲ ἑτέρα παραπλήσιος ἀργύρῳ*: V B *οἱ δὲ ἑτέραν ὁμοίαν ἀργύρῳ.* 5. *ἢ τρὶς ἓξ* Schottus: libri hic et infra fere *τρεῖς ἓξ.* 10. *ὡς νῦν* B: vulgo *ὡς οἱ νῦν.* 12. *οἴνας* Schotti V (et B): *οἴνους* P: *οἴνους* H F. Vide Hemsterhusium ad Poll. IX, 95. 15. C *Φάνου*, Photius *φανοῦ. Φανίας* Hemsterh. in Aristoph. Plut. 372. Confer Diogen. l. c. 16. *ἄλλως* dedi ex Photio: erat *ἄλλοι.*

commentatio exstat J. P. Rossignoli Galli, in Journal des Savants 1837, I. p. 36 – 47., de qua rettulimus Ephemeridd. Litt. Gotting 1837, 87. p. 859 sqq. Confer Preller. ad Polemon. Frr. p. 150 sq. Liban. Ep 707. *ταῦτα δὴ ἐπὶ τοῦ τῆς Πραξίλλης Ἀδώνιδος οἴχεται.*

22. B. 471. Diog. V, 2. Apost. IX, 96. Hesych., quem et v. II, 521. Macarius 279. *πρὸς τοὺς ἑαυτοῖς τι ἐπαγομένους, παρόσον καὶ ἡ λίθος ἐπισπᾶται τὸν σίδηρον.* Scholl. Plat. 333. *Διογενιανὸς Μαγνῆτιν μὲν πλανᾶν λέγει τὴν ὕφυ λίθον, ὡς ἡ ἀργύρῳ ἐμφερής, τὴν δὲ Ἡρακλεώτην ἐπισπᾶσθαι τὸν σίδηρον.* Cfr. Suid. Zonar. 1004.

23. B. 473. Diog. V, 4. Apost. X, 3. Arsen. 280. Hesych. Suid. Eustath. Il *II*, 1083, 63. *Παροιμία φησὶν ἐπὶ τῶν μηδὲν διὰ μέσου κινδυνευόντων τὸ Ἢ τρὶς ἓξ ἢ τρεῖς κύβους, ἀπὸ τοῦ μεγίστου ἐν πασοῖς ἀριθμοῖς, ὅ ἐστιν ἓξ, καὶ τοῦ ἐλαχίστου, ἤγουν τοῦ κύβου, ὅπερ ἐστὶ μονάδος.* Scholl. Plat. 460. et ipsa habent *ἢ τρὶς ἓξ ἢ τρεῖς κύβους*, in fine *τρεῖς οἴνας.* Cetera ad verbum concinunt cum Zenobio: quippe uterque Tarrhaeum descripsit. Pherecratis fr. est VIII, p. 49. Runkel. Confer Blomfield. Gloss. Aesch. Agam. 32 Boissonad. in Aristaenet. II, 18. p. 708.

24. Cum Suida Coisl. facit 254.

25 *Ἡ ἀφύα πῦρ*: *ἐπὶ τῶν ὀξὺ λαμβανόντων τέλος ἡ παροιμία εἴρηται. Παρόσον ἡ ἀφύη (ἔστι δὲ ἰχθὺς) ἰδοῦσα τὸ πῦρ μόνον ἔψεται, οὕτως οὖσα τρυφερά.*

26 *Ἡράκλειος νόσος*: *Ἀκαίαρχος φησὶ τὴν ἱερὰν νόσον Ἡράκλειον ὀνομάζεσθαι. Εἰς ταύτην γὰρ ἐκ τῶν μακρῶν πόνων περιπεσεῖν φασὶ τὸν Ἡρακλέα.*

27 *Θάμυρις μαίνεται*: *ἐπὶ τῶν κατὰ σύνεσιν παράλογα δοκούντων πράττειν εἴρηται ἡ παροιμία.*

Ὁ Θάμυρις πολλῶν ἐπὶ κάλλει διενεγκών, ἤρξατο πρῶτον ἐρᾶν ἀῤῥένων. Ἀσκήσας δὲ κιθαρῳδίαν, ταῖς Μούσαις ἤρισε, συνθέμενος πρότερον, εἰ μὲν κρείττων εὑρεθῇ, πλησιάσαι πάσαις· εἰ δ' ἡττηθῇ, στερηθήσεσθαι ὧν ἂν ἐκεῖναι θέλωσιν. Ὑπέρτεραι δὲ αἱ Μοῦσαι γενόμεναι, καὶ τῶν ὀμμάτων αὐτὸν καὶ τῆς κιθαρῳδίας ἐστέρησαν.

28 *Θᾶττον ἢ Βούτης*: *τῶν ἐπὶ τῇ στοᾷ μαχομένων τις ἦν ᾧ ἐπεγέγραπτο Βούτης, οὗ ἐφαίνετο τὸ κράνος*

---

1. ἀφὴ **BV**. 3. ἐψῆται **B**. 9. *πολλῶν* scripsi: legebatur *πολλούς*. 16. **B** 221: *Βούτην Μίκων ἔγραψεν· ἐπὶ τῶν ῥᾳδίως ἐπιτιλουμένων· πίνακα γὰρ ὁ Μίκων γράψας ἐποίησί τινα ὑπὲρ ὅρους φαινόμενον καὶ ἐπέγραψε Βούτης· φαίνεται δὲ αὐτοῦ τὸ κράνος καὶ ὁ ὀφθαλμός.* Repone *Μίκων*, licet Harpocr. 128, 3. ejusdem erroris particeps sit: *Μήκων· Ἀκαίαρχος ἐν τῷ περὶ τῆς ἱερᾶς νόσου Καὶ Μήκωνα τὸν γράψαντα ἕως τὰς λ' μνᾶς ἐζημίωσαν*, ubi Salmasius corrigebat: *Μίκωνα τὸν γράψαντα Βούτην οἱ τριάκοντα ἡ μνᾶς ἐζημίωσαν*. Butes videtur intelligendus sacerdos ille Minervae et Neptuni, cui fortasse Micon in Thesei pugna contra Amazones partes dederat, v. de picturis Stoae Boettiger. Archaeol. Pict. p. 246 sqq.

Confer Diog. V, 5. Eustath. Odyss. Ω, 1959, 14. *Ἡ τοῦ Φανίου θύρα τὰ μηδαμοῦ ὄντα χρήματα ἐπαροιμιάζετο στέγειν ἐντὸς διὰ τὸ τὸν Φανίαν ψευδῶς ἑαυτῷ κεκτῆσθαι πλοῦτον.* Adde Apost. X, 5. Arsen. 280. Macarius: *ἡ Φάνου θύρα· ἐπὶ τῶν μεγαλοφώνων.* Eustath. Opuscc. 277, 51. *Θησαυροὺς ἐκόμπαζεν ἐκεῖ πεφυλαγμένους αὐτῷ, Φανίου δή τινα θύραν καὶ αὐτὸς ταύτην ἀναπλαττόμενος τοῖς ἀγνοοῦσιν, οἷα τύχῃ αὐτὸν τὰ πρὸ τούτων ἤλαυνε.*

25. **B** 487. Vat. II, 13. Apost. IX, 65. Arsen. 271. Confer quae dicta sunt ad Zenob. II, 32: add Bergk. Comm. Com. Att. 315.

26. Diog. V, 8. Plut. 36. Apost. IX, 93. Arsen. 278. Macarius: *ἐπὶ τῶν μετὰ πολὺν κάματον ἐμπιπτόντων εἰς νόσον· ὁ γὰρ Ἡρακλῆς μετὰ μυρίους καμάτους τῇ ἱερᾷ ἐνέπεσεν.* Disserit de isto morbo praeter alios Aristoteles Problemm. I. 30.

27. **B**. 491. Diog. V, 20. Apost. X, 10. Arsen. 286. Confer ad Diog. III, 26 Historia fere conspirat cum Apollod. I, 3, 3., ubi v. Heynium.

28. **B**. 492. Suid, Hesych. 755. 1682. Photius, ubi *Νίκων*. Cfr. Lycurg. Fragm. 39, ibiq. Sauppe.

καὶ ὁ ὀφθαλμός· τὰ δὲ λοιπὰ μέρη ἐδόκει ὑπὸ τοῦ ὄρους, ἐφ' οὗ ἐβεβήκει, κρύπτεσθαι, διὰ τὸ προκεῖσθαι αὐτοῦ. Τάσσεται οὖν ἡ παροιμία ἐπὶ τῶν ῥᾳδίως συντελουμένων. Καὶ γὰρ καὶ ὁ Βούτης ῥᾳδίως κατεσκευάσθη, ἅτε οὐχ ὁλοκλήρου τοῦ σώματος γεγραμμένου.

29 Θετταλῶν σόφισμα: παροιμία ἐπὶ τῶν σοφιζομένων λεγομένη, διὰ τὸ ** τῷ Θετταλῷ λόγιον ἐκπεσεῖν, φυλάττεσθαι μὴ ἕλωσιν αὐτὸν οἱ ἐξεναντίας εἰχῇ μείζονι καὶ λαμπροτέρᾳ κατ' αὐτοῦ χρησάμενοι. Νοήσας οὖν τὸ λόγιον καὶ πρὸς ὑπερβολὴν τραπόμενος, ἑκατόμβην ἀνδρῶν ηὔξατο θυσίαν Ἀπόλλωνι Καταιβασίῳ. Κατελθὼν οὖν ἐκεῖ, καὶ διαταξάμενος ἐφ' ἃ ὥρμησε, τὸ περὶ τὴν θυσίαν καὶ τὴν εὐχὴν οὔτε ἱεροπρεπὲς εἶναι νομίσας, οὔτε ἄλλως εὐσεβές, ὑπερέθετο. Καὶ μέχρι νῦν Θετταλοὶ τὴν θυσίαν Ἀπόλλωνι ὑπισχνοῦνται δι' ἔτους.

30 Θεῶν ἀγορά: παροιμία ἐπὶ τῶν τολμώντων τὶ λέγειν ἐπὶ τοῖς τοσοῦτον ὑπερέχουσιν, ὅσον οἱ θεοὶ τῶν ἀνθρώπων. Καὶ τόπος Ἀθήνησιν ἀπὸ τοῦ συναγερθῆναι προσαγορευθείς.

---

3. *συντελούντων* Bodl. A. 4. *καὶ γὰρ καὶ* dedi ex B: vulgo *καὶ γάρ.* *κατεσκευάσθη* Gaisf. ex P B: vulgo *κατεσκεύαστο.* 7. *διὰ τὸ τῷ Θετταλῷ*] *Aratum* Suidas vocat, Scholl Eur. Phoen. 1416. *Diotimum*: alterutrum cum Valckenario restituendum. Posui signa lacunae. 8. *ἐξ ἐναντίας* B. 9. *χρησάμενοι*] *στησάμενοι* Bodl. B. 12. *ἐφ' ἃ ὥρμησεν* B V, qui haec contraxerunt in brevius. 18. *συναγερθῆναι* Gaisf. ex Hesychio: Zenob. *συνεργηθῆναι.* B (App. Vat. II, 24.) *Καὶ ἐν θεῶν ἀγορᾷ*] *ἐπὶ τῶν καθ' ὑπερβολὴν*

29. Vat. IV, 6. B. 491. Suid. Hesych. 1704. 1706. Macar. 291. Photius habet *Θεσσαλῶν νόμισμα.* Eustath. Il. *B*, 331, 18. *Θετταλὸν σόφισμα ἐπὶ τῶν μὴ εὐθυμαχούντων ἐν παρατάξει παροιμιάζεται, ἀλλὰ κακουργούντων. Παυσανίας δὲ εἰς ταῦτο σαφέστερον φράζων φησί· Θετταλὸν σόφισμα ἐπὶ μάχης καὶ σχήματος καὶ ἐπὶ παρακρούσεως καὶ ἄλλων μυρίων τάττεται ἀπὸ αἰτίας τοιαύτης· Ἀράτῳ* (*Διάτῳ* O. Muellerus cll. Polyaen. Strat. VIII, 44.) *κατιόντι ὁ θεὸς ἔχρησε φυλάξασθαι μὴ λάθωσιν αὐτὸν* et rell. fere ut Zenobius, nisi quod ultima *Καὶ μέχρι νῦν κτλ.* ignorat. Usurpat Eurip. Phoen. 1422. Pors. *Καὶ πως νοήσας Ἐτεοκλῆς, τὸ Θεσσαλὸν Εἰσήγαγεν σόφισμ' ὁμιλίᾳ χθονός.* Sed h. l. latius patet: v. Scholl. et Valckenarium. Aristophanis Scholl. Plut. 521., ubi v. Hemsterhus. p. 153., derivant proverbium ab Iasone, qui Medeae datam fidem non servaverit. De Apolline *Καταιβασίῳ* praeter Valckenarium v. Burmann. de Jove Fulguratore p. 331. et de moribus Thessalorum Wachsmuth. Antiqq. Grr. I, 1, 65.

30. B. 495., plenius 521., Diog. V, 22. Apost. X, 27. Arsen. 287. Suid. Hesych. 61. 1706. Vide ad Zenob. I, 5.

31 *Θολερῶς προβαίνεις: μὴ καθισταμένην καὶ ἀσφαλῆ πορείαν ἔχων, ἀλλ' ἀστάτως καὶ τεταραγμένως προϊών.*

32 *Θρᾷκες ὅρκια οὐκ ἐπίστανται: ταύτης μέμνηται Μένανδρος ἐν τῇ πρώτῃ. Λέγει γάρ, ὅτι ἐν ταύτῃ τῇ γῇ ὁ πρεσβύτατος ἀκοντισθεὶς διὰ τοῦ στήθους ἀπώλετο. Καὶ ἐντεῦθεν Ἴωσι καὶ Αἰολεῦσιν αἴνιγμα γέγονε, Θρᾷκες ὅρκια οὐκ ἐπίστανται.*

33 *Θύραζε Κᾶρες, οὐκ ἔτ' Ἀνθεστήρια: οἱ μὲν διὰ πλῆθος οἰκετῶν Καρικῶν εἰρῆσθαι φασὶν, ὡς ἐν τοῖς Ἀνθεστηρίοις εὐωχουμένων αὐτῶν καὶ οὐκ ἐργαζομένων. Τῆς οὖν ἑορτῆς τελεσθείσης, λέγειν ἐπὶ τὰ ἔργα ἐκπέμποντας αὐτούς,*

Θύραζε Κᾶρες, οὐκ ἔτ' Ἀνθεστήρια.

Τινὲς δὲ οὕτω τὴν παροιμίαν φασὶν, ὅτι οἱ Κᾶρες ποτὲ μέρος τῆς Ἀττικῆς κατέσχον· καὶ εἴ ποτε τὴν ἑορτὴν τῶν Ἀνθεστηρίων ἦγον οἱ Ἀθηναῖοι, σπονδῶν αὐτοῖς μετεδίδοσαν καὶ ἐδέχοντο τῷ ἄστει καὶ ταῖς οἰκίαις. Μετὰ δὲ τὴν ἑορτὴν τινῶν ὑπολελειμμένων ἐν ταῖς Ἀθήναις, οἱ ἀπαντῶντες πρὸς τοὺς Κᾶρας παίζοντες ἔλεγον,

Θύραζε Κᾶρες, οὐκ ἔτ' Ἀνθεστήρια.

Εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν τὰ αὐτὰ ἐπιζητούντων πάντοτε λαμβάνειν.

κακηγορούντων (*κατηγ.* **B**). *εἴρηται δὲ* (**B** om. *δὲ*) *ἡ παροιμία, ὅτι καὶ ἐν Θεῶν ἀγορᾷ δυσφημήσειαν. Θεῶν δὲ ἀγορὰ τόπος ἐν Ἐλευσῖνι, εἰσίασι δὲ εἰς αὐτὸν πάντες εὐφήμως.* 9. *Ἀνθιστήρια εἰ* **B**. 11. *εὐωχουμένων αὐτῶν καὶ οὐκ ἐργαζομένων* **Gaisf.** ex **B V** Photio: vulgo *εὐωχουμένους αὐτοῖς καὶ οὐκ ἐργαζομένους.* 14. *Ἀνθιστήρια* **V**: *ἀνθιστήρια εἰ* **B**: vulgo *ἀνθ. ἦ.* 16. *μέρη* **B V**. *εἴ ποτε* **B P H**: *ὅποτε* (sic) vulgo: *ἔκποτε* **V**. 19. *ὑπολελειμμένων* **Valckenarius**: legebatur *ὑποβεβλημένων.* 20. *παίζοντες ἔλεγον* **B V**: *παίζοντες λε*$^{\gamma''}$ (sic) *ἔλεγον* **P H**. 22. *ζητούντων* **H**. **Addunt B V**: *Τινὲς δὲ οὕτως φασὶ· Θύραζε Κῆρες, οὐκ ἔνι Ἀνθεστήρια.*

31. Suid. Hesych. Photius.

32. B. 502. C. 261. cum Suida, Diog. V, 25. Apost. X, 32. Arsen. 289. Macar. Hesych. Menandrum *ἐν τῇ πρώτῃ Ἐπικλήρῳ* **dici fatus Schottus aliique: Niebuhrius Menandri Protectoris fragmentis inseruit p. 439. Confer Gaisford. ad Suid. p. 1908. Meinek. Menandr. p. 60. Mueller. Orchom. 385.**

33. B. 503. C. 263. Diog. V, 24. Apost. X, 36. Arsen. 290. Hesych. Phot. Suid.

34 *Θάσος ἀγαθῶν: ἐπὶ τῶν εὐδαίμονα καὶ λαμπρὸν ἀποδεῖξαί τινα ἐπαγγελλομένων ἡ παροιμία ἐστί. Καλλίστρατος γὰρ ὁ ῥήτωρ ἐκπεσὼν Ἀθήνηθεν ἔπεισε τοὺς Ἀθηναίους τὴν ἀντίπεραν γῆν οἰκῆσαι, λέγων ὅτι καὶ χρυσᾶ μέταλλα ἔχει, καὶ γῆν ἄφθονον, καὶ ὅλην ἀρίστην, καὶ ὅλως Θάσον ἀγαθῶν τὸν τόπον ἐκάλει· ὅθεν ἡ παροιμία ἐκράτησεν.*

35 *Θᾶττον ὁ τόκος Ἡρακλείτῳ Περιναίῳ τρέχει: Ἡράκλειτος δρομεὺς ἐγένετο θαυμασθεὶς ἐπὶ τάχει. Εἴρηται ἡ παροιμία ἐπὶ τῶν δανειζομένων, ὡς τοῦ τόκου θᾶττον τρέχοντος ἢ Ἡράκλειτος ὁ δρομεύς. Ἐξήλλακται μέντοι Δωρικῶς, Ἡρακλείτῳ Περιναίῳ, ἀντὶ τοῦ, Περιναίου.*

36 *Θεοὺς ἡ Ἀναίδεια: αὕτη τέτακται ἐπὶ τῶν δι' ἀναισχυντίαν τινὰ ὠφελουμένων. Φησὶ Θεόφραστος ἐν τῷ περὶ Νόμων, Ὕβρεως καὶ Ἀναιδείας παρὰ τοῖς Ἀθηναίοις εἶναι βωμούς.*

37 *Θρᾳκία παρεύρεσις: φασὶ τοὺς Θρᾷκας ἡττηθέντας ὑπὸ Βοιωτῶν [περὶ Κορώνειαν,] καὶ σπεισαμένους σπονδὰς πενθημέρους θέσθαι· νυκτὸς δὲ ἐπιγνομένους τοῖς Βοιωτοῖς, τοὺς μὲν ἀποκτεῖναι, τοὺς δὲ ζωγρῆσαι. Ἀγανακτούντων δὲ τῶν Βοιωτῶν, εἰπεῖν τοὺς Θρᾷκας, ὅτι τὰς ἡμέρας οὐ τὰς νύκτας ἐσπείσαντο.*

38 *Ἰνοῦς ἄχη: Ἰνὼ ἡ Κάδμου συνελθοῦσα Ἀθά-*

4. ἀντίπεραν Gaisf. ex B: vulgo ἀντίπερα. 8. ὁ τόκος B: κότος V. 8 et 12. *Περναίῳ* et *Περναίου* B: legebatur *Περνίῳ* et *Περνίου*. Notavit Schottus, Perinen fuisse urbem Asiae teste Steph. Byz. s. v. *Παρπάρων*. Verum quae ibi *χώρα ἐν Ἀσίᾳ Αἰολικὴ* vocatur *Περίνη*, Holstenius *Περπερίνην* scribendum docuit, ut si inde fuisset cursor, *Περπερναίου* Zenobio reddendum foret. Non liquet. 17. *εἶναι βωμούς*] *βωμὸς* H. 18. *Θρηκία* B V C. 19 *περὶ Κορώνειαν* addidi ex B V: *περὶ χερώνειαν* C. 21. *τοῖς Βοιωτοῖς*] *θύουσι τἀπινίκια* praeponit C.

34. B. 498. Apost. X, 19. Arsen. 286. Suidas. Confer Zenob. III, 11. De Callistrato dixit Ruhnken. Hist. Crit. Oratt. Grr. p. 320. in Opuscc. aliique.

35. B. 499. Suid. et codex Piersoni post Moerin p. 479. ubi est *θᾶττον τόκος τρέχει Περναίου Ἡρακλείτου*.

36. B. 500. C. 256. Diog. V, 25. Plut. 25. Apost. X, 25. Arsen. 257. Macar. Suidas. Confer Paus. I. 28. Ciceron. Legg. II, 11. cum Inipp. Meinek. Men. 92.

37. B. 501. C. 262. Suidas. Confer Strabon. IX, 585. (616.).

38. Apost. X, 49. Arsen. 304. Suidas. Confer Apollod. I, 9, 1. Scholl. Arist. Nubb. 258.

μαντι δύο ἐγέννησε παῖδας, Λέαρχον καὶ Μελικέρτην, καὶ θυγατέρα Εὐρύκλειαν. Οὗτοι ὑπὸ Ἀθάμαντος μανέντος κατετοξεύθησαν. Μετὰ δὲ Μελικέρτου ἡ Ἰνὼ ἑαυτὴν εἰς τὴν πρὸς τῷ Μολουρίῳ θάλατταν. Καὶ τὴν μὲν εἰς Μέγαρα προσβραισθεῖσαν Μεγαρεῖς ἀνελόμενοι καὶ πολυτελῶς κηδεύσαντες ἐκάλεσαν Λευκοθέαν· τὸν δὲ εἰς Κόρινθον Κορίνθιοι θάψαντες Μελικέρτην ἄγουσιν ἐπ' αὐτῷ ἀγῶνα τὰ Ἴσθμια. Διὰ δὴ ταῦτα εἴρηται Ἰνοῦς ἄχη. Ἄχος γὰρ ἡ λύπη, ἀχανεῖς ποιοῦσα τοὺς κακῶς παθόντας. Ταῦτα δὲ δηλώσει καὶ Μενεκράτης ὁ Τύριος. Πέπονθε δὲ οὕτως Ἰνὼ δι' αἰτίαν τήνδε. Ἀθάμας πρότερον γυναῖκα ἐσχηκὼς Νεφέλην, δύο παῖδας ἐκ ταύτης Ἔλλην καὶ Φρίξον ἐγέννησεν. Ἀποθανούσης δὲ τῆς Νεφέλης, δευτέραν ἠγάγετο γυναῖκα Ἰνώ· ἥτις ἐπιβουλεύσασα τοῖς τῆς Νεφέλης παισί, παρέπεισε τὰς τῶν ἐγχωρίων γυναῖκας φρύγειν τὰ σπέρματα. Ἡ γῆ δὲ πεφρυγμένον τὸν σπόρον δεχομένη καρποὺς ἐτησίους οὐκ ἀνεδίδου. Πέμψας οὖν εἰς Δελφοὺς ὁ Ἀθάμας περὶ τῆς ἀφορίας ἐπυνθάνετο. Δώροις δὲ πείσασα Ἰνὼ τοὺς πεμφθέντας ὑπέθετο αὐτοῖς εἰπεῖν ὑποστρέψασιν, ὡς ἀνεῖλεν ὁ θεὸς, Ἔλλην καὶ Φρίξον σφαγιασθῆναι, εἰ θέλοιεν ἀπαλλαγὴν τῆς ἀφορίας ἔσεσθαι. Πεισθεὶς οὖν ὁ Ἀθάμας, Ἔλλην καὶ Φρίξον τῷ βωμῷ παρέστησεν. Ἀλλ' ἐκείνους μὲν κατοικτείραντες οἱ θεοὶ διὰ τοῦ χρυσομάλλου κριοῦ ἐναερίους ἁφήρπασαν. Ὅθεν Ἔλλη μὲν ἀντέχειν μὴ δυναμένη, εἰς τὸν ἀπ' ἐκείνης κληθέντα Ἑλλήσποντον καταπίπτει· Φρίξος δὲ εἰς τὴν Κολχικὴν διασώζεται γῆν. [Ἀθάμαντι δὲ μανίαν ἐμβαλόντες τὴν Ἰνὼ τοιαῦτα παθεῖν παρεσκεύασαν.]

39 Ἰαλέμου ψυχρότερος: παροιμία, ὡς εἴ τις εἴποι, Γυμνότερος τοῦ κακοδαίμονος· ἢ ὅτι οἱ θρηνοῦντες τῷ ἰαλέμῳ χρῶνται, ἐπιλεγοντες αὐτό. Ἔνθεν καὶ τὸ θρηνεῖν, ἰαλεμίζειν λέγουσι. Λέγουσι δέ τινες τὸν

---

7. ἄγουσιν] legebatur καὶ ἄγουσιν. 18. ἀνεδίδου Guisf. ex Apollodoro: erat ἐνεδίδου. 28. Ἀθάμαντι — παρεσκεύασαν] seclusi. 31. γυμνότερος] B V ψυχρότερος. 33. Addunt in fine B V: τινὲς δὲ τὸν ὑστεραιόμενον καὶ ὀρφανόν· ἕτεροι δὲ τὸν οὐδενὸς ἄξιον.

39. B. 504. Apost. X, 39. Arsen. 301. Suid. Hesych. Phot. cll. Coisl. 264. Eustath. Il. Z, 636, 60. Ἴσως παρὰ τὸ ἀλάσθαι καὶ ὁ Ἰάλεμος, ὅθεν παροιμία εἴλκυσται τὸ Ἰαλέμου ψυχρότερος. Confer. Vater. ad Eurip. Rhes. p. 312. Meinek. Men. 82.

Ἰάλεμον, υἱὸν Καλλιόπης, καθ' ὑπερβολὴν ψυχρὸν γεγονότα.

40 Ἱερὸν ἡ συμβουλή ἐστιν: παροιμία ἐπὶ τῶν δεινῶν καθαρῶς συμβουλεύειν. Μέμνηται ταύτης Ἐπίχαρμος.

41 Ἵππῳ γηράσκοντι τὰ μείονα κύκλ' ἐπίβαλλε: ταύτης μέμνηται Κράτης ὁ κωμικὸς Σαμίοις. Τάττεται δὲ ἐπὶ τῶν διὰ γῆρας ῥαστώνης δεομένων τινὸς καὶ ἀναπαύλης. Εἴρηται δὲ ἀπὸ στρατιωτικῶν ἵππων, οἷς γηράσκουσιν ἐπέβαλλον τὸ καλούμενον τρυσίππιον· ἔστι δὲ τοῦτο σιδηροῦς τροχίσκος, (οἱονεὶ δημόσιος ὡς χαρακτὴρ τροχίσκος) ὃν ἐκπυροῦντες ἐπέβαλον ταῖς σιαγόσι τῶν ἵππων.

42 Ἱππάρχων πίναξ: ἐπεὶ παρὰ Συρακουσίοις οἱ ἱππαρχοι ἐν πίναξι τὰ ὀνόματα γράφοντες τῶν ἀτακτούντων παρεσημειοῦντο.

43 Ἰλιὰς κακῶν: ἀπὸ παροιμίας τοῦτο ἐλέγετο ἐπὶ τῶν μεγάλων κακῶν· παρόσον ἐν Ἰλίῳ μυρία κακὰ συνέβη γενέσθαι.

---

6. κύκλ' BV: vulgo κεικελ': P κρίκελ' ἐπίβαλε. 8. διὰ γῆρας V: διὰ τὸ γῆρας B: vulgo δι' ἄκρας. 10. τρυσίππιον] »Vulgo τρεσίππιον. Leg. τρυσ. Vid. Kuhn. et Jungerman. ad Polluc. VII, 186. Mox uncinolis interjeci (οἱονεὶ — τροχισκός). Nescio an scribendum τρυσίππων, οἱονεὶ δημόσιον χαρακτῆρα. Ἔστι — τροχ., ὃν κτλ.« Gaisfordus. Cfr. Hesych. s. v. Ἵππου τροχός. 14. Ἱππάρχου B.

40. B. 505. C. 268. Macar. 305. Suid. Hesych. Scholl. Plat. 383. Παροιμία ἱερὸν συμβουλὴ ἐπὶ τῶν καθαρῶς καὶ ἀδόλως συμβουλευόντων· δεῖ γὰρ τὸν συμβουλεύοντα μὴ τὸ ἴδιον σκοπεῖν, τὸ γὰρ ἱερὸν οὐδενὸς ἴδιον, ἀλλὰ τῶν χρωμένων ἐστὶ κοινόν. ἐπειδὴ καταφεύγουσιν ὥσπερ εἰς τὰ ἱερὰ θέλοντες συμβουλεύεσθαι οἱ ἄνθρωποι. προσήκει οὖν τοῖς συμβουλεύουσιν ἀψευδεῖν καὶ τὰ βέλτιστα κατὰ τὴν αὐτῶν γνώμην συμβουλεύειν. ἄλλοι δέ φασιν ἔπαινον φέρειν τῆς συμβουλῆς τὴν παροιμίαν· εἶναι γὰρ αὐτὴν θείαν καὶ ὑπὲρ ἄνθρωπον. μέμνηται δὲ αὐτῆς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ (fr. XXII. Dindorf). Plato Theag. 122, B. Ἀλλὰ μὲν δή, ὦ Δημόδοκε, καὶ λέγεταί γε συμβουλὴ ἱερὸν χρῆμα εἶναι. Adde Lucian. Rhett. Praecc. 1. Creuzer. Init. Philos. Plat. I, 183. Epicharmi est fr. inc. 44. Polm. Kruseman.

41. B. 508. Diog. V, 27 Plut. 13. Suidas. Vide quae diximus Ibyc. Rheg. p. 107.

42. B. 506. Suid. Hesych., ubi alia exstat originatio. Cfr. Mueller. Dorr. II, 163.

43. B. 507. Diog. I, 10. V, 26. VI, 7. Apost. X, 46. Arsen. 303. Suid. Photius. Macarius dici ait ἐπὶ τῶν πολλῶν καὶ σφοδρῶν. Usurpant Lucianus Pseudol. 10. Conviv. 35. aliique apud Walz. ad Arsen. l. c. Adde Plutarch.

44 *Ἰστίᾳ θύει: ἡ παροιμία τέτακται ἐπὶ τῶν μηδενὶ ῥᾳδίως μεταδιδόντων. Διὰ ἔθους γὰρ ἦν τοῖς παλαιοῖς, ὁπότε ἔθυον Ἰστίᾳ, μηδενὶ μεταδιδόναι τῆς θυσίας. Μέμνηται ταύτης Θεόπομπος ἐν Καπηλίσιν.*

45 *Καδμεία νίκη: περὶ ταύτης τῆς παροιμίας ἄλλοι ἄλλως λέγουσιν. Ἀποδιδόασι δὲ ταύτην ἐπὶ τῆς ἀλυσιτελοῦς νίκης, οἱ μέν, ὅτι [ἐπεὶ] Ἐτεοκλῆς καὶ Πολυνείκης μονομαχοῦντες ἀμφότεροι ἀπώλοντο· οἱ δὲ, ὅτι Καδμεῖοι νικήσαντες τοὺς Ἀργείους, τοὺς μετὰ Ἀδράστου στρατεύσαντας, δίκην ἔδοσαν ἱκανὴν τοῖς ἀπογόνοις αὐτῶν· ἄλλοι, ὅτι τὸ Σφιγγὸς αἴνιγμα συνεὶς Οἰδίπους καὶ νικήσας αὐτὴν, ἀγνοῶν ἔγημε τὴν ἑαυτοῦ μητέρα· εἶτα ἐξετύφλωσεν ἑαυτὸν, ὥστε μὴ λυσιτελῆσαι τὴν νίκην αὐτῷ· ἄλλοι δέ τινες, ὅτι τὰ ἐκ Φοινίκης γράμματα βουλόμενος διαδοθῆναι τοῖς Ἕλλησι Κάδμος, ἀνεῖλε Λίνον καὶ αὐτὸν ἴδια γράμματα ἐπιδεικνύμενον, ὃν ἀπεδίωξαν οἱ πολῖται. Διὰ τὸ μὴ λυσιτελῆσαι τοίνυν αὐτῷ τὴν νίκην, λέγεσθαι τὴν τοιαύτην παροιμίαν.*

46 *Κάθαμμα λύεις: παροιμία ἐπὶ τῶν δύσλυτόν*

---

1. C: *Ἑστίᾳ θύομεν: ἐπὶ τῶν μὴ διδόντων ἀφ' ὧν θύουσιν. Οἱ γὰρ παλαιοὶ, ὅτε τῇ Ἑστίᾳ ἔθυον, οὐδενὶ μετεδίδοσαν τῆς θυσίας. Ἰστίᾳ θύει* B V: ante Schottum *Ἴσια θύεις.* 3. *μηδενὶ*] *μηδὲν* H. 4. *καπηλίσιν* Meursius, v. Hemsterhus. Arist. Plut. 1139. Wichers in Theop. p. 283. Legebatur *καπήλοισιν: μέμνηται — καπηλίσιν* om. BV. 5. *περὶ ταύτης* H: reliqui *ἐπὶ ταύτης.* Reliquis contractis addunt B V: *ἄλλοι δὲ ἐπὶ τῶν νικώντων μὲν τοὺς πολεμίους, πλείονας δὲ τῶν οἰκείων ἀποβαλλόντων*, quae exstant apud Suidam. 7. *ἐπεὶ* seclusi.

Praecc. Conj. 140, F: *Ὁ ἐκείνων γάμος Ἰλιάδα κακῶν Ἕλλησι καὶ βαρβάροις ἐποίησεν.* Basilius Ep. ad Trajan. a Schotto allatus: *ἠξίωσι δὲ δι' ἡμῶν ὡς ἐν κεφαλαίῳ φανερὰν γενέσθαι σοι τὴν περιστῶσαν αὐτῷ τῶν κακῶν Ἰλιάδα.* Praeterea Heliod. Aeth. II, p. 82. Cor., Syrianus in Hermog. I, 572. Walz., Scholl. Aristid. III, 356. Dindorf., Eustath. Il. 1175, 61. Boisson. Ann. I, 251. 272.

44. B. 509. C. 213. Plut. 46. Diog. IV, 68. Eustath. Odyss. 1579,43: *Παροιμία τὸ ἑστίᾳ θύομεν, ἐφ' ὧν οὐκ ἔστι φασὶ μεταδοῦναι οὐδὲ ἐξενεγκεῖν. ἵνα εἴη τὸ ἑστίᾳ θύομεν ταυτὸν τῷ οὐδενὶ μεταδιδόαμεν τῶν τῆς ἑορτῆς.* Vide Spanhem. Callim. Hymn. in Del. 325. Hemsterhusium ad Arist. Plut. 435. Cfr. ad Diog. II, 40.

45. B. 517. C. 279. Diog. V, 34. cll. I, 54. Apost. X, 79. Arsen. 315. Macar. Suid. Hesych. Photius. Utuntur Herod. I, 166. Plat. Legg. I, 641, C., Plut. Morall. II, 10, A., 488, A., Pausan. IX, 9. Aristid. Encom. Rom. 209., *ὑπὲρ τῶν τεττ.* 141., ubi v. Scholl. III, 497. Dindorf., 188. Frommel. et quae collegerunt Intpp. Suidae. Adde Welcker. Allg. Schulztg. II, 1836. p. 30.

46. B. 530. Diog. V, 43. Suid. Hesych. Similia apposuit Boeck-

τι λύειν ἐπιχειρούντων. Λόγιον γὰρ τοῖς Φρυξὶν ἐκπεπτώκει περὶ τῆς κομισάσης τὸν Μίδαν ἁμάξης, εἴ τις ἐπιλύσειε τὸν δεσμόν, τοῦτον τῆς Ἀσίας ἄρξειν. Ἀλέξανδρος δὲ ἔλυσεν.

47 Κάμπιος δρόμος: δρόμοι τινὲς ἦσαν κάμπιοι, οὐκ εὐθεῖς καὶ ἁπλοῖ, ἀλλὰ καμπὰς ἔχοντες.

48 Καρπάθιος τὸν λαγώ: παροιμία, »Καρπάθιος τὸν λαγώ.« Διὰ γὰρ τὸ μὴ εἶναι λαγὼς ἐν τῇ χώρᾳ, ἐπηγάγοντο αὐτοί· καὶ τοσοῦτοι ἐγένοντο, ὥστε τὸν σῖτον καὶ τὰς ἀμπέλους αὐτῶν ὑπ' αὐτῶν βλαβῆναι. Ὁ γοῦν Ἀρχίλοχος ταύτην τὴν παροιμίαν ἔφη.

49 Κερκυραία μάστιξ: περιττήν τινα κατασκευὴν εἶχον αἱ Κερκυραῖαι μάστιγες, διὸ καὶ εἰς παροιμίαν παρῆλθον. Οἱ δὲ καὶ διπλᾶς αὐτὰς ἔφασαν εἶναι, εἶχον δὲ καὶ ἐλεφαντίνας κώπας καὶ τῷ μεγέθει περιτταὶ ἦσαν. Ὑπερηφάνους γὰρ εὐπραγοῦντας τοὺς Κερκυραίους φησὶν Ἀριστοτέλης γενέσθαι.

---

1. ἐκπεπτώκει Gaisf. ex Suida: vulgo ἐπεπτώκει. 5. B ὁ μὴ εὐθὺς, ἀλλὰ καμπὰς ἔχων. 7. τὸν λαγὼν bis P H: λαγῶν F: λαγωὸν B. 9. τοσοῦτον P. 12. Κερκυρία F. 15. περιτταὶ Hesychius et sic Coraës Lycurg. p. 91. Libri περιττῶς.

hius apud Wex. Syllog. Soph. Antig. 40, p. 83. Confer Plutarch. Alex. XVIII. et quae habet Bernhardy ad Suid.

47. B. 531. Scholl. Arist. Pac. 904. Suid. Hesych. Photius.

48. B. 701. 730. Hesych. Apost. XIV, 32. Arsen. 380. Macar. 317. ἐπὶ τῶν ἐφ' ἑαυτοῖς ἐφελκομένων τὰ κακά. Sub finem accuratius Hesychius: ὁ γοῦν Ἀρχίλοχος παρὰ ταύτην τὴν παροιμίαν ἔφη Καρπάθιος τὸν μάρτυρα, v. Liebel. fr. CXXIII. Aristot. Rhet. III, 11, 14. Pollux V, 12. Suid. v. Ὁ Καρπ. τὸν λ.

49. B. 536. Diog. V, 50. Hesych. 235. 320. Plut. 12. Photius. Scholia Arist. Avv. 1463. Λέγεται τις Κερκυραία μάστιξ. συνεχῶς δὲ Κερκυραίοις ἀταξίαι γίνονται. διὰ τὸ στασιάζειν οὖν ἐπεπόλασε παρ' αὐτοῖς ἡ μάστιξ, ὥστε διπλαῖς χρῆσθαι μεγάλαις καὶ ἐλεφαντοκώποις. Ἄλλως. Λέγεταί τις Κερκυραία μάστιξ. Φρύνιχος Σατύροις· Κερκυραῖαι δὲ οὐδὲν ἐπιβάλλουσι μάστιγες· ὥστε καὶ εἰς παροιμίαν ἤδη ἐλθεῖν. Ἀριστοφάνης (Ἀριστοτέλης Coraës ad Lycurg. in Leocrat. p. 91.) δὲ τὸ Κ. μ. λέγων φησὶν οὕτως· »Ἐλεφαντίνας ἐποιήσαντο καὶ τῷ μεγέθει περιττάς. ὅθεν ἡ Κερκυραία ἐπεπόλασε μάστιξ καὶ εἰς παροιμίαν ἦλθε.« Facile crediderim B addenti: δοκεῖ δὲ αὕτη χαλεπωτάτη εἶναι κατὰ τῶν παιδευομένων. Teste Plutarcho Vitt. Dec. Oratt. 842, D. usurpavit Lycurgus, cujus haec sunt: Ὦ Κερκυραία μάστιξ, ὡς πολλῶν ταλάντων ἀξία εἶ, v. Pinzger. Lyc. in Leocr. p. 22. G. C. A. Mueller. de Corcyr. Rep. p. 21. Adde Strabon. VII, 478. (507.) ibique Casaubonum.

50 *Κερκωπίζειν: ἡ παροιμία ἀπὸ τῶν προσαινόντων τῇ κέρκῳ ζώων μετενήνεκται. Ἄμεινον δὲ ἀπὸ τῶν Κερκώπων, οὓς περὶ τὴν Λυδίαν ἱστοροῦσιν ἀπατηλοὺς σφόδρα καὶ ἀηδεῖς γενέσθαι· παρ' ὃ καὶ ἀπολιθωθῆναι αὐτούς· καὶ Ἡρακλεῖ δὲ ἐνοχλήσαντας, ὅτε παρ' Ὀμφάλῃ ἦν, κολασθῆναι [καὶ εἰς πιθήκους δὲ αὐτοὺς μεταβάλλειν ὁ Ξεναγόρας φησίν.]*

51 *Κέσκον οἰκεῖς: πόλις Παμφυλίας ἀνοήτων. Ὅθεν καὶ παροιμία γέγονε, Κέσκον οὐκ ἔχουσα, ἐπὶ τῶν νοῦν μὴ ἐχόντων.*

52 *Κεστρεὺς νηστεύει: παροιμία ἐπὶ τῶν πάνυ λαιμάργων. Τοιοῦτον γάρ ἐστιν ἄπληστον ὁ κεστρεύς, ὡς ἐκ τούτου τοὺς κεχηνότας καὶ πίνοντας κεστρεῖς ἔλεγον, ὡς λαιμάργους. Ἄλλοι δὲ φασὶ τὴν παροιμίαν ἐπὶ τῶν δικαιοπραγούντων μέν, οὐδὲν δὲ πλέον ἐκ τῆς δικαιοσύνης ἀποφερομένων. Ὁ γὰρ κεστρεὺς τῶν ἄλλων ἰχθύων ἀλληλοφαγούντων μόνος ἀπέχεται τῆς σαρκοφαγίας· νέμεται δὲ τὴν ἰλὺν ταλαιπωρῶν, ὡς φησιν Ἀριστοτέλης περὶ ζώων.*

---

1. προσαινόντων **B.** 2. τῇ κέρκῳ **Gaisf. ex B:** vulgo τὴν κέρκον. 5. ἐν Ὀμφάλῃ **B.** 6. καὶ εἰς πιθήκους — φησὶν **addidi ex B V:** v. Scholl. Lucian. Alex. 4. 9. Κέσκον οὐκ ἔχουσα] **Vulgo** πόλις Κέσκος νοῦν οὐκ ἔχουσα. **Corrigendum monuit Gaisf. ex B. Nisi quod praeterea scribendum videtur** Κέσκον οὐκ ἔχεις. **B. 538:** Κέσκος πόλις Παμφυλίας ἀνοήτων· ἀφ' οὗ παροιμία· Πόλις Κέσκον οὐκ ἔχουσα. **C. 143:** Εἰς Κέσκον· λείπει τὸ ἄ π ι θ ι. λέγεται δὲ ἐπὶ τῶν μὴ φρονούντων. Κέσκος γὰρ πόλις ἐστὶ τῆς Πισιδίας, ὡς δὲ ἔνιοι Κιλικίας, παρ' ἣν ῥεῖ ποταμὸς ὄνομα Νοῦς. 11. Κιστρεὺς νηστεύσεις **C.** 16. ἀποφερομένων **Gaisf. ex P:** vulgo ὑποφερομένων.

50. B. 537. Diog. V, 51. Apost. XI, 24. Arsen. 318. Suidas. Vide ad Zenob. I, 5. notata, cll. Lobeck. Agl. 1307.

51. Suid. s. v. Κέσκος οὐκ ἦν. **Photius:** Κέσκος· ἦν πόλις ἐν Κιλικίᾳ καὶ παρ' αὐτὴν ποταμὸς Νοῦς ὄνομα· δι' ὅπερ οἱ κωμικοὶ παίζοντες τοὺς νοῦν οὐκ ἔχοντας Κέσκον φασὶν οὐκ ἔχειν. **Cfr. Diog. V, 52. Hesych. Eustath. Odyss. 1392, 19.** Παυσανίας φησὶν ὅτι Κέσκος λιμήν που· ᾧ παράκειται ποταμὸς Νοῦς καλούμενος.

52. B. 539. C. 292. Diog. V, 53. Plut. 8. Apost. XI, 36. Arsen. 319. Photius. Aristotelis locus est Hist. Ann. VIII, 4, 2. Adde Ath. VII, 307, C: Ἡ λεγομένη παροιμία Κεστρεὺς νηστεύει ἐπὶ τῶν δικαιοπραγούντων ἀκούεται, ἐπειδὴ οὐ σαρκοφαγεῖ ὁ κεστρεύς. Ἀναξίλας ἐν Μονοτρόπῳ Μάτωνα τὸν σοφιστὴν ἐπὶ γαστριμαργίᾳ διαβάλλων φησί· Τοῦ κεστρέως κατιδήδοκεν τὸ κρανίον Ἀναρπάσας Μάτων· ἐγὼ δ' ἀπόλλυμαι **et rell. Eustath. Il. 1178, 1. Liban. Ep. 335.**

53 *Κιλίκιος ὄλεθρος: ὁ πονηρός· πονηροὶ γὰρ οἱ Κίλικες· ἢ ὅτι λῃστείαις χρώμενοι ἐπ' ὠμότητι διεβέβληντο. Καὶ οἱ Ἀττικοὶ δὲ τὰς πικρὰς τιμωρίας Κιλικίους καλοῦσιν.*

51 *Καλλικυρίων πλείους: οὕτως ἐν Συρακούσαις ἐκλήθησαν οἱ ἐπειςελθόντες γεωμόροις Καλλικύριοι. Ἔνθεν παροιμιωδῶς ἔλεγον, εἴ ποτε πλῆθος ἤθελον ἐμφῆναι, ὅτι πλείους ἦσαν τῶν Καλλικυρίων. Λοῦλοι δὲ ἦσαν οὗτοι, καὶ τοὺς κυρίους ἐξέβαλον. Ἡ δὲ αἰτία τῆς κλήσεως αὐτῶν, διὰ τὸ παντοδαποὺς εἰς ταὐτὸ συνελθεῖν, ὥστε τοῖς κυρίοις ἐγκεῖσθαι.*

55 *Κίνδυνος ἡ ἐν πρώρᾳ σελίς: παροιμιακόν. Οἱ γὰρ πολέμιοι τὴν πρώραν εὐθέως ἐφάλλοντες κατέχουσι. Σελὶς δὲ ἡ καθέδρα.*

56 *Κόραξ ὑδρεύει: παροιμία ἐπὶ τῶν δυσχερῶς τινὸς τυγχανόντων.*

57 *Καὶ κόρκορος ἐν λαχάνοις: κόρκορον Πελοποννήσιοι φασὶν εἶναι λάχανόν τι τῶν εὐτελῶν ἄγριον· διὸ καὶ ἡ παροιμία.*

---

1. ὁ πονηρὸς — ἢ ὅτι accessere ex BV: vulgo: οἱ Κίλικες λῃστείαις κτλ. 3. οἱ Ἀττικοί] οἱ Ἀθηναῖοι B. 5. πλείους Bodl. 6. ἐπειςελθόντες Hesychius: vulgo ὑπειςελθ. γεωμόροις Valckenar. Herod. VII, 155. Malim τοῖς γεωμ. Libri cum Hesych. γεωμόροι. B: Γεωμόρων πλῆθος ἐν Συρακούσαις οἱ Καλλικύριοι. 10. εἰς ταὐτό dedi ex Suida: vulgo εἰς τοῦτο. 11. τοῖς κυρίοις Valckenarius: libri τοὺς κυρίους. 13. ἐφάλλοντες] ἐμβάντες εἰς τὰ πλοῖα BV. Valckenarius ἐφαλλόμενοι: Hesychius ἐφάλλονται. Sunt ab Epitomatore nostro pessime conflatae scripturae duae: ἐφάλλονται ἐπὶ τὴν πρώραν καὶ κατέχουσι et: ἐμβάντες κατέχουσι. 15. ὑδρεύει BV Suidas: vulgo cum Hesychio ὑδρεύσει. 18. ἄγριον addidi e BV. Schottus ἐν λαχάνοισιν in gratiam versus.

53. B. 541. Hesych. 1070. II, 259. Vide Menag. in Diog. L. IX, 84.

54. B. 542. C. 286. Plut. 10. Suidas, ubi v. Intpp. et praeter Valckenar. Herod. VII, 155. Goeller. de Situ Syrac. 215., Welcker. Theogn. Prolegg. XIX.

55. B. 543. Diog. V, 55. Apost. XI, 43. Arsen. 320. Hesych., qui habet πρώραις et ἐφάλλονται.

56. B. 546. Suid. Hesych.

57. B. 548. Diog. V, 36. Suidas, qui addit: λέγεται δὲ ἐπὶ τῶν ἀναξίων ἡ παροιμία καὶ ταπεινῶν, μεταποιουμένων δὲ τιμῆς ἢ καθ' ἑαυτοὺς μείζονος. De κορκόρῳ vel κορχόρῳ v. Theophrast. Hist. Plantt. VII, 7. Scholl. Arist. Vespp. 239. Πρὸς τὸν Λυκόφρονα κόρκορον λέγοντα ἰχθύδιόν τι· ἠπάτηται δέ, ὡς φησιν Ἐρατοσθένης· ἔστι γὰρ λάχανόν τι ἄγριον καὶ εὐτελὲς ἐν Πελοποννήσῳ, ὡς καὶ ἡ παροιμία· Καὶ κόρκορος ἐν λαχάνοισι. Adde Scholl. Nic. Ther. 626.

58 *Κοροίβου ἠλιθιώτερος: εὐήθης καὶ μωρός. Ἐπὶ γὰρ τοῦ μωραίνοντος ἔταττον τὸν Κόροιβον ἀπό τινος Κοροίβου μωροῦ, ὃν οἴονται τὸν Μύγδονος εἶναι παῖδα τοῦ Φρυγὸς, κατὰ τὰ Τρωϊκὰ γενόμενον. Τινὲς δὲ τοῦτον ἀναίσθητον φασὶ γεγονέναι, ὡς καὶ τὰ κύματα τῆς θαλάσσης ἀριθμεῖν.*

59 *Κορυδέως εἰδεχθέστερος: οὗτος ὁ Κορυδεὺς ἐπὶ δυσμορφίᾳ ἐκωμῳδεῖτο, καὶ οἱ παῖδες αὐτοῦ, ὧν ἕνα τὸν Ἀρχέστρατον φασίν.*

60 *Κορώνη τὸν σκορπίον: παροιμία ἐπὶ τῶν δυσχερέσι καὶ βλαβεροῖς ἐπιχειρούντων· ἐλλειπτικὴ δέ ἐστι· λείπει γὰρ τὸ, ἥρπασε. Καὶ γὰρ ἁρπασθεὶς ὁ σκορπίος οὐκ ἔλαττον ἔδρασεν, ἐμβαλὼν τῷ κέντρῳ τὸν ἰόν, ἥπερ ἔπαθε.*

61 *Κουρήτων στόμα: ἐδόκουν γὰρ εἶναι οὗτοι μάντεις· οἷον, Θεσπιῳδὸν στόμα.*

62 *Κρητίζειν: ἐπὶ τοῦ ψεύδεσθαι καὶ ἀπατᾶν ἔταττον τὴν λέξιν, καὶ φασὶν ἀπὸ τοῦ Ἰδομενέως τοῦ Κρητὸς τὴν παροιμίαν διαδοθῆναι. Λέγεται γὰρ διαφορᾶς ποτὲ γενομένης τοῖς ἐν Τροίᾳ Ἕλλησιν περὶ τοῦ μείζονος, καὶ*

---

1. *Κορύβαν* BV. 3. *Μύγδονος* Gaisf. ex Eurip. Rhes. 539. *Μύγδονος υἱόν φασι Κόροιβον.* Et sic Hesychius. 7. *Κορυδέως* BV: Bodl. A *Κορυδίος* cum Apost. et Ars. Moscov. Vulgo *Κορυθέως*: Diogen. *Κορύδον.* Paullo post *Κορυδεὺς* recte Hesychius. 8. *ὧν ἕνα τὸν Ἀ. φασὶν* dedi ex B: *ὧν ἕνα Ἀρχίστρατον εἶναι φασὶν* V. Reliqui *ἕνα δὲ τῶν ἀρχαιοτάτων εἶναι φασίν.* 11. BV *ἐγχειρούντων.* 16. *οἱ δὲ θεσπιῳδῶν* BV. 19. *λέγεται* Gaisfordus, qui ex libro non accurate signato affert *λ*, i. e. *λέγουσι* vel *λέγεται.* Vulgo *λέγει.* 20. *περὶ τοῦ μείζονος*] *Mendi quid videtur subesse.* Gaisford.

58. B. 549. Diog. V, 56. cll. V, 12. Servius in Virg. Aen. II, 341. *Hic Choroebus filius Migdones et Anaximenae fuit. — Hunc autem Choroebum stultum inducit Euphorion* (v. Meinek. Euphor. p. 179.), *quem et Virgilius sequitur.* Usurpant Lucian. Amorr. 53. Hermotim. s. fin., Philops. 3., ubi v. Scholia, Aelian. V. H. XIII, 15: Eustath. Odyss. 1669, 46. similia comparat, v. Preller. Polemon. Frr. p. 151. et nos ad Ibyc. Rheg. Proll. 15 sq. Confer Zenob. IV, 21. Huschk. Anall. Critt. 189 sq. Vater. in Eur. Rhes. 539. Creuzer. Init. Philos. Plat. II, 85.

59. B. 550. Diog. V, 57. Apost. XI, 52. Arsen. 321. Hesych.

60. B. 551. Diog. I, 52. V, 59. Suid. Hesych., ubi v. Intpp. Confer Archiae Epigr. Anth. Pal. IX, 339.

61. B. 552. Diog. V, 60. cll. VII, 65. Suid. Hesych., ubi v. Intpp., Apost. XI, 54. Ars. 321.

62. B. 554. cll. 860. Diog. V, 58. Apost. XI, 59. Arsen. 322. Suidas. Macarius: *Κρητίζει ὁ*

πάντων προθυμουμένων τὸν συναχθέντα χαλκὸν ἐκ τῶν λαφύρων πρὸς ἑαυτοὺς ἀποφέρεσθαι, γενόμενον κριτὴν τὸν Ἰδομενέα, καὶ λαβόντα παρ' αὐτῶν τὰς ἐνδεχομένας πίστεις ἐφ' ᾧ κατακολουθῆσαι τοῖς κριθησομένοις, ἀντὶ πάντων τῶν ἀριστέων ἑαυτὸν προτάξαι. Διὸ λέγεσθαι τὸ Κρητίζειν.

63 Κριὸς τροφεῖ' ἀπέτισεν: ἡ παροιμία ἐπὶ τῶν ἀχαρίστων, ἐπεὶ τὰς φάτνας πλήττουσιν οἱ κριοί. Λέγεται γὰρ ὡς εἴρηται ἐπὶ τῶν ἀχαρίστων τοῖς εὖ προσδιατεθεῖσι, Κριὸς τὰ τροφεῖα. Καὶ γὰρ τοὺς κριοὺς ἐκτραφέντας τύπτειν τοὺς θρέψαντας καὶ ἔτι τρέφοντας. Μέμνηται αὐτῆς Μένανδρος.

64 Κίσσαμις Κῷος: οὗτος ἦν πολυθρέμματος· τούτῳ φασὶν ἔγχελυν ἐπιφαινομένην κατ' ἔτος τὸ κάλλιστον τῶν προβάτων ἁρπάζειν, καὶ τὸν Κίσσαμιν ἀνελεῖν αὐτήν· φαινομένην δὲ αὐτῷ κατ' ὄναρ, κελεῦσαι καταθάψαι αὐτήν· τὸν δὲ μὴ φροντίσαντα, παγγενεὶ ἀπολέσθαι.

65 Κανθάρου σοφώτερος: ἡ παροιμία εἴρηται ἐπὶ τῶν πονηρῶν καὶ κακούργων· ἐπειδή τις Ἀθήνησι κάπηλος Κάνθαρος καλούμενος, ἐπὶ πονηρίᾳ καὶ προδοσίᾳ θανάτου ἐζημιώθη· [οἱ δὲ κάπηλον ὄντα φασὶν ἀπερισκέπτως ἐπιθέσθαι τυραννίδι καὶ ἀπολέσθαι. Οἱ δὲ παρὰ

---

3. καὶ λαβόντα PH: vulgo deest καί. 7. τροφιῖ' B: legebatur τροφεῖα. 13. Κρίσσαμις Hesych. Photius: Κρίσαμις Suidas Bernhardyi. 16. ὄναρ om. κατ' Hesych. Phot. Suid. 17. παγγενεί Photius. 21. εἰς θάνατον ἐδικάσθη V: θάνατον κατεδικάσθη B. Verba οἱ δὲ κάπηλον ὄντα — αὐτοῦ τὰ ὠά ex C accedere jussi.

κριτής· ἐπὶ τῶν ἐν τῷ κρίνειν ψευδομένων. Adde Suid. s. v. Πρὸς Κρῆτα κρητίζων. Plurima Meurs. Cret. 143. Notus Epimenidis qui fertur versiculus: Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί. Vide Callim. in Iov. 8. ibique Scholl. et Intpp., Plutarch. Aem. Paull. 26. Ὁ δὲ κρητισμῷ χρησάμενος τὰ μὲν χρήματα νύκτωρ ἀνέλαβε κτλ. Idem Lysandr. 20. Πρὸς Κρῆτα δ' ἄρα, τὸ τοῦ λόγου, κρητίζων ἠγνόει τὸν Φαρνάβαζον. Cfr. Hoeck. Cret. III, 458. Boissonad. ad Psell. 221.

63. B 556. Diog V, 62. cll. III, 32. Apost. XI, 60. Arsen. 323. Macar. Suid. Hesych. Photius. Libanius de Vit. Sua I, 14, B. Ἀνθρώπιον ἐκ Κυζίκου μιαρόν τε καὶ ἀχάριστον, κριοῦ δὲ τροφεῖα, κατὰ τὴν παροιμίαν, ἀποτίνον. Idem Epist. 716. τὸ τῶν πελαργῶν μᾶλλον ἢ τὸ τῶν κριῶν ἐπαινοῦντες. Similiter dicebatur κριοῦ διακονία, v. Suid. et Photium. Usurparunt Eupolis Δήμοις p. 52. Raspe et Menander apud Meinek. 280. fr. CCCXXXIII.

64 Hesych. Phot. Suidas, ubi v. Intpp.

65. B. 520. C. 288. Diog. V, 40. Arsen. 316. Macar. Suidas. Cfr. Menandr. fr. p. 83. Meinek.

τὸ ζῶον, παρόσον κάνθαρος ἐγκυλίων ἑαυτὸν τῇ κόπρῳ καὶ ἐπὶ τὴν καλιὰν ἀνερχόμενος τοῦ ἀετοῦ ἐκκυλίει αὐτοῦ τὰ ᾠά.]

66 Κωφότερος κίχλης: ταύτης Εὔβουλος ἐν Διονυσίῳ μέμνηται. Φασὶ γὰρ κωφεύειν τὸ ζῶον.

67 Κέρδος αἰσχύνης ἄμεινον· ἔλκε μοιχὸν εἰς μυχόν: ταύτης μέμνηται Καλλίας ἐν Ἀταλάντῃ.

68 Κωφότερος τοῦ Τορωναίου λιμένος: λιμήν ἐστι περὶ Τορώνην τῆς Θράκης· στενὰς δὲ ἔχει καὶ μακρὰς τὰς ἀπὸ τοῦ πελάγους καταρσεις, ὡς μὴ ἀκούεσθαι τοῖς ἐν αὐτῷ τὸν τῆς θαλάττης ἦχον.

69 Κρωβύλου ζεῦγος: παροιμία ἐπὶ τοῖς ὑπερβαλλούσῃ πονηρίᾳ κεχρημένοις ταττομένη. Μετενήνεκται δὲ ἀπὸ πορνοβοσκοῦ τινὸς Κρωβύλου, ἑταίρας κτησαμένου δύο, ὡς μὴ μόνον ἐπὶ ταύταις πολλοὺς τῶν νέων λυμαίνεσθαι, ἀλλὰ καὶ ἐξ ὧν ἔκλεπτεν [ἐλυμαίνετο]. Τοὺς οὖν ἴσους τῇ ἐκείνου πονηρίᾳ ὡς δύνασθαι .συζευχθῆναι

---

4. *Διονυσίῳ* scripsi: edebatur *Διονύσῳ*. Vide Meinek. Quaestt. Scenn. III, 20. 6. *εἰς μυχὸν* Plutarchus: *ἐς μυχὸν* Provv. Metr. 1217. Vide Meinek. Quaestt. Scenn. II, 49. 7. *Ἀταλάντῃ* Canterus: *Ἀταλιτῇ* H: rell. *Ἀταλιστῇ*. 8. *κωφότερος* H B: rell. *κωφότερον*. *Τορωνίων* B et codex Pierson. Moer. 479.: *Τορωναίων* Diog.: *Τορωνίος* Photius. 9. *περὶ Τορώνην* P H: *παρὰ Τορώνην* V A: *ἐπὶ Τορώνῃ* vulgo. *καὶ μακρὰς* dedi ex V B: vulgo *δύο μακράς*. 10. *κατάρσεις* B V: Plutarchus *καθαιρέσεις*: vulgo *καταῤῥεύσεις*. Vide Bernhardy ad Suidam. 11. *τοῖς ἐν αὐτῷ* Gaisfordus: vulgo *τοὺς ἐν αὐτῷ*: B *ἐν αὐτοῖς*. Totum locum sic refingit Hemsterhusius in Lucian. I, 167: *ταινίας δὲ ἔχει δύο μακρὰς τὰς ἀπὸ τοῦ πελάγους καταιρούσας* vel *καθηκούσας* vel potius *κατατεινούσας*. De voce *κατάρσεις* Gaisfordus adire jubet Wyttenbach. ad Plut. Morall. II, 162, A: Bernhardy affert Thuc. IV, 26. *θαλάσσης* B. 12. *Κρωβύλου* B cum Phot. Hesych.: V *Κροβύλλου*: vulgo *Κροβύλου*, v. Boissonad. Aristaen. p. 441. *ὑπερβαλλούσῃ* B V: vulgo *ὑπερβαλούσῃ*. 16. *ἐλυμαίνετο* spurium videtur.

66. B. 524. Apost. XI, 69. Arsen. 324. Suidas. Macarius habet *κωφότερος καὶ ἀφωνότερος κίχλης*. Photius: *παρ' Εὐβούλῳ ἐν Διονυσίῳ λέγεται ἀφωνότερος κίχλης*, v. Bernhardy ad Suid.

67. Diog. V, 42. Plut. 89. Sophocleum illud *Τὸ κέρδος ἡδὺ κἂν ἀπὸ ψευδῶν ᾖ* ex Plut. Morall. II, 21, A. (fr. inc. LVIII, 3.) comparat Schottus. Confer Electr. 61. Illa *ἕλκε μοιχὸν ἐς μυχὸν* eo spectant, ut adulterum non impune dimittendum, sed donec pecunia poenam redemerit, in custodia tenendum admoneant.

68. B. 526. Diog. V, 43. Plut. 91. Suid. Photius.

69. B. 560. Diog. I, 3. V, 65. Hesych. Phot. Suidas, qui habet *Κροβύζου ζ*. Usurpat Liban. Ep. 89.

αὐτῷ Κρωβύλου ζεῦγος ἔλεγον. Ἢ διὰ τὸ εἶναι δύο τὰς ἑταίρας.

70 Κύδος: λοιδορία, κακολογία. Καὶ Κυδάζειν τὸ λοιδορεῖν καὶ κακολογεῖν. Ἡ δὲ πρώτη συλλαβὴ βραχέως ἐκφέρεται. Καὶ ὅταν λοιδορίαν ἐκτίσῃ τὶς ἐπὶ μηδενὶ ἀξίῳ συκοφαντουμένοις, παροιμιωδῶς λέγεται Κύδους ἐκτετικέναι.

71 Κυζικηνοὶ στατῆρες: διεβεβόηντο οὗτοι ὡς εὖ κεχαραγμένοι. Πρόσωπον δὲ ἦν γυναικεῖον ὁ τύπος Μητρὸς θεῶν· ἐπὶ δὲ θατέρου, προτομὴ λέοντος.

72 Κυθωνύμου αἶσχος: αἰσχρὸν κλέος ἔχοντος· ἢ οὗ ἄν τις ἐπικρύψειε τὸ ὄνομα διὰ τὰς συμφορὰς καὶ τὰς πράξεις, ἢ δυσωνύμου, ἢ περιβοητοῦ περὶ τὰς πράξεις, ἢ ἀξίου κεκρύφθαι.

73 Κύων ἐπὶ δεσμά: παροιμία ἐπὶ τῶν ἑαυτοὺς εἰς κολάσεις ἐπιδιδόντων· καὶ, Βοῦς ἐπὶ δεσμά.

74 Κῷος Χίῳ: ὁ Κῷος ἀστράγαλος ἡδύνατο ἕξ. Παροιμία δέ ἐστι Χῖος πρὸς Κῷον. Ὁ μὲν γὰρ Χῖος ἡδύνατο ἓν, ὁ δὲ Κῷος ἕξ.

75 Κωρυκαῖος ἠκροάζετο: ταύτης Μένανδρος μέμνηται ἐν τῷ Ἐγχειριδίῳ. Πειραταὶ γὰρ περὶ Κώρυκον τῆς Παμφυλίας ἦσαν, καί τινες τῶν ἐκ Κωρύκου συμ-

---

1. ζεῦγος P: rell. ζυγός. 3. De v. κύδος v. Scholl. Arist. Nubb. 616. Bernhardy ad Suid. s. v. 5. ἐπὶ μηδενὶ ἀξίῳ συκοφαντούμενος B. Ascivi ἀξίῳ: vulgo ἀξίως. 11. αἰσχρὸν scripsi: libri αἶσχιον, quod profectum ab iis, qui ἤ non disjunctivum, sed comparativum opinarentur. Peccatum eodem modo apud Suidam. 12. ἐπικρύψειε Hesych. Suidas: legebatur ἐπικρύψῃ. 16. ἐπιδιδόντων HVB: vulgo ἐπιδόντων. 18. Χίος B. 22. Παμφυλίας] »Immo Κιλικίας: vide Wesseling. in Hierocl. Synecd. p. 679.« Bernhardy ad Suid. s. v.

70. B. 561. Phot. et Suidas: Κύδου δίκην ὀφείλειν· ἐπὶ τῶν συκοφαντησάντων.

71. B. 562. Diog. V, 66. Hesych. Phot. Suid. Praeter Intpp. Hesych. v. Marquardt. Cyzic. p. 160.

72. Hesych. et Suidas, apud quem est: Κυθωνύμου κλέος ἢ αἶσχος. Proverbium factus est Oedipus, quem κυθώνυμον vocaverat Antimachus. Exposui Exx. Critt. V, 28. de variis explicationibus, quas veteres nomini κυθωνύμου adhibuerunt.

73. B. 564. Diog. V, 68. Suid. Hesychius.

74. B. 566. (ubi infra recurrit Χῖος παραστὰς οὐκ ἐᾷ Κῷον λέγειν.) Diog. V, 70. Hesych. Suidas, ubi v. Bernhardy. Adde Welcker. Mus. Rhen. Nov. I, 568.

75. B. 564. ubi nonnisi lemma superest, Suid. Phot. Hesychius.

πράττοντες αὐτοῖς περιειργάζοντο τῶν πλεόντων τὰ φορτία καὶ τὸν καιρὸν καθ' ὃν μέλλοιεν πλεῖν, καὶ τοῖς πειραταῖς ἐμήνυον. Τοῦτο μαθόντες οἱ ἔμποροι, ἔκρυπτον τὰ πολλά. Ἐπεὶ δὲ καὶ οὕτω τοῖς πειραταῖς ἐγεγόνει, ἐκράτησεν ἡ παροιμία ἐπὶ τῶν δοκούντων μὲν λάθρα πράττεσθαι, εἰς γνῶσιν δὲ ἐρχομένων.

76 Καὶ σφάκελοι ποιοῦσιν ἀτέλειαν: Πεισίστρατος, ὡς φασιν, ὁ τύραννος δεκάτην τῶν γεωργουμένων ἀπῄτει τοὺς Ἀθηναίους. Παριὼν δέ ποτε, καὶ ἰδὼν πρεσβύτην πέτρας ἐργαζόμενον καὶ τόπους λιθώδεις, ἤρετο τὸν πρεσβύτην, τίνας ἐκ τῶν τόπων κομίζοιτο τοὺς καρπούς· ὁ δὲ ἀπεκρίνατο, Ὀδύνας καὶ σφακέλους, καὶ τούτων δεκάτην Πεισίστρατος φέρει. Θαυμάσας δὲ ὁ Πεισίστρατος τὴν παῤῥησίαν αὐτοῦ τῆς δεκάτης ἀτέλειαν ἔδωκε. Καὶ ἐκ τούτου οἱ Ἀθηναῖοι τῇ παροιμίᾳ ἐχρήσαντο.

77 Κύρβεις κακῶν: Κύρβεις καλοῦνται παρὰ τοῖς Ἀθηναίοις σανίδες τρίγωνοι, ἐν αἷς τοὺς νόμους ἀνέγραφον, καὶ τὰς κατὰ τῶν ἀδικούντων τιμωρίας. Ἐπὶ τοίνυν τῶν σπόδρα πονηρευομένων ἡ παροιμία εἴρηται.

78 Κλαίει ὁ νικήσας, ὁ δὲ νικηθεὶς ἀπόλωλεν: αὕτη παρῆλθεν ἐκ χρησμοῦ Σιβύλλης τῆς Ἐρυθραϊκῆς.

---

4. *ἐγεγόνει*] »Excidisse quid videtur. Fortasse *χαιρεκάκῳ*.« Gaisfordus. 7. *σφάκελλοι* B, qui et infra *σφακέλλους*. *ποιοῦσ' ἀτέλειαν* Bernhardy ad Suidam in gratiam versus. 13. *Πεισιστράτῳ φέρει* V B: Diodorus *τούτων γὰρ τὸ μέρος Πεισιστράτῳ διδόναι*: Procopius *καὶ τούτων τὴν δεκάτην δεῖ γενέσθαι τῷ Πεισιστράτῳ*. 15. *καὶ ἐκ τούτου* P H B: rell. *ἐκ τούτου*. *τὴν παροιμίαν* P H. 16. *κύρβεις* ex B addidit Gaisfordus, in quo tamen deest *καλοῦνται*.

Pleniora Menandrea afferunt reliqui: Photius *τοῦ δ' ἆρα Κωρ. ἠκροάζετο*, Suidas *Τοῦ δ' ἆρ' ὁ Κ.* et rursus *οὐδ' ἆρ' ὁ Κ. ἠκροάζετο*, ubi *ἠκροάσατο* corrigit Bernhardy in Eustath. Dionys. p. 950., quod ipsum exstat apud Steph. Byz. s. v. Confer Meinek. Menandr. p. 56. Marx. Ephor. p. 138. Strabo XIV, 923. (954) Eustath. Odyss. 1534, 51. *Ἐκ τῆς Κωρύκου παροιμία τὸ· Τοῦ δ' ἆρ' ὁ κωρύκιος ἠκροάζετο, περὶ ἧς ἐν τοῖς τοῦ περιηγητοῦ δεδήλωται*, Dionys. Perieg. 855.

76. B. 568. Hesych. Suid. s. v. *Καὶ σφάκελοι π. ἀτ.* et s. v. *σφακελισμός*. De narratione v. Diodori Excc. Vatt. p. 30. Dindorf., qui affert Procopium in Villois. Ann. II, 40.

77. B. 570. Diog. V, 72. Suidas, ubi v. Intpp. et ad Arist. Nubb. 447.

78. B. 586. Diog. V, 75. Schottus: »Aliud item Apollinis Pythii oraculum huic non dissimile commemorat Gemist. Pletho extr. lib. II. *Παραλειπομένων: Τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμην αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι· κλαίει ὁ νικηθείς· ὁ δὲ νικήσας ἀπόλωλεν.*«

Περὶ γὰρ Φιλίππου μαντευομένη μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην τὸ ἔπος εἶπεν. Ἐπειδὴ οἱ μὲν Ἀθηναῖοι καὶ οἱ Θηβαῖοι ἡττηθέντες ἀπώλοντο, Φίλιππος δὲ νικήσας μετὰ τὴν μάχην εὐθὺς ὑπὸ Παυσανίου διεφθάρη.

79 *Κοινὰ τὰ φίλων: Τίμαιος φησὶν ὅτι προσιόντας Πυθαγόρᾳ μαθητὰς περὶ τὴν Ἰταλίαν ἔπειθεν ὁ φιλόσοφος κοινὰς τὰς οὐσίας ποιεῖσθαι. Ὅθεν εἰς παροιμίαν ἡ συμβουλὴ τοῦ Πυθαγόρα ἦλθεν.*

80 *Κέλμις ἐν σιδήρῳ: αὕτη τάττεται ἐπὶ τῶν σφόδρα ἑαυτοῖς πιστευσάντων, ὅτι ἰσχυροὶ καὶ δυσχείρωτοι πεφύκασι. Κέλμις γὰρ εἷς τῶν Ἰδαίων Δακτύλων τὴν μητέρα Ῥέαν ὑβρίσας, καὶ μὴ ὑποδεξάμενος * * * ὑπὸ τῶν ἀδελφῶν εὐμενῶς ἐν τῇ Ἴδῃ, ἀφ' οὗ ὁ στιβαρώτατος ἐγένετο σίδηρος. Μέμνηται τῆς ἱστορίας Σοφοκλῆς ἐν Σατύροις.*

81 *Κάκιον Βάβυς αὐλεῖ: τάττουσι ταύτην ἐπὶ τῶν κατὰ τὸ χεῖρον ἀσκούντων. Φασὶ δὲ ὅτι ὁ Βάβυς ἀδελφὸς ἦν Μαρσύου, ὃν Ἀπόλλων ὑπερτενῆ κρεμάσας ἐκ πίτυος ἐξέδειρεν, ἐρίσαντα αὐτῷ περὶ μουσικῆς. Βουλό-*

---

4. Bodl. A *ὑπὸ τῶν παυσανίδων*: B *παυσανίων*. Volebantne *ὑπὸ τῶν περὶ τὸν Παυσανίαν?* 9. *Κέλμης* B. 10. *ὡς ἰσχυρῶν καὶ δυσχειρώτων πεφυκότων* B. 11. *εἷς τῶν Ἰδ. δ.* Schottus: antea *εἷς τῶν Ἰουδαίων δακτύλων*. Recte B V, qui tamen *ἰδίων* exhibebant. 12. *καὶ μὴ ὑποδεξαμένου εὐμενῶς ὑπὸ τῶν ἀδελφῶν τῶν* (om. V) *ἐν τῇ Ἴδῃ. Μέμνηται τῆς ἱστορίας Σοφοκλῆς.* B V. 13. *δελφῶν* pro *ἀδελφῶν* H F Brubach. *εὐμενῶς* P H F: *εὐμερῶς* vulgo. Illud certum puto, scribi debere *καὶ μὴ ὑποδεξάμενος εὐμενῶς ἐν τῇ Ἴδῃ.* Reliqua lacunis depravata. Apposui signa. 16. B: *Βάβυος* (*Βάκυος* cod. B) *χορός: ἐπὶ τῶν ἀφυεστέρων τῇ μουσικῇ χρωμένων. Μαιάνδρῳ γὰρ τῷ ποταμῷ δύο ἐγένοντο παῖδες· ὧν ὁ Μαρσύας μὲν δυσὶ καλάμοις κατὰ τὸν*

79. B. 573. C. 2[illegible]3. Diog. V, 76. Apost. XI, 40. Arsen. 320. Macar. Phot. Suid. Scholl. Plat. 319. Vide vel Heindorf. in Plat. Phaedr. s. fin. et Intpp. Cic. Legg. I, 12. Timaeum tangit Diog. Laert. VIII, 10., v. Goeller. de Situ Syrac. 218.

80. B. 575. Plut. 11., qui habet nonnihil haec: *Κέλμις γάρ τις ἐν Ἴδῃ στιβαρώτατον σίδηρον ἐργαζόμενος.* Sophoclis locus est fr. 335. Dirad ex *Κωφοῖς* (excidit titulus apud Zenob., v. Hermann. Opusce. I, 46.) *Σατύροις*: Scholl. Ap. Rh. I, 1129: *Σοφοκλῆς αὐτοὺς Φρύγας καλεῖ ἐν Κωφοῖς Σατύροις.* Ceterum in iisdem Scholiis sic exstat: *Οἱ δέ φασιν, ὅτι Ἰδαῖοι Δάκτυλοι ἐκλήθησαν, ὅτι ἐντὸς Ἴδης ἐντυχόντες τῇ Ῥέᾳ ἐδεξιώσαντο τὴν θεὸν καὶ τῶν δακτύλων αὐτῆς ἥψαντο.* Vide Lobeck. Agl. 1156. 1160.

81. B. 245. Plut. 26. Ath. XIV, 621, B. ex Theophrasti libro *περὶ ἐνθουσιασμοῦ*, ut videtur: *τὴν Φρυγιστὶ ἁρμονίαν Φρύγες πρῶτοι εὗρον καὶ μετεχειρίσαντο· διὸ καὶ τοὺς παρὰ τοῖς Ἕλλησιν αὐλη-*

μενος δὲ καὶ τὸν Βάβυν ἀνελεῖν, Ἀθηνᾶς ὑποθεμένης, ὡς ἀφυῶς τῷ αὐλῷ χρᾶται, ἀφῆκεν αὐτόν. Ὅθεν εἰς παροιμίαν προήχθη, ὅτι Κάκιον Βάβυς αὐλεῖ.

82 Κακοῦ κόρακος κακὸν ὠόν: τὴν παροιμίαν ταύτην οἱ μὲν ἀπὸ τοῦ πτηνοῦ ζώου φασὶν εἰρῆσθαι, ὅτι οὔτε αὐτὸς βρωτός ἐστιν, οὔτε τὸ ὠὸν ὃ ἔχει. Οἱ δὲ, ἀπὸ Κόρακος τοῦ Συρακουσίου ῥήτορος, πρώτου διδάξαντος τέχνην ῥητορικήν. Ὑπὸ γὰρ τούτου, ὡς φασί, μαθητὴς Τισίας ὀνόματι μισθὸν ἀπαιτούμενος καὶ εἰσαγόμενος εἰς τὸ δικαστήριον, εἶπε πρὸς τὸν Κόρακα· Εἰ μέν με νικήσεις, ὦ Κόραξ, οὐδὲν μεμάθηκα, καὶ οὐ λήψῃ τί· εἰ δ' ἡττηθήσῃ, οὐ κομιῇ τὸν μισθὸν ὡσαύτως. Θαυμάσαντες οὖν οἱ δικασταὶ τὸ σόφισμα τοῦ νεανίσκου ἐπεφώνησαν, Κακοῦ κόρακος κακὸν ὠόν. Εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν πονηρῶν πονηρὰ ποιούντων.

83 Κυθνώλεις συμφοραί: τοῦτο εἰς παροιμίαν ἦλθε διὰ τὰ Κυθνίοις συμβάντα. Φησὶ γὰρ Ἀριστοτέλης οὕτως κακῶς αὐτοὺς διατεθῆναι ὑπὸ Ἀμφιτρύωνος, ὥστε τὰς μεγάλας συμφορὰς Κυθνώλεις καλεῖσθαι.

84 Λαγὼς καθεύδων: παροιμία ἐπὶ τῶν προσποιουμένων καθεύδειν.

4. Vulgo *ὑπ' αὐτῷ*. 5. *σήματος* dedi cum Valckenaerio ap. Gaisf.: legebatur *βήματος*. 6. Erat *Μαυσώλιον*. *Ναίρα* Valckenaerius, Clericus ad Erasm. III, 6, 36. 10. *ἡ — λέγεται* om. B. 11. *χρᾶσθαι* PH. 12. *μεθύοντες*] B *θύοντες*. *αὐτῶν*] *ἑαυτῶν* Schottus: e BP emendavit Gaisfordus. 13. *καὶ οἱ — χρῶνται* B om. 15. *τυγχάνουσι*] *θιγγάνουσι* coniecit T. Hemsterhusius ad Lucian. Nigrin. §. 21. 16. *αὐτοῖς*] *ἄλλοις* mavult Valckenaerius ap. Gaisf. ad h. l. 18. *Γορδναῖοι* Valckenaerius: lenior medela *Γόρδιοι* fuisset: vid. Steph. Byz. v. *Γορδναῖα*: sed etiamsi de Gordyaeis h. l. agi certo constaret, formam *Γόρδιοι* in Zenobio jure sollicitari vix putav rim. *παχύτατον*] Valckenaerius *ταχύτατον*: scilicet sic de Alitemiis, populo plane ignoto, Nicolaus Damasc. p. 518 Vales. 19. *Συρακοί*] *Σιῤῥακούσιοι* BV: *Σίῤῥακοι* Schott., Gaisfordus: *Ὑρκανοὶ* Valckenaerius: Syraces e Scythiae populis sunt: cf. Plin. N. H. IV, 12, 84. Tzschuckius ad Strab. XI, 2. 1 p. 492, ad Pomp. Mel. Nott. Critt. I, 19, 14. 20. *τῷ μακροτάτῳ* B, *μακροτάτῳ* V, *διαδημα-*

25. B. 680. Diog. VI, 77. Apost. XIII, 80. Arsen. 368 ibiq. Macar.: Suidas. *Μεθύοντες*] vid. Herod. I, 133. Strab. XV, 3, 20 p. 734. *καὶ — προσκυνοῦσι*] vid. Herod. I, 134 ibiq. Wesselingius, Strab.: ad hunc morem alludit Lucianus Nigrin. §. 21. *τὰ δὲ — βλέπουσι*] sc. *οἱ Πέρσαι*: vid. Herod. I, 136. Strab. l. c. §. 17 p. 733. *παχύτατον*] Lucret. V, 1108: *reges.. Et pecudes et agros divisere atque dedere Pro facie quoiusque et viribus ingenioque. Nam facies multum valuit viresque vigebant.* *Συρακοὶ — κεφαλήν*] similiter Hippocr. de Aere Loc. et Aq.

Στυμφαλοὶ τιμῶσι γυναῖκα τὴν πλείοσιν ἀνδράσι προσομιλήσασαν.

Ὄρειοι Μασσαγέται ἐν ταῖς ὁδοῖς πλησιάζουσι.

Σαυρομάται παρὰ πότον τὰς θυγατέρας πιπράσκουσι.

Μαζούσιος δὲ γυναικὶ οὐ μίγνυται, εἰ μὴ πολεμίαν ἕλῃ.

Τιβαρηνοὶ, τῶν γυναικῶν τικτουσῶν, αὐτοὶ τὰς κεφαλὰς δέονται καὶ κατακλίνονται.

κροτάτῳ P, διάδημα ἀκροτάτῳ Schottus, Gaisfordus: ego Valckenaerium secutus sum. ὡς δὲ — φασὶ] VB ἦ. 1. *Στυμφαλοὶ*] BV *Στάφυλοι*: fortasse forma genuina. *τὴν γυναῖκα* B. ἀνδράσι B om. 2. *προσομιλήσασαν*] BV *γαμηθεῖσαν*. 3. *Ὄρειοι* ego scripsi: vid. Strab. XI, 8, 6 p. 512 sq.: ὄρειοι BV, ὔριοι Schott., Gaisfordus. *ἐν* V om. *ὁδοῖς*] ᾠδαῖς ABV. 4. *παρὰ πότον* B: *παρὰ πόντον* A: vulgo *περὶ πότον*. τὰς A om. Addunt VB: *παρ' Ἀμαζόσιν οὐδεμία γαμεῖται, ἐὰν μὴ πολέμιον ἀνέλῃ*: ab iisdem vero codd. verba *Μαζούσιος — ἕλῃ* omittuntur: lacuna sine dubio ex homoeoteleuto exorta. De Amazonibus similia saepius leguntur: Herod. IV, 117: *οὐ γαμέεται παρθένος* (Sarmatarum) *οὐδεμία, πρὶν ἂν τῶν πολεμίων ἄνδρα ἀποκτείνῃ· αἱ δέ τινες αὐτέων καὶ τελευτῶσι γηραιαὶ πρὶν γήμασθαι οὐ δυνάμεναι τὸν νόμον ἐκπλῆσαι*: Hippocr. l. c. §. 89 p. 291 Foes., p. 555 T. I Kuehn.: *τοιτέων* [*Σαυροματῶν*] *αἱ γυναῖκες ἱππάζονται τε καὶ τοξεύουσι καὶ ἀκοντίζουσι ἀπὸ τῶν ἵππων καὶ μάχονται τοῖσι πολεμίοισι, ἕως ἂν παρθένοι ἔωσι: οὐκ ἀποπαρθενεύονται δὲ μέχρις ἂν τῶν πολεμίων τρεῖς ἀποκτείνωσι, καὶ οὐ πρότερον ξυνοικέουσι, ἢπερ τὰ ἱρὰ θύουσαι τῷ ἐννόμῳ*: add. Nicol. Damasc. 517 Vales., Diod. III, 53. Pomp. Mel. I, 19, 17. III, 4, 3: vid. Bochartus Geogr. Sacr. 189 sq. Villem., Coraius ad Hippocr. l. c. T. II, 260. 5. *Μαζούσιος*] quod a Lycophrone Cass. 534 *Μαζουσία* promontorium memoratur, Pomponio Melae II, 2, 7 regionis nomen est: hinc Mastusiorum sive Mazusiorum populum in Scythia extitisse verisimile fit. *εἰ μὴ — ἕλῃ*] dubitari potest, utrum haec verba de Mazusio an de Amazonibus dicta fuerint. 7. *τὰς κ. δέονται*] B *δαίννυνται τὰς κεφαλάς*. 8. B *ἀνακλίνονται*.

c. 80 p. 289 Foes., T. I, 550 Kuehn. de Macrocephalis, qui et ipsi inter Scythiae populos referuntur: *τοὺς γὰρ μακροτάτην ἔχοντας τὴν κεφαλὴν γενναιοτάτους ἡγέονται*: vid. Tzschuckius ad Pomp. Mel. Nott. Exegett. I, 19, 11: idem fere de Aethiopibus Herod. III, 20. Aristot. Polit IV, 3, 7 Schneid. narrant. *Στυμφαλοὶ κτλ.*] idem de Gindanibus refert Herod. IV, 176., de Aegyptiis Sext. Empir. Pyrrh. Hypotyp III, 24, §. 201. *Ὄρειοι Μασσαγέται κτλ.*] Strab. XIV, 8, 6 p. 513 accuratius: *γαμεῖ δ' ἕκαστος μίαν, χρῶνται δὲ καὶ ταῖς ἀλλήλων οὐκ ἀφανῶς· ὁ δὲ μιγνύμενος τῇ ἀλλοτρίᾳ, τὴν φαρέτραν ἐξαρτήσας ἐκ τῆς ἁμάξης φανερῶς μίγνυται*: add. Herod. IV, 172: eadem de Mosynoecis narrat Diod. XIV, 30, de Nasamonibus, Agathyrsis, Ausensibus Herod. IV, 172. 104. 180: de Indis Sext. Empir. l. c. §. 201: alia vide sis apud Tzschuckium l. c. I, 19, 10. *Σαυρομάται κτλ.*] a barbaris filias nubiles subhastari, scriptores saepius memorant: *παρὰ πότον* autem hoc fieri, Sarmatis videtur proprium fuisse: vid. Tzschuckius l. c. II, 2, 4. *Τιβαρηνοὶ κτλ.*]

Παρὰ τοῖς Κερκεταίοις οἱ ἐργάται τὰ φορτία βαστάζουσιν, ἄχρις οὗ τις αὐτὰ ὠνήσεται.

Ἰσσηδόνες τοὺς γονεῖς ἐσθίουσι, χωρὶς τῆς κεφαλῆς· τὴν δὲ κεφαλὴν χρυσοῦσι.

Τραυσοὶ ἐπὶ μὲν τοῖς γεννωμένοις δακρύουσιν, ἐπὶ δὲ ἀποθνήσκουσι χαίρουσι.

Βακχείριοι, ἐὰν [μὴ] ἀπὸ νόσου σωθῶσι, κυσὶν ἑαυτοὺς παραβάλλουσιν.

---

1. *παρὰ τοῖς Κερκ.*] *παραδεδορκότες καὶ* BV: vulgo *π. τ. Κεκερταίοις*: *π. τ. Κερκέταις* proponunt Valckenaerius, Coraius Prodrom. Bibl. Hellen. 374: forma *Κερκεταῖοι* usi sunt Hellanicus [fr. 57 Sturz] et Palaephatus: vid. Steph. Byz. s. *Χαριμάται*: add. Tzschuckius ad Pomp. Mel. Nott. Critt. I, 19, 14. Bernhardy ad Dionys. Perieg. 682. 2. *ὠνήσηται* B. 3. Legebatur *οἱ Σιδῶνες*: correxerunt Davisius ad Cicer. Tusc. Q. I, 48. Zoega de Obelisc. 246. Coraius l. c. 374. *Ἰσσηδόνες — χρυσοῦσι* B om. 5. *Τραυσοὶ*] *Καυσίαι* P Gaisfordus, *Καισίαι* Schottus, *Καυσιάκαι* VB: Nicol. Damasc. 526: *Καυσιανοὶ τοὺς μὲν γεννωμένους θρηνοῦσι, τοὺς δὲ τελευτήσαντας μακαρίζουσι*: unde Davisius ad Cicer. Tusc. Q. I, 48 *Καυσιανοὶ* h. l. reponendum judicavit: ex Herodoto autem V, 4: *Τραυσοὶ — τὸν μὲν γενόμενον περιίζόμενοι οἱ προσήκοντες ὀλοφύρονται ὅσα μὲν δεῖ, ἐπεὶ τε ἐγένετο ἀναπλῆσαι κακά, ἀνηγεόμενοι τὰ ἀνθρωπήϊα πάντα πάθεα· τὸν δ' ἀπογινόμενον παίζοντές τε καὶ ἡδόμενοι γῇ κρύπτουσι, ἐπιλέγοντες ὅσων κακῶν ἐξαπαλλαχθεὶς ἐστὶ ἐν πάσῃ εὐδαιμονίῃ*: et Hesych. v. *Τραῦσοι*: *ἔθνος Σκυθικόν, οἱ τοὺς μὲν γεννωμένους ἀτιμάζουσι, τοὺς δὲ τελευτῶντας κατευφημίζουσι*, Bouhierius ad Cic. Q. Tusc. version. T. III p. 88 *Τραυσοί*, Coraius Bibl. Hell. Prodrom. p. 378 *Τραυσοὶ* aut *Τραύσιοι* aut *Τραυσιανοὶ* scribendum esse contenderunt. *ἐπὶ μὲν τοῖς γεν.*] vulgo *ἐπὶ γεν.*: e VB correxi. *ἐπὶ δὲ*] vulgo *ἐπεί*: emendavi e BV. 6. B *χαίρουσιν*. 7. V *Βακχόριοι*, B *Βοκχόριοι*: Is. Vossius ad Pompon. Mel. I, 19, 11 proposuit *Βίχειροι*, Bouhierius l. c. *Βακτριανοί*: quamquam *Βακχείριοι* sive *Βοκχόριοι* praeter Zenobium nusquam, ut videtur, compa-

Apoll. Rhod. II, 1010: ... *Τιβαρηνίδα γαῖαν· Ἔνθ' ἐπὶ ἄρ κε τέκωνται ὑπ' ἀνδράσι τέκνα γυναῖκες, Αὐτοὶ μὲν στενάχουσιν ἐνὶ λιγέεσσι πεσόντες, Κράατα δησάμενοι· ταὶ δ' εὖ κομέουσιν ἑδωδῇ Ἄνδρας ἠδὲ λοιτρὰ λιχώϊα τοῖσι πένονται*: vid. Scholl. et Bernhardy ad Dionys. Perieg. 767. *Κερκεταίους*] vid. Boeckhius ad Corp. Inscriptt. Graecc. II p. 100. *Ἰσσηδόνες κτλ.*] Herod. IV, 26: *ἐπειὰν ἀνδρὶ ἀποθάνῃ πατὴρ, οἱ προσήκοντες πάντες προσάγουσι πρόβατα· καὶ ἔπειτα ταῦτα θύσαντες καὶ κατατομέοντες τὰ κρέα, κατατάμνουσι καὶ τὸν τοῦ δεκομένου τεθνεῶτα γονέα· ἀναμίξαντες δὲ πάντα τὰ κρέα, δαῖτα προτιθέαται. τὴν δὲ κεφαλὴν αὐτοῦ ψιλώσαντες καὶ ἐκκαθήραντες καταχρυσοῦσι*: similia etiam aliis Scythiae populis adscripsere Graeci: cf. Plat. Euthyd. 299. E. Strab. VII, 3, 6 p. 298. Sext. Empir. l. c. §. 207. Pompon. Mel. II, 1, 9. Solin. c. 16. Schol. ad Arist. Oratt. p. 2 Frommel. *Τραυσοὶ*] cf. Sext. Empir. l. c. §. 232. Fischerus ad Aeschin. Dialog. III, 10 p. 139. Lobeckius Aglaoph. II, 801: vid. Diogen. III, 4. *Βακχείριοι κτλ.*] Bactrianorum, Medorum, aliorum comparandi

Ὀργεμπαῖοι οἰκίας οὐκ ἔχουσιν, οὐδὲ ἔμψυχόν τι σιτοῦνται. Εἰσὶ δὲ καὶ σὺν γυναιξὶ φαλακροὶ διὰ φύσιν ὕδατος οὐ πίνουσι.

Θυσσαγέται τοῖς θεοῖς τὰ ὀστᾶ θύουσιν, αὐτοὶ τὰς σάρκας ἐσθίοντες.

Ταυροσκύθαι ἀνθρώπους θύουσι.

Βυζωνοὶ μεσόγειοι βοῦς ἀμέλγοντες μόνῃ ταύτῃ τροφῇ χρῶνται.

---

rent, *Βίχιρις* autem sive *Βίχιρος* saepe: vid. Schol. ad Apoll. Rhod. II, 395. 1224. Eustath. ad Dionys. Perieg. 762. Etym. M. 195, 43: tamen variis lectionibus, quas VV. DD. ad Pompon. Mel. l. c. collegere, inter se comparatis, codicum lectionem h. l. retinere tutissimum visum est. Accedit, quod populorum Scythicorum nomina liberrime a Graecis flectuntur: exempli causa propono: *Συρμάται, Σαρμάται, Σαυρομάται*: *Σάβοι, Σαῖοι, Σαπαῖοι*: *Σάπειραι, Σάσπειραι*: *Ἰξαμάται, Ἰαξαμάται*: *Ψάτις, Ψάτης, Θάψις, Θάτης*: *Γερροῦσα, Γαργάζα*: *Κιρκίτοι, Κιρκίται, Κιρκιταῖοι*: *Γόρδοι, Γορδναῖοι* cett. cett. *ἰὰν [μὴ] ἀπό] μὴ* de coniectura apposui: Bouhierius l. c. *ἰὰν ἀπὸ νοσοῦ οὖ.* 8. *ἑαυτὸν* F. 1. *Ὀργεμπαῖοι* VB Salmasius ad Solin. 147: vulgo *Ὀργεμπίοι*, probatum Pintiano ad Pomp. Mel. I, 19, 20: eundem populum *Ἀργιππαίους* Herodotus nuncupat, alii aliter: vid. Gattererus in Commentt. Societ. Reg. Scientt. Gotting. XIV, 42 Quam praetuli formam, ea etiam varia lectione defenditur in nonnullis Herodoti codd. reperta, *Ὀργεμπαῖοι*: vid. Tzschuckius ad Pomp. Mel. l. c.: tum aliorum nominum Scythicorum formis similibus: *Ἑξαμπαῖος* [cf. Boeckhius ad Corp. Inscr. Gr. II p. 110.] *Ἀρτέμπασα* [Herod. IV, 59], ita ut majorem formae Scythicae similitudinem habere videatur: cf. Gattererum l. c. 13. 2. *εἰσὶ*] BV Gaisfordus: *εἰ* Schottus. BV: *εἰσὶ δὲ φαλακροὶ διὰ τὴν φύσιν τοῦ ὕδατος οὐ πίνουσι καὶ αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν. τὴν φύσιν* Schottus: *φύσιν* PHF Gaisfordus. 3. *τοῦ ὕδατος* Schottus: *ὕδατος* HPF Gaisfordus. 4. Vulgo *Θυίσται* et sic B: PV *Θυσίται*, unde *Θυσσαγίται* restitui. *τὰ ὀστᾶ τοῖς θεοῖς* BV. *ἐπιθύουσιν* B. 5. *ἔσθοντες* B. 6. *ἀνθρώπους θύουσι* B Gaisfordus: V *ἀνθρ. ἐσθίουσι*, Schottus *ἀνθρωποτυθοῦσι*: coniecit Wowerius ad Minuc. Felic. Octavian. 161: *ταυρίῃ σκύθαι ἀνθρώπῳ θύουσι.* 7. *βοῦς*]

videntur mores, de quibus doctissime Zoega de Obelisc. 248 disputavit. De Orgempaeis vid. Herod. IV, 23 ibiq. intt., Ammian. Marcell. XXII, 8. Ceterum eandem facultatem aquae Hippocrates tribuit l. c. §. 121 p. 295 Foes., 566 Kuehn.: recentiorum in hujus rei explicationem conatus refert Brandstaeterus Scythic. 29 sqq. *Θυσσαγίται*] Herod. IV, 22: *ἔθνος πολλὸν καὶ ἴδιον· ζώουσι δὲ ἀπὸ θήρης*: vid. Tzschuckius ad Pomp. Mel. I, 19, 19: quod h. l. affertur, alibi de Thyssagetis non memini me legisse. De ritibus Scytharum in sacrificiis vid. Herod. IV, 60 sq. ibiq. Wesselinghius. De Tauroscythis in universum vid. Boeckhius Corp. Inscr. Grr. II, p. 82: de moribus eorum Herod. IV, 103: *θύουσι μὲν τῇ Παρθένῳ τούς τε ναυηγοὺς καὶ τοὺς ἂν λάβωσι Ἑλλήνων ἐπαναχθέντας, τρόπῳ τοιῷδε κτλ.*: add. Sext. Empir. l. c. 208. Ammian. Marcell. l. c. Boeckhius l. c. 89. *Βυζωνοί*] gens mihi ignota. Hausit h. l. Zenobius

Οἱ κατὰ τὴν ἡμετέραν οἰκουμένην Ἴβηρες κυνῶν ἀγέλην τρέφουσιν ἀντὶ προβάτων.

Αἰθίοπες δὲ οἱ λεγόμενοι † Κολχεῖς, ὑαίνας. Διὰ ταῦτα ἡ παροιμία εἴρηται.

26 *Ξένος ἔλθοι ὅστις ὀνήσει: ταύτην φησὶ Θεόπομπος ὑπὸ Φιλίππου πρῶτον λεχθῆναι. Θετταλῶν γὰρ καταστρεψάμενος πόλιν καὶ τοὺς αὐτόθι ξένους πωλήσας, χλευάζων εἶπεν, Ἔλθοι ξένος ὅστις ὀνήσει.*

27 *Ξαίνεις εἰς πῦρ: λέγεται ἡ παροιμία αὕτη ἐπὶ τῶν μάτην κακοπαθούντων.*

28 *Οὐκ ἐπαινεθείης οὐδ' ἐν περιδείπνῳ: ἐπὶ*

Strab. VII, 3, 7 p. 300: *ἀλλὰ καὶ νῦν ἱππεῖς Ἀμάξοικοι καὶ Νομάδες καλούμενοι, ζῶντες ἀπὸ θρεμμάτων καὶ γάλακτος καὶ τυροῦ καὶ μάλιστα ἱππείου*: nisi praestat n. l. scribere *ἵππους*: Hesiodus *Σκύθας ἱππημολγούς* dixit, Aeschylus *ἱππακῆς βρωτῆρας*: cf. Strab. l. c., Nicol. Damasc. 510. Eustath. ad Hom. Il. *N* init. B: *ἀφίλγονται καὶ ταῖτα χρῶνται τροφῇ.* 1. *Οἱ κατὰ — εἴρηται*] V B: *Ἴβηρες ὑῶν ἀγέλας ἀντὶ προβάτων τρέφουσι. Διὰ ταῦτα ἡ παροιμία*: haec lectionis discrepantia et verba ipsa lacunam indicant: fortasse scribendum: *οἱ κατὰ τὴν ἡμετέραν οἰκουμένην Ἴβηρες ὑῶν ἀγέλας τρέφουσιν, οἱ δὲ ἐωθινοὶ κύνας ἀντὶ προβάτων. Αἰθίοπες δὲ κτλ.*: pernas Hispanicas celebratas esse multi asserunt: vid. Uckertus Geogr. II, 326: et a Scythis, aliis canes cum cura nutriri e Plinio, Solino notum est. Aliam emendandi viam indicat Sextus Empir. l. c. §. 225: *Θρᾳκῶν δὲ ἔνιοι κυνοφαγεῖν ἱστοροῦνται*: conf Zoega l. c. 247 not. 6. 3. *Αἰθίοπες — Κολχεῖς*] horum nominum unum certe corruptum est. 5. BV *ἔλθοι ξένος ὅστις ὀν.* *ταύτην — λεχθῆναι*] VB om. 9. B: *εἰς πῦρ ξαίνεις: ἐπὶ τῶν μάτην πονούντων. Ὁμοία τῇ Κατὰ πετρῶν σπείρεις* [vid. Diogen. I, 45]. *καὶ Εἰς οὐρανὸν τοξεύεις* [Zenob. III, 46.]: C: *εἰς π. ξαίνειν: ἐπὶ τῶν καθ' ἑαυτῶν τί ποιούντων ἢ λεγόντων, ἢ ἐπὶ τῶν μάτην πονούντων.* 11. B *οὐδὲ περὶ τὸ δεῖπνον*, A: *οὐδὲ παρὰ τὸ δεῖπνον.* *ἐπὶ — ἀξίων*] B: *ἐπὶ τῶν μηδενὸς ἀξιῶν.*

sine dubio e *νομίμοις βαρβαρικοῖς*, e *περιόδοις*, libris similibus: vid. Ebertus Dissertt. Sicul. 1, 162.

26. V. I, 92. B. 441. Diog. IV, 73. Apost. VIII, 18. XIII, 89. Arsen. 227. 373.

27. B. 398. C. 151. Apost. VII, 75. Arsen. 221 ibiq. Macar.: Suid. s. *εἰς πῦρ.* Phrynich. Bekk. Anecdd. 69, 27: Schol. ad Plat. Legg. VI p. 452 Bekk. Proverbium non significat »*ignem dissecas*«, ut Schottus, alii interpretantur, sed »*carminas lanam in ignem*«: i. e., lanam carminatam coniicis in ignem, ubi a flamma consumitur. Adhibetur a Plat. Legg. VI, 780 C., Aristid. *ὑπὲρ τ. τεττάρ.* 377 Jebb.: *εἰληλύθεις δὲ ἄρα σαυτὸν ἁπάσαις ταῖς παροιμίαις ἐνεχόμενος, εἰς πῦρ ξαίνων καὶ λίθον ἔψων καὶ σπείρων τὰς πέτρας*: vid. Boissonadus ad Aristaenet. II, 20 pag. 723: conf. ad Diogen. 1, 45.

28. B. 744. Plutarch 86. Diog. VII, 24. Greg. Cypr. III, 26. Apost. XV, 31. Photius. Suidas. De re vid. Cicer. Legg. II, 25, 63 ibiq. Creuzerus.

τῶν σφόδρα πονηρῶν ἡ παροιμία λέγεται, καὶ μηδὲ τοῦ τυχόντος ἐπαίνου ἀξίων. Εἰώθεσαν γὰρ οἱ παλαιοὶ ἐν τοῖς περιδείπνοις τὸν τελευτήσαντα ἐπαινεῖν, καὶ εἰ φαῦλος ἦν.

29 Οἰνόη τὴν χαράδραν: ἡ παροιμία αὕτη λέγεται ἐπὶ τῶν ἑαυτοῖς κακόν τι ἐρελκομένων. Οἰνόη γὰρ δῆμός ἐστι τῆς Ἀττικῆς· οἱ δὲ οἰκοῦντες αὐτόθι χαράδραν ὑπὲρ αὐτῶν φερομένην παρέτρεψαν εἰς τὴν ἑαυτῶν χώραν. Πολλὴ δὲ γενομένη ἡ χαράδρα ἐλυμήνατο αὐτῶν τὰ γεώργια, καὶ τὰς οἰκίας κατέβαλεν.

30 Ὁ Κρὴς τὴν θάλατταν: ἐπὶ τῶν ἐν οἷς διαφέρουσι ταῦτα φεύγειν προσποιουμένων ἡ παροιμία ἐστίν· ἐπειδὴ ναυτικώτατοι οἱ Κρῆτες ἐγένοντο. Μέμνηται ταύτης Ἀλκαῖος.

---

1. λέγεται e P scripsit Gaisfordus: λέλεκται Schottus. 2. εἰώθεσαν cum Finckhio e Suida posui: vulgo εἰώθασι. ἐν τ. περιδ.] περὶ τὸ δεῖπνον B. 3. καὶ εἰ] » hanc lectionem contra Davisium ad Cic. Legg. p 177. defendit Schaefer. ad Longum p. 355.« Gaisfordus. 4. ἦν] εἴη B. 5. C: Οἰναῖοι τὴν χαράδραν: ἐπὶ τῶν ἐπ' ὠφελείᾳ κινησάντων τι, βλαβέντων δέ· Οἴνη γὰρ τόπος τῆς Ἀττικῆς· Ταύτην δὲ τοὺς γεωργοὺς παροχετεύσοντας τὴν ἄνωθεν φερομένην χαράδραν ἀρδεύειν τὰ δένδρα καὶ τὰς ἀμπέλους, ὕδατος δὲ γενομένου καταῤῥαγέντα τὸν ποταμὸν διαφθεῖραι τὰς ἀμπέλους καὶ τὰ δένδρα. 6. BV: προσελκομένων· ὁμοία τῇ ὁ Καρπάθιος τὸν λαγωόν [λαγών V.]: vid. Zenob. IV, 48. 8. Schottus παρέγραψαν: e VB correxit Gaisfordus. 9. ἡ χαράδρα B om. 10. κατέβαλεν] vulgo μετέβαλεν: BV κατέστρεψεν, Suidas καθεῖλεν. 11. ἀγνοεῖ addit Strabo: ὁ Κρὴς δὴ τὸν πόντον Apostolius, alii: θάλασσαν B. 13. μέμνηται τ. Ἀ. om. B.

29. B. 701. C. 359. Strab. VIII, 6, 16 p. 375. Apost. XIV, 22. Arsen. 380. Hesych.: Οἰναῖοι τ. χ.: παροιμία, τιθεμένη ἐπὶ τ. ἑ. κ. τι προσελκ.· φησὶ δὲ Δήμων, ὅτι τῆς Ἀττικῆς ἐστι τόπος Οἰνόη· οἱ δὲ ἐνταῦθα γεωργοῦντες, παροχετεύοντες τὴν ἄνω φερομένην χαράδραν, ἀρδεύειν τὰ δένδρα καὶ τὰς ἀμπέλους ἐπεχείρουν· ὕδατος δὲ πολλοῦ γενομένου, συνέβη καταῤῥαγέντα τὸν ποταμὸν τῶν κτημάτων πολλὰ διαφθεῖραι καὶ τῶν τόπων δὲ τοὺς κυκλοὺς [lege καρποὺς] ἐγχῶσαι: Phot Suid. s. Οἰναῖοι, s. Οἰνόη. Conf. C. Muellerus Aegin. 7.

30. B. 702. Strab. X, 4, 17 p. 481. Apost. XIV, 31. Arsen. 340: Phot. Bibl. 424 Bekk.: Schol. ad Aristid. 185 Frommel., Eustath. ad Hom. Il. B, 649 p. 313, 41: ἱστοροῦνται δὲ καὶ ναυκρατῆσαί ποτε οἱ Κρῆτες [cf. Hoeckii Cret. II, 205.] ὥστε καὶ παροιμία εἰς τοὺς προσποιουμένους ἀγνοεῖν ἅπερ ἀκριβῶς οἴδασιν αὕτη· ὁ Κρὴς τὴν θάλασσαν, ὅπερ ὁ γεωγράφος νοεῖ κατ' ἔλλειψιν τοῦ ἀγνοεῖ, ἵνα λέγῃ ἡ παροιμία ὅτι Κρὴς ἀγνοεῖ τὴν θάλασσαν, εἰρωνικοῦ δηλαδὴ ὄντος τοῦ λόγου [cf. infr. V, 51]: Hesych. Phot. Suidas. Usurpant Liban. Ep. 1215: οὐκ ἀγνοοῦντας μὲν ἐδίδασκεν, εἰ μὴ καὶ ὁ Κρὴς τὴν θάλατταν: Aristaen. II, 18. Alcaei fr. 84 Schneidew.

31 *Οὐ φροντὶς Ἱπποκλείδῃ*: *Ἱπποκλείδης μετὰ καὶ ἄλλων πολλῶν ἐμνηστεύσατο τὴν Κλεισθένους τοῦ Σικυωνίου θυγατέρα. Τοῦ δὲ Κλεισθένους ἐν ἐπαυτῷ ὅλῳ δοκιμάζοντος τοὺς μνηστῆρας, ὁ Ἱπποκλείδης ἐν συμποσίῳ ἐπὶ κεφαλὴν κυβιστήσας, ἄνω περιῆγε τοὺς πόδας. Τοῦ δὲ Κλεισθένους εἰπόντος, Ἐξωρχήσω τὸν γάμον· ὁ Ἱπποκλείδης ἔφη, Οὐ φροντὶς Ἱπποκλείδῃ.*

32 *Οὐ νυκτιπλοεῖς*: *ἐπὶ τῶν μὴ ἀκριβῶς τι ποιούντων. Ἡ γὰρ νὺξ ἀκριβεστέρα τῆς ἡμέρας τοῖς πελαγοδρομοῦσι, διὰ τὰς τῶν ἄστρων σημειώσεις. Ὁ δὲ Χρύσιππος ἀφελὼν τὴν οὐ ἀπόφασιν, Νυκτιπλοεῖς εἶπεν.*

33 *Οὐκ ἄνευ γε Θησέως*: *Θησεὺς πολλοῖς ἀριστεῦσι*

---

1. C: *Ἱπ. λαβὼν εἰς γυναῖκα τὴν θυγ. Κλ., καὶ ἐν αὐτῷ τῷ γάμῳ ὀρχησαμένης τῆς θυγατρὸς Μεγαλκοῦς* (sic) *καὶ ἀρισάσης αὐτῷ, ἐκείνην ἀφεὶς ταύτῃ συνεζύγη. Τοῦ δὲ Μεγαλκοῦς λέγοντος, μεμφθήσῃ τῇ πράξει, αὐτὸς ἀπεκρίνατο· οὐ φ. Ἱππ. Ἱππ. Ἀθηναῖος μετὰ ἄλλων* B. 3. *ἐν ἐν. ὅλῳ*] BV *ἐνιαυτὸν ὅλον.* 4. *ἐν συμποσίῳ*] *ἐν* V om. VB: *συμποσίῳ, παρ' ᾧ ἔμελλε γαμβρὸς ἀναγορεύεσθαι.* 4. *κεφαλὴν*] PBVH Gaisfordus: Schottus *κρίας*, Wesselingius ad Herod. l. c. *κρᾶς*, Hemsterhusius ad Thom. Mag. p. 309 *κατὰ κρὰς* vel *κατὰ κάρα*: aliter enarrat Herodotus: *τὴν κεφαλὴν ἰρίσας ἐπὶ τὴν τράπεζαν, τοῖσι σκέλεσι ἐχειρονόμησε*: ubi vid. interpp. 6. *ἐξορχήσω* B, *ἐξωρχήσῃ* Valckenaerius ad Herod. l. c. 10. *τῆς ἡμέρας*] Schottus *τῆς νυκτός*: praeeunte Schotto Gaisfordus e B correxit. *πελαγοδρομοῦσι* B om: vulgo *πελαγοδραμοῦσι*: e P Diogeniano, aliis correxi. 11. *ὁ — εἶπεν*] B om. 13 B: *ὅταν τι θαυμαστὸν οὐχ ὑπὸ μόνου* (sic) *τινὸς ἀλλὰ πλειόνων κατορθωθῇ· Θησεὺς γὰρ καὶ Πειρίθῳ συνηγωνίσατο πρὸς — θήραν καὶ Π. κατὰ — Ἀμαζόνων*: reliqua omittit.

31. B. 742. C. 395. Herod. VI, 129. Diog. VII, 21. Apost. XV, 44. Arsen 398: Eustath. ad Hom. Il. *A*, 598 p. 159, 40. Schol. ad Lucian. Hercul. §. 8: *ἐπὶ τῶν μὴ πάνυ σπουδαίων ἡμῖν λεγομένη, ἀλλὰ κατὰ τὸ εὐκαταφρόνητον μεταχειριζομένων*: ad eiusd. Apolog. pro Merc. Conduct. fin.: Hesych. Phot. Suidas: *παροιμία, ἧς μέμνηται Ἑρμιππος ἐν Δημόταις· Ἱπποκλείδης ὁ Τισάνδρου, μέλλων γαμεῖν Ἀγαρίστην τὴν Ἀγαθοκλέους τοῦ Σικυωνίου θυγατέρα, τοῦ τυράννου, ἐν αὐτῇ τῇ τῶν γάμων ἡμέρᾳ ἀπορχήσατο περιττῶς· μεταβουλευσαμένου δὲ τοῦ Κλεισθένους, καὶ Μεγακλεῖ τῷ Ἀλκμαίωνος τὴν θυγατέρα δόντος, πρὸς δὲ τὸν Ἱπποκλείδην φανερῶς εἰπόντος, ὅτι ἀπώρχηται τὸν γάμον τῆς Ἀγαρίστης, ὑποτυχὼν ἔφη· οὐ φρ. Ἱππ.*: cf. Athen. XIV, 628 C. Usurpant Lucian. ll. cc., Philopatr. fin., Plutarch. de Herodoti malign. 33 p. 867 B. Liban. Epist. 944. 1224. Phrynich. Eclogg. 193. 364 Lobeck.

32. B. 741. Diog. VII, 20. Apost. XV, 11. Arsen. 396.

33. B. 732. Eustath. ad Hom. Il. *Σ*, 32 p. 1129, 53: *ἐπὶ τῶν σὺν ἑτέροις εὐδοκιμούντων*: Suidas. Plutarch Thes. 29: *πολλῶν μὲν τότε τοῖς ἀρίστοις ἄθλων γενομένων, Ἡρόδωρος μὲν οὐδενὸς οἴεται τὸν Θησέα*

συνηγωνίσατο. Τῷ γὰρ Μελεάγρῳ συνήργησε πρὸς τὴν τοῦ Καλυδωνίου κάπρου θήραν, τῷ Πειρίθῳ συνεμάχησε κατὰ τῶν Κενταύρων καὶ Ἡρακλεῖ πρὸς τὰς Ἀμαζόνας. Ὅταν οὖν θαυμαστόν τι πραχθῇ οὐχ ὑπὸ μόνου τινὸς, εἰώθαμεν λέγειν αὐτῷ, Οὐκ ἄνευ γε Θησέως.

Ἡ δὲ περὶ τοῦ Μελεάγρου ἱστορία καὶ τοῦ Καλυδωνίου συὸς οὕτως ἔχει· Μελεάγρου γεννηθέντος φασὶ τὰς Μοίρας παραγενομένας εἰπεῖν, Τότε τελευτήσει Μελέαγρος, ὅταν ὁ καιόμενος ἐπὶ τῆς ἐσχάρας δαλὸς κατακαῇ. Τοῦτο ἀκούσασα ἡ μήτηρ αὐτοῦ Ἀλθαία, τὸν δαλὸν ἀνείλετο, καὶ κατέθετο εἰς λάρνακα. Μελέαγρος δὲ ἀνὴρ γενναῖος γενόμενος τόνδε τὸν τρόπον ἐτελεύτησεν. Οἰνεὺς ὁ τούτου πατὴρ τὰς ἀπαρχὰς τῶν ἐτησίων καρπῶν τοῖς θεοῖς θύων, τῆς Ἀρτέμιδος ἐπελάθετο. Ἡ δὲ ὀργισθεῖσα κάπρον ἐμῆκεν ἄγριον, μεγέθει τε καὶ ῥώμῃ ἔξοχον, ὃς τὴν γῆν τῶν Καλυδωνίων διέφθειρε καὶ τοὺς καρποὺς ἐλυμαίνετο. Ἐπὶ τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συνεκάλεσεν· καὶ τῷ κτείνοντι τὸν θῆρα τὴν δορὰν δώσειν ἀριστεῖον ἐπηγγείλατο. Πολλῶν οὖν συνελθόντων, καὶ ὁ Μελέαγρος ἐπὶ τὴν θήραν ἐξῆλθε, σύμμαχον προσκαλεσάμενος τὸν Θησέα. Συνελθούσης δὲ μετὰ τῶν ἀριστέων καὶ Ἀταλάντης τῆς θυγατρὸς τοῦ Σχοινέως, κοινῇ τὸν κάπρον περιέστησαν ἅπαντες. Πρώτη μὲν οὖν Ἀταλάντη τὸν κάπρον εἰς τὰ νῶτα ἐτόξευσε· Μελέαγρος δὲ κατὰ τοῦ κενεῶνος πλήξας ἀπέκτεινε, καὶ λαβὼν τὸ δέρας Ἀταλάντῃ χαριζόμενος ἔδωκε. Παρόντων δὲ ἐκεῖσε καὶ τῶν Θεστίου παίδων, τῶν ἀδελφῶν τῆς Ἀλθαίας, καὶ ἀδοξούντων εἰ τὰ ἀριστεῖα γυνὴ λήψεται, τὸ δέρας ἐξ Ἀταλάντης ἀφείλοντο, λέγοντες κατὰ γένος αὐτῆς διαφέρειν, εἰ Μελέαγρος λαμβάνειν μὴ προαιροῖτο.

---

4. μόνον F. 18. τῆς Ἑλλάδος] τῶν Ἑλλ. Schottus: e P emendavit Gaisfordus. συνεκάλεσαν F. 20. θήραν] θύραν P. 29. ἐξ Heynius ad Apollod. I, p. 57. Gaisfordus ad h. l. delendum censent. αὐτῆς] αὐτοῖς P.

μιτασχεῖν, ἀλλὰ μόνοις Λαπίθαις τῆς κενταυρομαχίας· ἕτεροι δὲ καὶ μετὰ Ἰάσονος ἐν Κόλχοις γενέσθαι καὶ Μελεάγρῳ συνεξελεῖν τὸν κάπρον· καὶ διὰ τοῦτο παροιμίαν εἶναι τὴν Οὐκ ἄ. Θ. αὐτόν· μέντοι μηδενὸς συμμάχου διηθέντα πολλοὺς καὶ καλοὺς ἄθλους κατειργάζεσθαι. Alludit Aristid. Συμμαχ. 238 sq. Jebb. ἡ δὲ περὶ] »Seq. sumpta videntur ex Apollodoro I, 8, 2 seq.« Gaisfordus.

Ὀργισθεὶς δὲ Μελέαγρος τοὺς μὲν Θεστίου παῖδας ἀπέκτεινε, τὸ δὲ δέρας Ἀταλάντῃ ἔδωκεν. Ἀλθαία δὲ λυπηθεῖσα ἐπὶ τῇ τῶν ἀδελφῶν ἀπωλείᾳ τὸν δαλὸν ἀνῆψεν, καὶ ὁ Μελέαγρος ἐξαίφνης ἀπέθανε.

Συνεμάχησε δὲ τῷ Πειρίθῳ Θησεὺς, ὅτε κατὰ τῶν Κενταύρων συνεστήσατο πόλεμον. Πειρίθους γὰρ Ἱπποδάμειαν μνηστευόμενος, εἱστία Κενταύρους ὡς συγγενεῖς ὄντας αὐτῇ. Ἀσυνήθως δὲ ἔχοντες οἴνου, ἀφειδῶς ἐμφορησάμενοι ἐμέθυον, καὶ εἰσαγομένην τὴν νύμφην ἐπεχείρουν βιάζεσθαι. Ὁ δὲ Πειρίθους μετὰ Θησέως καθοπλισάμενος μάχην συνῆψε. Καὶ πολλοὺς ὁ Θησεὺς ἀπ' αὐτῶν ἀνεῖλεν.

Ἀπῆλθε δὲ Θησεὺς καὶ μετὰ Ἡρακλέους πρὸς Ἀμαζόνας. Εὐρυσθέως γὰρ ἐπιτάξαντος Ἡρακλεῖ κομίσαι τὸν Ἱππολύτης ζωστῆρα, τῆς τῶν Ἀμαζόνων βασιλίσσης, ἀπελθὼν Ἡρακλῆς ἐζήτει τοῦτον. Τῆς δὲ συνθεμένης δοῦναι, Ἥρα μανίαν φυλάττουσα πρὸς αὐτὸν, εἰκασθεῖσα μιᾷ τῶν Ἀμαζόνων περιῄει πάσαις λέγουσα, ὅτι ὁ παραβαλὼν ξένος τὴν βασιλίδα βιάζεται, καὶ ταύτης τὸν ζωστῆρα, ὃν ἐξ Ἄρεος εἰς δεῖγμα τῆς βασιλείας εἴληφεν, ἀφελέσθαι βούλεται. Τοῦτο ἀκούσασαι Ἀμαζόνες, ἐφωπλισμέναι κατὰ τοῦ Ἡρακλέους ἐξῆεσαν. Νομίσας δὲ Ἡρακλῆς ἐκ δόλου τοῦτο γενέσθαι, τὴν μὲν Ἱππολύτην κτείνας τὸν ζωστῆρα ἀφαιρεῖται, πρὸς δὲ τὰς λοιπὰς ἀγωνισάμενος ἀποπλεῖ. Διὰ τοῦτο ὕστερον βουλόμενος Ἡρακλῆς Ἀμαζόνας ἀμύνασθαι, ἐστράτευσε κατ' αὐτῶν, συμπαραλαβὼν καὶ Θησέα εἰς συμμαχίαν, ὃς καὶ κατεπολέμησε παρ' αὐτοῦ συμμαχούμενος.

31 Οὐδὲ πυρφόρος ἐλείφθη: ἐπὶ τῶν μεγάλων κινδύνων εἴρηται ἡ παροιμία· ἐπειδὴ πάσης πολεμικῆς

---

2. vulgo δίδωκεν: correxit Finckhius ex Apollodoro. 14. ὑποτάξαντος H. 21. Legebatur ἀφωπλισμέναι. 24. Vulgo ἀφαιρεῖτο. 29. ὑπιλείφθη Suidas, ἐσώθη Schol. Eurip: Apostolius, alii verbum ignorant: explicationem cod. Piersoni post Moerin p. 479 omittit.

34. B. 733. Diog. VII, 15. Apost. XIV, 98. Arsen. 391 ibiq. Macar.: Schol. ad Eurip. Phoeniss. 1386. Eustath. ad Hom. Il. *M*, 73 [οὐκέτ' ἔπειτ' ὀΐω οὐδ' ἄγγελον ἀπονέεσθαι Ἄφορρον πρὸτὶ ἄστυ.] p. 893, 17. Schol. ad Aristid. p. 241 Frommel., ad Greg. Nazianz. in Julian. Στηλιντ. *B.* p. 92 Mont., Basil. in eund. ap. Boisson. *Notices et Extraits des Manuscr. de la Biblioth. du Roi*

παρασκευῆς ἔδει τὸν μάντιν ἡγεῖσθαι, δάφνης ἔχοντα κλάδον καὶ στέμματα [καὶ λαμπάδα]· καὶ τούτου νόμος ἦν μόνου φείδεσθαι τοὺς πολεμίους. Ἐπὶ τοίνυν τῶν πανωλεθρίᾳ διεφθαρμένων καιρὸν ἔσχεν ἡ παροιμία.

35 Ὁ σκνὶψ ἐν χώρᾳ: ἐπὶ τῶν ταχέως μεταπηδώντων ἡ παροιμία εἴρηται. Σκνὶψ γάρ ἐστι θηρίδιον ξυλοφάγον, ἀπὸ τόπου εἰς τόπον μεταπηδῶν. Μέμνηται ταύτης Στράττις.

36 Οἶδε Πυλαία ταῦτα καὶ Τυττυγίας: ὁ Τυττυγίας ἀνδραποδιστὴς ἦν· ἐπώλει δὲ ἐν τῇ Πυλαίᾳ τὰ ἀλλότρια. Τάττεται δὲ ἡ παροιμία κατὰ τῶν ἀλλότρια ἁρπαζόντων καὶ πωλούντων.

37 Οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσθ' ὁ πλοῦς: Κόρινθος πολλὰς εἶχεν ἑταίρας καὶ πολυτελεῖς, αἳ τοὺς ἀφικομένους τῶν ξένων ἐδασμολόγουν, τὰ ἐρόδια αὐτῶν ἀναλαμβάνουσαι. Διὰ γοῦν τοῦτο ἐπὶ τῶν τρυφᾶν βουλομένων [ἀπόρων] εἰρῆσθαι τὴν παροιμίαν.

---

2. καὶ λαμπάδα e Suida cum Valckenaerio ad Schol. Eurip. l. c. inserui. 3. ἐπὶ τοίνυν τῶν] ἐπὶ τῶν αὐτῶν H: ὅθεν ἡ παροιμία ἐπὶ τῶν π. διεφθ. B. 5. ὁ om. Photius, alii. κνὶψ Apostolius. ἐν χώρας Suidas, alii. μεταπηδώντων] B μεταπιπτόντων. 6. ξυλοφόρον A. 7. ἀπὸ τοῦ τόπου Schottus: articulum cum PH eiecit Gaisfordus. ἀπὸ — Στράττις] om. B. 8. Στράττις recte Schottus: Gaisfordus e PF Brub. Στράτις dedit. 9. οἶδε] οὐδὲν Plutarchus: οὐ δὴ legendum suspicatur Valckenaerius. 11. ἀλλοτρίων H. 13. εἰς B. C: ἐπὶ τῶν μὴ δυναμένων τοῖς ἄλλοις τὰ αὐτὰ ποιεῖν. Ἐπὶ μόνων τῶν πλουσίων ἦν καταίρειν εἰς Κόρινθον διὰ τὰς πόρνας. 14. ἡ Κόρινθος B Schottus: e PF articulum Gaisfordus delevit. ἔσχεν B. καὶ πολυτ. B om. 15. ἀφικνουμένους B. 16. αὐτῶν B om. λαμβάνουσαι B. λέγεται γοῦν ἐπὶ τ. τ. β. ἀπόρων B, ex quo ἀπόρων in textum recepi.

T. XI p. 109: πυρφόρον δὲ ἀπό τινος παροιμίας φασίν· ἐφείδοντο γὰρ ἐν τοῖς πολέμοις τῶν προηγουμένων μάντεων στεφανηφορούντων καὶ δᾷδας κατεχόντων πρὸς θυσίας εὐπρεπεῖς· καὶ οἱ νικῶντες οὖν ὡς ἱερῶν ἐφείδοντο τῶν τοιούτων· εἴρηται ὑπερβολικῶς ἐπὶ τῶν κατανικηθέντων, ὡς οὐδὲ πυρφόρος ἐξέφυγεν: Phot. Suidas. Rem accuratius illustrat Xenoph. de republ. Lacedaem. 13, 2, ubi vid. Haasius: add. Welckerus Aesch. Trilog. Append. 32. Jahnius de Palamed. diss. 51. Utuntur Herod. VIII, 6. Aristid. ὑπ. τ. τετ. 323 Jebb. Dio Cass. 39, 45. Julian. Oratt. I p. 27 Spanh.: add. interpp. ad Hesych. v. πυρφόρος.

35. B. 745. Apost. XI, 47: Phot. Suid. s. σκνίψ. De bestiola vid. Lobeckius ad Phryn. p. 398.

36. Plutarch. Provv. 105.

37. B. 734. C. 301. Strab. VIII, 6, 20 p. 378. XII, 3, 36 p. 559. Gell. N. Att. I, 8: Diog. VII, 16. Apost. XV, 33. Arsen. 397: Schol. ad Aristoph. Plut. 149. Eustath. ad Hom. Il. *B*, 570 p. 290, 34: Hesych. Photius: διὰ τὸ τὰς

38 *Ὄνου πόκους ζητεῖς: ἐπὶ τῶν ἀνυπόστατα ζητούντων. Παρόσον τὴν ὄνον οὔτε πέξαι τὶς δύναται οὔτε κεῖραι. Λέγεται δὲ καὶ Ὄνον χείρεις, ἐπὶ τῶν ἀνηνύτοις ἐπιχειρούντων.*

39 *Ὄνου παρακύψεως: μέμνηται ταύτης Μέναν-*

---

1. Diogenianus, ceteri ζητεῖς om. ὄνου πόκαι Apost. Arsen. Photius, Suid. Hesychius: ὄνου πόκοι Diog. Photius 337: ὄνου πόκας, εἰς ὄνου πόκας Eustathius. VB: ὄνου πόκας: Ἀριστοφάνης χωρίον ἐν ᾅδου διατετύπωκεν [V. τετύπ.] ὄνου πόκας. Λέγεται ἐπὶ τῶν ἀνηνύτων καὶ ἀτελῶν, ὅτι καὶ ὄνος οὔτε κείρεται οὔτε ἐξ αὐτοῦ πόκος γίνεται: C: ἐπὶ τῶν ἀχρήστων ἢ εἰς ἀδύνατον ὑπερβαλλομένων. Ἀρίσταρχος γὰρ Κρατῖνον ὑποθέσθαι φησὶ τινὰ ἐν ᾅδου σχοινίον πλέκοντα, ὄνον δὲ τοῦτο κατεσθίοντα. Ἔστι δὲ καὶ χωρίον φασὶν Ἕλληνες ἐν ᾅδου καλούμενον ὄνου πόκαι. 3. Vulgo κάρσαι. 5. VB: οἱ μέν φασιν [φ. om. V] ἐπὶ κεραμέως, οἱ δὲ ἐπὶ κορυπλάθου, ἄλλοι δὲ ἐφ' ἵστου. Ὀρνίθων γὰρ παρατριφομένων ἐν ἐργαστ. πολλῶν, ὄνον διὰ τῆς παραθύρου παρακύψαι, ὑπανέντος αὐτῷ [V αὐτοῦ] τὸν ἀγωγία τοῦ ὀνηλάτου, τὰς δὲ ὄρνεις ἐκπλαγείσας καὶ φοβηθείσας ὑπὸ τῆς ὄψεως, ἤτοι τὰ τοῦ κεραμέως σκεύη ἢ τὰς τοῦ κορυπλάθου νύμφας ἢ τὸν ἱστὸν συντρῖψαι. ὁ τοίνυν κτλ.: C: ἐπὶ τῶν μάτην ἐγκαλουμένων. Ὀρνίθων γάρ τινων ἐν οἰκίᾳ τριφομένων πολλῶν, καὶ τῆς μὲν θύρας κεκλεισμένης οὔσης τοῦ οἴκου, μικροῦ δὲ παραθυρίου ἐν αὐτῇ ἀνεῳγότος, ὄνος παριὼν μὴ κρατοῦντος τοῦ ὀνηλάτου, ἀνισόβησι τὰς ὀρνίθας πτοηθεῖσας. αἱ δὲ ἀναπτᾶσαι τὸν ἵστον τοῦ τὸ δωμάτιον ἔχοντος διέῤῥηξαν· ἐντεῦθεν εἰς κριτήριον ἀγόμενος ὁ ὀνηλάτης καὶ ἐρωτώμενος διατί ἄγοιτο, ἔλεγεν, ὅ. π., καὶ ὁ λόγος εἰς παροιμίαν ἐλήφθη.

ἑταίρας ὑπὲρ τῶν Ἑλλήνων εὔξασθαι φασιν ἐν μεγάλῳ πολέμῳ τῇ Ἀφροδίτῃ· ἢ διὰ τὸ δυσείσβολον· ἢ ἐπεὶ πολλαὶ ἦσαν ἑταῖραι καὶ τῶν πλουσίων μόνον ὁ πλοῦς: Suidas. De meretricibus istis vid. Wagnerus Rerr. Corinth. Specim. 23. O. Muellerus Dor. II, 289. Alludit Soph. Philoct. 304: *οὐκ ἐνθάδ' οἱ πλοῖ τοῖσι σώφροσιν βροτῶν*: Creuzer. Init. Philos. Plat. II, 166.

38. B. 708. C. 372. Diog. IV, 85. VI, 99. Apost. XIV, 66. Arsen. 385 ibiq. Macar.: Schol. ad Aristoph. Ran. 186. Eustath. ad Hom. Il. *E*, 137 p. 531, 8. *K*, 21 p. 787, 7: *ἱστέον δὲ ὅτι ἐν τοῖς τοῦ Παυσανίου φέρεται, ὡς τὴν δορὰν ἀσπάθητόν τινες εἶπον χλαῖναν, ὃ ἐστι ἀνύφαντον· καὶ ὅτι ἐκ τῆς λεοντῆς ἡ κατὰ τὸν λέοντα παροιμία τό, ξυρεῖν λέοντα* [v. Diog. VI, 25] *ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειροῦντων· καὶ τοῦτο μὲν διὰ τὴν γενναιότητα τοῦ λέοντος, ὃν οὐκ ἂν ξυρεῖν τολμήσῃ τις· τὸ μέντοι πόκους ὄνου ἄλλον τρόπον ἀδύνατόν ἐστι, διὰ τὸ μὴ εἶναι πέκεσθαι τὸν ὄνον· ὅμοιον δὲ καὶ τὸ, ἀσκὸν δέρειν* [Diog. I, 45.]· *οὐ γὰρ ἂν ἐξ ἀσκοῦ δέρμα ἕτερον ἀποσύρηται*: Hesych. Phot. 337. 338. Suidas. Inter picturas a Polygnoto ad leschen Delphicam exornandam factas una erat, quae virum e junco restim texentem et asellam, ille quae texuisset, assidue abrodentem repraesentabat: Pausan X, 29, 2. O. Muellerus Encheirid. Archaeol. p. 131: quae pictura quum celeberrima esset, Cratinus facetias quasdam ex ea derivavit, quae proverbio nostro originem dedisse videntur.

39. B. 740. C. 371. Apost. XIV, 65. Macar. 3[illegible]6: Phot. Suidas.

δρος ἐν Ἰερείᾳ. Λέγουσι δέ, ὅτι κεραμεύς τις ἔτρεφε πολλὰς ὄρνιθας ἐν τῷ ἐργαστηρίῳ· ὄνος δὲ παριὼν, ἀκολουθοῦντος ἀμελῶς τοῦ ὀνηλάτου, παρακύψας διὰ τῆς θυρίδος ἀνεσόβησε τὰς ὄρνιθας, † καὶ τὰ ἐν τῷ ἐργαστηρίῳ συνέτριψαν σκεύη. Ὁ τοίνυν κύριος τοῦ ἐργαστηρίου ἐπὶ κρίσιν ἦγε τὸν ὀνηλάτην. Ἐρωτώμενος δὲ ἐκεῖνος ὑπὸ τῶν ἁπαντώντων, τίνος κρίνοιτο, ἔλεγε, Παρακύψεως ὄνου. Ἐπὶ τῶν καταγελάστως οὖν συκοφαντουμένων εἴρηται ἡ παροιμία.

40 Οὐδὲν πρὸς τὸν Διόνυσον: ἐπὶ τῶν τὰ μὴ προσήκοντα τοῖς ὑποκειμένοις λεγόντων ἡ παροιμία εἴρηται. Ἐπειδὴ τῶν χορῶν ἐξ ἀρχῆς εἰθισμένων διθύραμβον ᾄδειν εἰς τὸν Διόνυσον, οἱ ποιηταὶ ὕστερον ἐκβάντες τὴν συνήθειαν ταύτην, Αἴαντας καὶ Κενταύρους γράφειν ἐπεχείρουν. Ὅθεν οἱ θεώμενοι σκώπτοντες ἔλεγον, Οὐδὲν πρὸς τὸν Διόνυσον. Διὰ γοῦν τοῦτο τοὺς Σατύρους ὕστερον ἔδοξεν αὐτοῖς προεισάγειν, ἵνα μὴ δοκῶσιν ἐπιλανθάνεσθαι τοῦ θεοῦ.

41 Οἶδα Σίμωνα καὶ Σίμων ἐμέ: Τελχίνων φύσει βασκάνων ὄντων, (καὶ γὰρ τῷ τῆς Στυγὸς ὕδατι τὴν

---

1. Obelum apposui: aut e C scribendum αἱ δὲ ἀναπτᾶσαι, aut e Suida καὶ — συνέτριψε. 7. vulgatam ἁπάντων e Suida correxit Valckenaerius. 10. τὸν B om. VB nonnisi ἐπὶ τ. τ. μὴ πρ. τ. ὑ. φέρουσιν: C: ἐπὶ — ὑποκειμ. λαλούντων· τῆς γὰρ ποιήσεως τὸ πρῶτον ἐκ διθυράμβου τὴν καταρχὴν εἰληφυίας καὶ τὰ πρὸς τὸν Διόνυσον ἀνήκοντα πραγματευομένης, Ἐπιγένης ὁ Σικυώνιος οὐχ οὕτω ποιήσας, ἤκουσε ταῦτον τὸν λόγον· οὐδὲν π. τ. Δ. 14. Αἴαντας] Γίγαντας Bentleius Dissert. Phalar. 174. Boettigerus Vasengemälde 1, 3, 162: vide quae contra hos disputat Welckerus Aesch. Tril. Append. 277. 17. προεισάγειν G. Hermannus ad Eurip. Cyclop. praef. XI: vid. Welckerus l. c. 279.

Μένανδρος] p. 86 Meinek. De proverbio conf. Lucian. Asin. §. 45. Apul. Metamorph IX fin. 40. B. 736. C 383. Strab. VIII, 6, 23 p. 381. Diog. VII, 18. Apost. XV, 13. Phot. Suidas. De vario proverbii sensu vid. Friebelius Satyrograph. Graecc. frr. p. 5. Usurpant Cicero Epist. ad Attic. XIV, 13, a. Lucian. Bacch. §. 5. Liban. Epist. 881: ... ἐπιστολῆς, ἣν μοι δοκεῖς οὐκ ἄνευ τοῦ Διονύσου γράψαι: Heliod. Aeth. II, 24: add. Plutarch. Sympos. I, 1, 5 p. 615 A: ὥσπερ οὖν Φρυνίχου καὶ Αἰσχύλου τὴν τραγῳδίαν εἰς μύθους καὶ πάθη προαγόντων ἐλίχθη, τί ταῦτα πρὸς τὸν Διόνυσον; οὕτως ἐμοίγε πολλάκις εἰπεῖν παρέστη πρὸς τοὺς ἔλκοντας εἰς τὰ συμπόσια τὰ κυριεύοντα, οἱ ἄνθρωποι, τί ταῦτα πρὸς τὸν Διόνυσον;

41. B 747. Diog. VII, 26. Apost. XIV, 16. Arsen. 379: Eustath. ad Hom. Il. *I*, 525 p. 772, 3: Suid. s. θέλγει, s. οἶδα, s. Τελ-

γῆν καταῤῥαίνοντες ἄγονον ἐποίουν,) δύο ἐγένοντο ἡγεμόνες, Σίμων καὶ Νίκων. Ὑπερίσχυε δὲ ὁ Σίμων κακοτροπώτατος ὢν, ὥστε τὴν ἐπὶ Νίκωνι ῥῆμην ἀπαλεῖψαι. Διόπερ οἱ παροιμιαζόμενοι μόνον τὸν Σίμωνα ὀνομάζουσι. Λεχθείη δ' ἂν ἡ παροιμία ἐπὶ τῶν ἀλλήλους ἐπὶ κακίᾳ γινωσκόντων.

42 Ὄνῳ τις ἔλεγε μῦθον· ὁ δὲ τὰ ὦτα ἐκίνει: εἰς ἀναισθησίαν τινῶν ἡ παροιμία εἴρηται κατ' ἀμφότερα. Τό τε γὰρ ζῶον νωχελὲς ἐπὶ τὰ ἔργα καὶ τὰ ὦτα κινεῖ, οἱονεὶ πρὸ τοῦ τινα λαλῆσαι πάντα ἀκήκοεν· ὅπερ ἐστὶ καὶ αὐτὸ ἀναισθησίας. Πῶς γὰρ ἂν δύναιτό τις ἐγνωκέναι τὰ μὴ λαληθέντα αὐτῷ, κἂν ὦτα μεγάλα ὥσπερ ὄνος ἔχῃ;

43 Οἰδίποδος ἀρά: ταύτης μέμνηται Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβας. Ἱστορεῖται δὲ, ὅτι Ἐτεοκλῆς καὶ Πολυνείκης, δι' ἔθους ἔχοντες πέμπειν τῷ Οἰδίποδι ἑκάστου ἱερείου τὸν ὦμον, ἐπιλαθόμενοι ἰσχίον ἔπεμψαν· ὁ δὲ νομίσας ὑβρίσθαι, κατηράσατο αὐτοῖς. Ἄλλοι δὲ λέγουσιν, ὅτι μετὰ τὸ ἀναγνωρισθῆναι Οἰδίπους τῇ μητρὶ

---

1. Schottus καταῤῥέοντας: B καταῤῥαινόντων: correxerunt Lobeckius et Gaisfordus. Emendatio firmatur cod. Par. 1773: vid. Gaisfordus ad Suid. p. 1853. ἄρονον Schottus: ἄγονον VB Gaisfordus: ἄκαρπον Lobeckius: Strab. XIV, 653 fin.: Τελχίνων ... οὓς οἱ μὲν βασκάνους φασὶ καὶ γόητας, θεῖον καταῤῥαίνοντας τὸ τῆς Στυγὸς ὕδωρ, ζώων τε καὶ φυτῶν ὀλέθρου χάριν. 2. ὑπερίσχυσε B. κακοτροπώτερος VB. 3. ὥστε — ὀνομάζουσι] om. B. φήμην e PH Diogeniano, Suida Gaisfordus adjecit. 5. ἡ παρ. B om. ἐπὶ κακίᾳ] B κακίᾳ. 8. B nonnisi haec habet: πρὸς ἀναισθητοῦντας, ἐπὶ τὸ ζῶον νωχελές. 11. »ἂν accessit ex PH.« Gaisfordus. 15 Θήβαις H. ὅτι] H om. 17. ἰσχία P, ἰσχίαν Schottus: e Schol. ad Soph. Oedip. Colon. 1375. Gaisfordus correxit.

χῖνες. Nonn. Dionys. XIV, 43: διωκόμενοι δὲ παθήνῃς Χερσὶ βαρυζήλοισιν ἀρυόμενοι Στυγὸς ὕδωρ Ἄσπορον εὐκάρποιο Ῥόδου ποίησαν ἀλωήν Ὕδασι ταρταρίοισι περιῤῥαίνοντες ἀρούρας: Etym. Gud. 257, 21. Lobeckius Aglaoph. II, 1191. Hoeckius Cret I, 355.

42. B. 749. Diog. VII, 30. Greg. Cypr. III, 30. Apost., XIV, 52. Arsen. 384: Phot., Suid. s. ὄνος τὰ ὦτα κινῶν. Usurpat Galen. περὶ φυσικῶν δυναμ. III, 10 p. 102 T. II Kuehn.: εἰὲν δ' ἂν ὀλίγοι παντάπασιν οὗτοι· τοῖς δ' ἄλλοις οὕτω γενήσεσθαι τὸ γράμμα περιττὸν, ὡς εἰ καὶ μῦθον ὄνῳ τις λέγοι: id. περὶ διαφορᾶς σφυγμῶν II, 3 p. 573 T. VIII Kuehn.: ἐπὶ τούτοις ὁ μὲν γέρων ὥσπερ ὄνος ἔσεισεν ἤδη τὰ ὦτα: Lucian. advers. Indoct. §. 4: τῶν δὲ ἀναγιγνωσκομένων οἶσθα οὐδὲν, ἀλλ' ὄνος λύρας ἀκούεις κινῶν τὰ ὦτα: vid. Diog. VII, 33: add. Eustath. ad Hom. Il. p. 870, 7.

43. Diog. II, 51. Aeschyl. Sept. c. Theb. 785. De hi-

αὐτοῦ Ἰοκάστῃ, τὰς ἰδίας ὄψεις ἐτύφλωσεν. Γνόντων δὲ τῶν ἐγχωρίων τὸ γενόμενον μύσος, καὶ τῶν Θηβαίων Οἰδίπουν ἐξελαυνόντων, τοῖς παισὶ κατηράσατο, ἐπεὶ διωκομένῳ τῆς πόλεως οὐκ ἐπήμυναν· διὰ τοῦτο καὶ ὑπ' ἀλλήλων ὕστερον ἀνῃρέθησαν.

44 Οἰταῖος δαίμων: Κλέαρχός φησιν, ὅτι δαίμων τις Οἰταῖος ἐπωνομάσθη, ὃς ὕβριν καὶ ὑπερηφανίαν πάνυ ἐμίσησεν.

45 Οἵῳ μ' ὁ δαίμων τέρατι συγκαθεῖρξεν: ἐπὶ τῶν δυσανασχετούντων ἐπί τινι δυσχερεῖ πράγματι λέγεται ἡ παροιμία. Κύκλωψ γάρ ἐστι δρᾶμα Φιλοξένου τοῦ ποιητοῦ, ἐν ᾧ ὁ Ὀδυσσεὺς περισχεθεὶς τῷ τοῦ Κύκλωπος σπηλαίῳ λέγει,

Οἵῳ μ' ὁ δαίμων τέρατι συγκαθεῖρξεν.

46 Ὅσα Μῦς ἐν Πίσσῃ: αὕτη ἡ παροιμία εἴρηται ἐπὶ τῶν νενικηκότων τοὺς ἀνταγωνιστὰς διὰ πολλοῦ πό-

---

2. Edebatur *Θηβῶν*. 9. *μ' ὁ* B: erat *με ὁ*. *συγκαθείρξατο* Grotius Excerptt. e tragg et comm. p. 867, Gatackerus Animadv. Miscell. c. X; *συγκαθεῖρξεν ἄν* Hemsterhusius Miscell. Observv. VI, 313: *συγκατῴκισαν* Valckenaerius ad Eurip. Hippol. 1389. Fritzschius ad Aristoph. Thesmoph. p. 498. 12. VB: *ἐν ᾧ Ὀδυσσεὺς λέγει τὸ τοιοῦτον.* *τῷ τοῦ*] P Gaisfordus: *τοῦ* antea deerat. 15. B 194: *Ἄρτι Μῦς πίττης γεύεται: Μῦς ὄνομά ἐστιν, ὥς φασι, Ταραντίνου πύκτου, ὃς ἐνίκησεν ἐν Πίσσῃ πολλὰς πληγὰς λαβὼν κατὰ τὴν ρια Ὀλυμπιάδα. Διηγουμένου δέ τις περὶ αὐτοῦ ἔλεγεν ὅσα ἔπαθεν ὁ Μῦς ἐν τῇ Πίσσῃ. Οἱ δὲ φασι τὸ ζῶον ἐμπεσὸν εἰς πίσσαν δεινὰ πάσχειν καὶ τέλος ἀποθνήσκειν ἀνελθεῖν οὐ δυνάμενον. Πίττῃ* B: *Πίσῃ* Schottus, Kusterus ad Suid. s. *ὅσα Μῦς*: quamquam infra ipsi *Πίσῃ* in textum recepimus, tamen ipsum proverbium non putamus emendatione egere, quum in voce *Πίσσῃ* pro *Πίσῃ* posita dicti sal et acumen contineatur: similiter Aristoph. Equitt. 54: *καὶ πρώην γ' ἐμοῦ Μᾶζαν μεμαχότος ἐν Πύλῳ Λακωνικήν*: ubi voce *Πύλῳ* ad *πύελον* alluditur. 16. *πόνου*] B *κόπου*, qui explicationem in brevius contraxit.

storia vid. Schol. Soph. l. c., Schol. ad Eurip. Phoeniss. 59. Welckerus *Allgem. Schulz.* II Nr. 16 p. 124.

44. Plutarch. 69. Diog. VII, 23. Aut Hercules aut Jupiter significatur: Propert. III, 1, 31. Heynius ad Apollod. II, 197.

45. B. 737. Diog. VII, 19. Apost. XIV, 24. Arsen. 379. Versum nullo jure a VV. DD. Euripidi tribui, ex iis, quae V. D. in *Monthly Review* 1799. *Januar.* p. 100, Schweighaeuserus ad Athen. III, 104. C., Jacobus Quaest. Sophocl. 34 disputavere, satis intelligitur: add. Luetckius de poet. dithyr. diss. p. 79.

46. B. 191 738. Suid. s. *ὅσα μῦς*: vid. ad Diog. II, 64. De

νου· Μῦς γὰρ Ταραντῖνος πύκτης ἐν Πίσῃ ἀγωνιζόμενος, καὶ πολλοὺς ἔχων ἀντιμάχους, πολλὰς πληγὰς λαβὼν, μόλις ἐνίκησεν.

47 Οὐδὲν ἱερὸν ὑπάρχεις: Κλέαρχός φησιν, ὅτι Ἡρακλῆς ἰδὼν τὸν Ἄδωνιν ἱδρυμένον, ἔφη, Οὐδὲν ἱερόν. Εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν παντελῶς εὐτελῶν καὶ ἀχρήστων.

48 Οὗτος ἄλλος Ἡρακλῆς: Κλέαρχος ἐξηγούμενος τὴν παροιμίαν φησὶ τὸν Βριαρέω καλούμενον Ἡρακλέα ἐλθεῖν εἰς Δελφοὺς, καὶ λαβόντα τι τῶν ἐκεῖ κειμηλίων κατά τι παλαιὸν ἔθος, ὁρμῆσαι ἐπὶ τὰς Ἡρακλέους στήλας καλουμένας καὶ τῶν ἐκεῖ περιγενέσθαι. Χρόνῳ δὲ ὕστερον τὸν Τύριον Ἡρακλέα ἐλθεῖν εἰς Δελφοὺς χρησόμενον τῷ μαντείῳ· τὸν δὲ θεὸν προειπεῖν αὐτὸν ἄλλον Ἡρακλέα· καὶ οὕτω τὴν παροιμίαν κρατῆσαι.

49 Οὐδὲ Ἡρακλῆς πρὸς δύο: φασὶν Ἡρακλέα θέντα τὸν Ὀλυμπιακὸν ἀγῶνα, πιστεύσαντά τε τῇ ἑαυτοῦ

---

1. Legebatur *Πίσῃ*: h. l. proverbiorum explanatores *Πίσῃ* sine dubio perspicuitatis causa scripserunt: nam et *Πίσα* et *Πίσση* de urbe dicitur: Liban. Ep. 172. Gesnerus ad Aelian. V. H. IX, 2. 2. Vulgo *πρὸς πολλοὺς*: delevi praepositionem cum B. 16. B *οὐδ'*, Schol. Plat. *πρὸς δύο οὐδ' Ἡρακλῆς*, Suidas *οὐδὲν Ἡ.* BV: *Ἡρακλῆς τῇ ἑαυτοῦ πιστεύσας δυνάμει κατὰ τὸν Ὀλυμπιακὸν ἀγῶνα εἰσῆλθε πρὸς δύο πυκτεύσων τῇ δευτέρᾳ πενταετηρίδι· ἡττήθη δὲ τῇ προτέρᾳ δύο ἀποκτείνας* [καὶ addit V] *Εὔρυτον καὶ Κτέατον* [*Κλέατον* V].

athleta egit Lorentzius de rebus sacris et artt. vett. Tarentin. p. 19.

47. Diog. VII, 13. Apost. XV, 8. Arsen. 395 ibiq. Append. 493: Schol. Theocr. V, 21: *παροιμία ἐστὶ ἐπὶ τῶν μηδενὸς ἀξίων· φησὶ δὲ Κλέανδρος* [*Κλέαρχος* recte Schottus ad n. l.] *ἐν δευτέρῳ τῶν παροιμιῶν, ὅτι Ἡρακλῆς ἰδὼν ἱδρυμένον τὸν Ἄδωνιν, ἔφη οὐδὲν ἱερόν· οὐ γὰρ αὐτὸν ἄξιον τιμῆς ἔκρινεν. Ἄλλως. Ἔστι μὲν οὐδὲν μέγα, ὡς Ἀσκληπιάδης φησί· Διονυσόδωρος δὲ μεταφορὰν εἶναί φησιν ἀπὸ τῶν ἱερῶν καὶ τιμωμένων, μηδὲν ἐχόντων ἱεροῦ καὶ σεβασμοῦ ἄξιον· ἢ οὐδὲν ἱερόν, οὐκ ἔστιν ἄξιος ἱδρύσεως καὶ τιμῆς ὁ τοιοῦτος· κτλ.*: Hesych. Phot. Suidas. Proverbium e Panyasidis Heraclea manasse, O. Muellerus Dorr. II, 474 conjecit. Usurpant Eustath. ad Hom. Il. p. 3, 3, alii: vid. Boisson. Anecd. Gr. III, 20. Clearchi fr. est p. 87 ap. Verraertum.

48. Vid. Diogen. I, 63. De Hercule Tyrio conf. O. Muellerus Dorr. I, 452. infr. V, 56.

49. B. 713: Diog. VII, 2. Schol. ad Aristid. 429 Dind. 155 Frommel. explicationem nullam afferunt: cum Zenobio Suid. s. *οὐδὲν Ἡρακλῆς* consentit: alia affert Schol. Plat. 380 Bekk. coll. Ruhnkenio ap. Geelium in Bibl. Crit. Nov. II, 15: *ταύτης* (παροιμίας) *τὴν αἰτίαν ὁ Λοῦρις οὕτως ἀφηγεῖται· Ἡρακλέα φησὶ βωμὸν διειμάμενον* (εἰσάμενον Sieb.) *ἐπὶ τῷ Λαφείῳ πυγμῆς ἀγῶνα θεῖναι*

δυνάμει, τῇ δευτέρᾳ πενταετηρίδι πρὸς δύο πυκτεύσαντα ἡττηθῆναι. Λέγουσι δὲ τούτους εἶναι οἱ μὲν Λάϊον καὶ Φέρανδρον· οἱ δὲ Κτέατον καὶ Εὔρυτον.

50 Οἱ Κρῆτες τὴν θυσίαν: Ἀγαμέμνων, ὥς φασι, χειμασθεὶς κατηνέχθη εἰς Κρήτην, καὶ ἀναβὰς εἰς τὸ Πολυρρήνιον, θυσίαν ἐπετέλει. Ἐν τούτῳ δὲ οἱ αἰχμάλωτοι τὰς ναῦς ἐνέπρησαν· οἱ ἀπαγγελθέντος αὐτῷ, μεσούσης τῆς θυσίας, τὸ μὲν καιόμενον ἱερεῖον καταλιπεῖν λέγεται, ἐλθεῖν δὲ πρὸς θάλασσαν ταραχθέντα, καὶ μίαν μόλις εὑρόντα ναῦν, ἐπ' αὐτῆς ἀναχθῆναι, πολλὰ καταρασάμενον τοῖς τὴν χώραν οἰκοῦσιν. Ὅθεν εἴ ποτε ταραχώδης θυσία γένοιτο, Κρητικὴν καλεῖσθαι.

51 Ὁ Σικελὸς τὴν θάλασσαν: Σικελός, φασίν,

---

4. VB: Ἀγ. εἰς Κρήτην καταχθεὶς καὶ θύων, ἐπειδὴ ἤκουσεν ἑαυτοῦ τὰς ναῦς ἐμπρῆσαι τοὺς αἰχμ., τὴν θυσίαν ἀπέλιπε καὶ κατελθὼν μίαν εὗρε ναῦν σῶαν [B σώαν]· εἰς ἣν ἀναχθεὶς κατηράσατο τοῖς τὴν πόλιν οἰκοῦσιν· ὅθεν ἐπὶ τῶν ταραχωδῶν θυσιῶν ἡ παροιμία. 11. χώραν] πόλιν H. 12. γένοιτο PH Gaisfordus: γίνοιτο Schottus. 13. C: ὁ Σικιλικὸς τ. θ.: ἢ Ὁ Σικελὸς σῦκα τὴν θ.: ἐπὶ τῶν χαριεντιζομένων πρὸς τοὺς ἀδικήσαντας· σῦκα γὰρ Σικελός τις ἐμπορευόμενος, ναυαγήσας ἐξέπεσε, καὶ καθήμενος ἐπὶ πέτρας, ὡς εἶδε τὴν θάλασσαν γαληνιάζουσαν, οἶδα φησὶν ὁ Θέλεις, σῦκα θέλεις.

καὶ νικήσαντα, τὴν ἑξῆς Ὀλυμπιάδα πάλιν ἀγωνιζόμενον ὑπὸ Ἐλάτου καὶ Φεράνδρου πάλῃ ληφθῆναι καὶ ἐξ ἐκείνου τὸ πρὸς δύο οὐδ' Ἡρακλῆς παροιμιασθῆναι. Ἐχεφυλλίδας δὲ αὐτὸν ὑπὸ Κτεάτου καὶ Εὐρύτου τῶν Μολιονιδῶν ἡττηθῆναι κατὰ τὴν ἐπ' Αὐγείαν στρατείαν· ... [Echephyllidam in proverbio explicando sequuntur Apost. XV, 3. Arsen. 394. Eustath. ad Hom. Il. Λ, 719 p. 882, 35. Phot. Suid. s. οὐδὲ Ἡρακλῆς]· Ἡρόδωρος δὲ καὶ Ἑλλάνικός φασιν ὡς, ὅτε τὴν ὑδρὰν Ἡρακλῆς ἀνῄρει, τὴν Ἥραν αὐτῷ καρκίνον ἐφορμῆσαι, πρὸς δύο δὲ οὐ δυνάμενον μάχεσθαι σύμμαχον ἐπικαλέσασθαι τὸν Ἰόλεων, καὶ ἐντεῦθεν ῥηθῆναι τὴν παροιμίαν. Plato proverbium ita usurpat, ut de origine ejus eum videamus Hellanico adsentientem: Phaedon. 89, C. Euthyd. 297 B: Synesius, ut Echephyllidae et Hellanici rationes conjungat: Encom. Calvit. p. 64 A. Petav.: sed plerumque ita adhibetur, ut quam explicationem scriptor in mente habuerit, dici non possit. Quod valet etiam de eo, qui primus proverbium adhibuisse videtur, de Archilocho: fr. 125 Liebel.: add. Plat. Legg. XI, 919, B. Aristid. περὶ ῥητορ. 102 Jebb. Liban. de Vita sua p. 17. Nicet. Eugen. VI, 557 ibiq. vid. Boissonadus. Alludunt denique poetae: Soph. Electr. 466. Rufin. Anthol. Palat. V, 93: ἦν δὲ βοηθὸν [Ἔρως] Βάκχον ἔχῃ, τί μόνος πρὸς δύ' ἐγὼ δύναμαι: ubi conf. Jacobsius Animadvv. ad Anthol. Tom. II, P. 3 p. 169.

50. B. 719. Diog. VII, 5. Apost. XIV, 15. Arsen. 379: Suidas. Vid. de narratione Hoeckius Cret. II, 407.

51. B. 720. C. 379. Diog. VII, 6. Apost. XIV, 87. Arsen. 388: Schol. ad Aristid. 185 Frommel. Usus est Alcman [p. 16 Welck.] proverbio, narratione Aesopus fab. 309 Fur. 166 Schneider.

ἔμπορος σῦκα ἄγων ἐναυάγησεν· εἶτα ἐπὶ πέτρας καθήμενος, καὶ ὁρῶν τὴν θάλασσαν ἐν γαλήνῃ, ἔφη, Οἶδα ὃ θέλει· σῦκα θέλει.

52 Ὅπου αἱ ἔλαφοι τὰ κέρατα ἀποβάλλουσιν: ὁ Δήμων φησὶν ἐν τοῖς τραχέσι καὶ δυσβάτοις τόποις τοὺς ἐλάφους προστρίβοντας τὰ κέρατα πρὸς τὰς θάμνους, ἀποβάλλειν αὐτά. Ὅθεν ἐπὶ τῶν ἐργώδεις τὰς διατριβὰς ποιουμένων εἰρῆσθαι τὴν παροιμίαν.

53 Οὔθ' ὕεται, οὔθ' ἡλιοῦται: ἡ παροιμία εἴρηται ἐπὶ τῶν ἔξω πάσης φροντίδος ἑστώτων, τουτέστιν, Οὔτε βρέχεται, οὔτε ἡλιοβολεῖται.

54 Οὐδὲ τὸ Δίωνος γρῦ: οὗτος ὁ Δίων Ἀλεξανδρεὺς μὲν ἦν τὸ γένος, διαβόητος δὲ ἐπὶ φιλοσοφίᾳ, ἔχων ἀδελφὸν παλαίστην, † Τόψιον ἐπικαλούμενον. Λοιδορούμενος δὲ ὑπό τινος τῶν ἀνταγωνιστῶν αὐτοῦ καὶ ἀκούων ῥητὰ καὶ ἄῤῥητα, καίτοι πολλοῦ ὄχλου ἐπακολουθοῦντος, αὐτὸς μὲν οὐδὲν ἐφθέγξατο, κατεσταλμένον [αὐτὸν κατὰ] τὸ τῆς φιλοσοφίας παράγγελμα τηρῶν· ἐντὸς δὲ τοῦ ἰδίου πυλῶνος γενόμενος καὶ μηδὲν ὀργῆς

---

1. Vulgo ἐπὶ τῆς πέτρας: B: ἐπὶ πίτρας καθιζόμενος γαλήνης οὔσης ἔφη πρὸς τὴν θάλασσαν, Οἶδα ὃ θέλεις, σῦκα θέλεις. 4. αἱ B om.: videtur verbum e proverbio excidisse: Thomas enim in versione loci Aristotelici habet: vade, ubi cervi cett.: vid. Schneiderus ad Aristot l. c 6. τὰς] H τοὺς. 11. οὔτε — ἡλιοβολεῖται B om. ἡλιοβολεῖται] ἡλιοῦται H. 12. οὐδὲ deest in VB Suida. οὗτος — ἀκούων] BV: Δ. ὁ Ἀλ. γέγονεν ἐπὶ φιλοσοφίᾳ διαβ.· λοιδορούμενος δὲ ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ Διονυσίου, ὃν Ψιώνιον ἐκάλουν καὶ ἀκούων κτλ. 14. Τόψιον] nomen, ut in VB, corruptum: Finckhius: »an Τιρψίων?« de quo vide sup. IV, 19. Ego nomini mirabili crucem praefixi. Aliunde de eo non constare videtur. Schottus λοιδορούμενον: e BV Apostolio correxerunt Wyttenbachius ad Plutarch. περὶ παιδ. ἀγωγ. T. VI, 1 p. 124 et Gaisfordus. 16. VB παρακολουθοῦντος ὄχλου. κατεσταλμένον B V om. 18. [αὐτὸν κατὰ] e conjectura Wyttenbachii adjeci.

52. B. 721. Aristot. Hist. Anim. IX, 6, 1. Diog. VII, 6. Greg. Cypr. III, 21. Apost. XV, 76. Macar. 387 ibiq. Append. 493: Suidas. Adhibetur in oraculo ap. Plutarch. περὶ τοῦ μὴ χρᾶν ἔμμετρα κτλ. p. 403 D, de quo vid. C. Muellerus Aegin. 66. Δήμων] p. 23 Siebel. De re vid. Jacobsius ad Aelian. Nat. Anim. VI, 5.

53. B. 722. Diog. VII, 8. Greg. Cypr. III, 25. Apost. XV, 48: Suidas.

54. B. 908. Stob. Florileg. XIX, 17. Apost. VI, 51. XIX, 21. Arsen. 168: Suid. s. γρῦ, s. τὸ Δίωνος. Dion innuitur philoso-

ὑποφήνας εἶπε πρὸς τὸν νεανίαν οὐδὲ γρῦ. ὁ δὲ ἀθυμήσας ἀπήγξατο.

Εἴρηται δὲ καὶ παρὰ τοῖς Ἀττικοῖς τὸ γρῦ ἐπὶ τοῦ μικροῦ καὶ τοῦ τυχόντος. Καὶ γὰρ τὸν ἐν τοῖς ὄνυξι ῥίπον λέγουσι γρῦ, καὶ γρυτάρια τὰ κατὰ τὴν οἰκίαν λεπτὰ σκευάρια, καὶ γρυτοπώλην τὸν τὰ σκευάρια πωλοῦντα.

55 *Οὐδ' ἴκταρ βάλλειν: τὸ ἴκταρ σημαίνει ἐγγύς· τουτέστιν οὐδὲ ἐγγύς ἐστιν· εἴρηται δὲ κατὰ γλῶτταν, ὥσπερ τὸ Διωλύγιον κακὸν σημαίνει τὸ μέγα. Μέμνηται δὲ ἀμφοτέρων ὁ Πλάτων. τοῦ μὲν διωλύγιον ἐν Θεαιτήτῳ, τοῦ δ' ἴκταρ βάλλειν ἐν Πολιτείᾳ.*

56 *Ὄρτυξ ἔσωσεν Ἡρακλῆ τὸν καρτερόν: αὕτη παρ' οὐδενὶ τῶν ἀρχαίων ἐστί. λέγεται δὲ ἐπὶ τῶν σωζομένων ἀφ' ὧν οὐκ ἤλπισαν. Φησὶ δὲ Εὔδοξος Ἡρακλέα τὸν Τύριον ὑπὸ Τυφῶνος διαφθαρῆναι· τὸν Ἰόλαον δὲ ἅπαντα πράττοντα διὰ τὸ ἀναστῆσαι τὸν Ἡρακλέα, τὸν ὄρτυγα, ᾧ ἔχαιρεν Ἡρακλῆς, ζῶντα καῦσαι· ἐκ δὲ τῆς κνίσσης ἀναβιῶναι τὸν Ἡρακλέα.*

---

1. Verba ὁ δὲ — τὸ γρῦ **B** om. 5. λέγουσι γρῦ] γρὺ λέγουσιν **B**. 6. γρυτοπώλην] **B** male γρυπῶλον. 7. **B** οὐδ' ἴκ. βάλλειν: ἀντὶ τοῦ οὐδ' ἐγγύς: reliqua ignorat. 12. vulgo Ἡρακλῆν: mutavi e **B**. αὕτη — ἐστί] **BV** om. 13. λέγεται — σωζ.] **V** om. 14. ἀφ' ὧν] **VB** παρ' ὧν. Φησὶ κτλ.] φασὶ γὰρ τὸν Ἡρ. ὑπὸ Τυφ. διαφθαρέντα, πράττων [**V** πράττειν] ὁ λαὸς (sic) ὑπὲρ τούτων (**B** τοῦ τούτου) ἀναστῆναι, ὄρτυγα ᾧ ἔχαιρε ζῶντα κατέκαυσεν· ἐκ δὲ τῆς κνίσσης [**V** κοίτης] αὐτὸς ἀνεβίω. 15. Ἰόλαον Gaisfordus ex Athenaeo reposuit: Schottus τὸν λαόν. 18. ἀναβιῶναι ex Athenaeo et **BV** dedi: legebatur μεταβιῶναι.

phus ille Academicus, ut patet ex Stobaeo et apophth. Arsenii: vid. Walzius ad Arsen. l. c.: de Dione vid. sup. V, 10. εἴρηται κτλ.] similia afferuntur a Schol. Arist. Plut. 17. Hesych. v. γρῦ. Philemon. 299. Herodian. 436 Piers. Suid. v. γρῦ. Tzetz. Chiliad. IV, 887. Cramer. Anecd. II, 20, 19. Bekker. Anecd. 228, 2. Zonar. 455.

55. B. 724. Apost. XV, 6. Arsen. 395: Schol. ad Plat. 418 Bekk. ad Lucian. Lexiph. § 21. Eustath. ad Hom. Odyss. Ψ init. p. 1936, 12: Hesych. v. ἴκταρ. Suid. v. ἴκταρ et οὐδ' ἴκταρ. Zonar. 1102. Thom. Mag. 188 Ritschl. De voce ἴκταρ vide quae exposuit Ruhnkenius ad Tim. Lexic. Plat. 143. Διωλύγ. κακ.] vid. Zenob. III, 34. Plat. Theaet. 162 A. Reip. IX, 575. C: add. Blomfieldus ad Aesch. Agam. gl. 114.

56. B. 725. Diog. VII, 10. Apost XIV, 80. Arsen. 387 ibiq. Macarius: cod. Piersoni post Moerin p. 479: Athen. IX, 392 D: Εὔδοξος δ' ὁ Κνίδιος ἐν πρώτῳ γῆς περιόδου τοὺς Φοίνικας λέγει θύειν τῷ Ἡρακλεῖ ὄρτυγας διὰ τὸ τὸν Ἡρακλέα τὸν Ἀστερίας καὶ Διὸς πορευόμενον εἰς Λι-

57 *Οἶκοι τὰ Μιλήσια*: *ἡ παροιμία τέτακται ἐπὶ τῶν ὅπου μὴ προσήκει τὴν τρυφὴν ἐπιδεικνυμένων. Ἀριστα-γόρας γὰρ ὁ Μιλήσιος ἐλθών ποτε εἰς Λακεδαίμονα ἠξίου βοηθεῖν τοῖς Ἴωσι πολεμουμένοις ὑπὸ Περσῶν· ἐδημηγόρει δὲ ἐσθῆτα ἔχων πολυτελῆ καὶ τὴν ἄλλην τρυ-* 5 *φὴν τὴν Ἰωνικήν. Εἶπεν οὖν τις πρὸς αὐτὸν τῶν Ἐφόρων, Οἶκοι τὰ Μιλήσια.*

58 *Ὁ παῖς τὸν κρύσταλλον*: *ἐπὶ τῶν μήτε κατέχειν δυναμένων μήτε μεθεῖναι βουλομένων ἡ παροιμία εἴρηται. Μέμνηται αὐτῆς Σοφοκλῆς Ἀχιλλέως ἐρασταῖς.* 10

59 *Ὁ Σκύθης τὸν ἵππον*: *ἐπὶ τῶν κρύφα τινὸς ἐφιεμένων, φανερῶς δὲ ἀπωθουμένων καὶ διαπτυόντων αὐτὸ εἴρηται ἡ παροιμία. Μαρτυρεῖ δὲ καὶ Πίνδαρος λέγων·*

Ἄνδρες τινὲς ἀκκιζόμενοι Σκύθαι 15

---

2. τρυφὴν] PH τροφὴν. 3. ποτε B om. 4. βοηθῆσαι B. 6. VB: εἶπεν οὖν τις αὐτῷ τῶν Ἐφόρων κτλ. 8. VB: ἐπὶ τῶν μὴ κατίσχειν δυναμένων, ἃ κατέχουσιν. 9. μεθεῖναι] PH μεθῆναι, Schottus μεταθῆναι, Plutarchus μαθεῖν: correxit tacite ex Apostolio, aliis Brunckius ad Fragm. Soph. Achill. Erast. I, quem Gaisfordus secutus est. 13. εἴρηται κτλ.] B om. 15. ἀκκιζόμενοι] legebatur ἀγαζόμενοι: correxit Boeckhius: Valckenaerius ἀτιζόμενοι.

βύην ἀναιρεθῆναι μὲν ὑπὸ Τυφῶνος, Ἰολάου δ' αὐτῷ προσενέγκαντος καὶ προσαγαγόντος [νν καὶ πρ. Schottus delenda censuit] ὀσφρανθέντ' ἀναβιῶναι· ἔχαιρε γάρ, φησί, καὶ περιών τῷ ζώῳ τούτῳ: add. Eustath. ad Hom. Od. Λ, 600 p. 1702, 51: videtur narratio cum ὀρτυγοκοπίας ludo cohaerere, de quo vid. Heindorfius ad Plat. Lysid. 211. E. De Hercule Tyrio dictum est sup. V, 48. De Eudoxo conf. Fabric. B. Gr IV, 10.

57. B. 726. Plutarch. I. Greg. Cypr. III, 22. Apost. XIV, 8. Arsen. 378: Eustath. ad Hom. Il. Ω, 444 p. 1358, 11: αὐτοὶ (οἱ Μιλήσιοι) δὲ καὶ ἄλλοις διαδιδόντες τὴν τρυφὴν ἤκουσαν ὀνειδιστικῶς ἐν Λακεδαίμονι τὸ οἶκοι τὰ Μιλήσια καὶ πιχώρια, ἤγουν οἶκοι τρυφᾶτε καὶ μὴ ἐνθάδε· κατὰ δὲ ἑτεροίαν γραφὴν, οἶκοι τὰ Μιλήσια, καὶ μὴ ἐνθάδε: Suidas: aliter Clearchus ap. Athen. XII, 524 B: Κλέαρχος δ' ἐν τετάρτῳ ζηλώσαντάς φησι τοὺς Μιλησίους τὴν Κολοφωνίων τρυφὴν διαδοῦναι καὶ τοῖς πλησιοχώροις, ἔπειτ' ὀνειδιζομένους λέγειν ἑαυτοῖς »Οἰκοῖ τὰ Μιλήσια κἀπιχώρια καὶ μὴ 'ν τῷ μέσῳ:« vid. Verraertus Clearchi frr. p. 20. De Aristagora vid. Herod. V, 50

58. B. 727. Plutarch. 19. Diog. VII, 11. Apost. XIV, 72. Arsen. 386 ibiq. Append. 493: Suidas: cod. Piersoni post Moerin p. 479. Sophoclis fragm. est 162 Dind. Usurpat etiam Plutarch. περὶ ἀδολισχ. 12 p. 508 C.

59. B. 728. Plutarch. 20. Diog. VII, 12. Apost. XIV, 88. Arsen. 388 ibiq. vid. Walzius: Eustath. ad Hom. Il. p. 2, 16: ὅμοιον τῷ παροιμιακῷ Σκύθη, ὃς θεωμένων μὲν Ἑλλήνων ἀπέσχετο ἵππου εὐγενοῦς ἐκπεπνευκότος: Suidas. Pindari fr. est 217 Boeckh., in-

νεκρὸν ἵππον στυγέοισιν λόγῳ κτάμενον ἐν φάει·
κρυφᾷ δὲ σκολιοὺς γέννυσιν ἀνδέροισιν πόδας ἠδὲ κεφαλάς.

60 *Οὐκ εἰμὶ τούτων τῶν ἡρώων: αὕτη τέτακται ἐπὶ τῶν βουλομένων εὖ ποιεῖν· οἱ γὰρ ἥρωες κακοῦν ἕτοιμοι μᾶλλον, ἢ εὐεργετεῖν, ὡς φησι Μένανδρος ἐν Συνεφήβοις.*

61 *Πιτάνη εἰμί: αὕτη παρ' Ἀλκαίῳ κεῖται. Λέγεται δὲ κατὰ τῶν πυκναῖς συμφοραῖς περιπιπτόντων ἅμα καὶ εὐπραγίαις· παρόσον καὶ τῇ Πιτάνῃ τοιαῦτα συνέβη πράγματα, ὧν καὶ Ἑλλάνικος μέμνηται· φησὶ γὰρ αὐτὴν ὑπὸ Πελασγῶν ἀνδραποδισθῆναι καὶ πάλιν ὑπὸ Ἐρυθραίων ἐλευθερωθῆναι.*

62 *Πάντα χάλων σεῖε: παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων· παρῆκται δὲ ἀπὸ τῶν τὰ ἄρμενα χαλώντων.*

---

10. B. 140. Suid. s. v. Νάννακος et τὰ Νανν́ακου κλαύσομαι, Macar. 443., ubi est: Τὰ ἐπὶ Νανν́ακου· ἐπὶ τῆς ἀρχαιότητος πολλῆς. Steph. Byz. v. Ἰκόνιον: Φασὶν ὅτι ἦν τις Ἀνακὸς, ὃς ἔζησεν ὑπὲρ τὰ τριακόσια ἔτη· τοὺς δὲ πέριξ μαντεύσασθαι, ἕως τίνος βιώσεσθαι. ἐδόθη δὲ χρησμὸς, ὅτι τούτου τελευτήσαντος πάντες διαφθαρήσονται. οἱ δὲ Φρύγες ἀκούσαντες ἐθρήνουν σφοδρῶς. ὅθεν καὶ παροιμία· Τὸ ἐπὶ Ἀννακοῦ κλαύσειν (l. κλαῦσαι vel κλαύσει altera persona fut.), ἐπὶ τῶν λίαν οἰκτιζομένων. γενομένου δὲ τοῦ κατακλυσμοῦ ἐπὶ Δευκαλίωνος διεφθάρησαν. Cfr. Buttmann. Mythol. I, 176 sqq. — »Hermogenem ἐν τῷ περὶ Φρυγίας citat Schol. Apoll. Rhod. II, 724. Eundem librum respexisse videtur Steph. Byz. s. v. Ἄζανοί.« Gaisford. Haec adde Vossio de Hist. Grr. p. 450. Westerm.

11. Uberius Suidas s. v. εἶπος τὰ τρία p. 3503, A. Gaisf. et rursus p. 3600, C. Confer Apostol. XVIII, 20. et supra Zenob. III, 100. Ad ultima Ἄλλοι δέ φασιν

12 *Τὸ περὶ Δρῦν σκότος: Ἀριστοτέλης φησὶν ἐν τῇ Σαμίων πολιτείᾳ, Πριηνέας πολλοὺς ὑπὸ Μιλησίων ἀναιρεθῆναι περὶ τὴν καλουμένην Δρῦν· ὅθεν καὶ τὰς Πριηνείας γυναῖκας ὀμνύναι τὸ περὶ Δρῦν σκότος.*

13 *Τὰς ἐν τῇ φαρέτρᾳ ψηφῖδας: Φύλαρχος φησὶ τοὺς Σκύθας μέλλοντας καθεύδειν ἄγειν τὴν φαρέτραν, καὶ εἰ μὲν ἀλύπως τύχοιεν τὴν ἡμέραν ἐκείνην διαγαγόντες, καθιέναι εἰς τὴν φαρέτραν ψηφῖδα λευκήν· εἰ δὲ ὀχληρῶς, μέλαιναν. Ἐπὶ τοίνυν τῶν ἀποθνησκόντων ἐκφέρειν τὰς φαρέτρας καὶ ἀριθμεῖν τὰς ψήφους· καὶ εἰ εὑρεθείησαν πλείους αἱ λευκαὶ, εὐδαιμονίζειν τὸν ἀπογενόμενον. Ὅθεν παροιμιασθῆναι, τὴν ἀγαθὴν ἡμῶν ἡμέραν λεγόντων τῶν ἐκ τῆς φαρέτρας εἶναι. Καὶ Μένανδρος δὲ φησὶν ἐν Λευκαδίᾳ, τὴν ἀγαθὴν ἡμέραν λευκὴν καλεῖσθαι.*

14 *Τί σοι ὁ Ἀπόλλων κεκιθάρικεν; τὸ κεκιθάρικεν, οἷον, ἐμαντεύσατο· ὡς φησὶν Αἰσχύλος ἐν Αἴαντι Λοκρῷ.*

15 *Ταῦτά σοι καὶ Πύθια καὶ Δήλια: ἡ παροιμία εἴρηται ἐπὶ τῶν ὕστατα καὶ τελευταῖα ποιούντων. Μέμνηται δὲ αὐτῆς Μένανδρος. Φασὶ δὲ, ὅτι Πολυκράτης ὁ Σαμίων τύραννος ἑλὼν Ῥήνειαν καὶ ἀναθεὶς αὐτὴν*

---

1. παρὰ δρῦν BV, qui et statim post παρὰ τὴν δρῦν exhibent. 4. Πριηνίας aut Πριηνίων Wyttenbachius in Plut. l. c. Legebatur Πριηνίας. 5. Φύλαρχος PHB: vulgo Φίλαρχος. 7. διαγαγόντες dedi cum BV: vulgo διάγοντες. 9. ἐκφέριν τὰς φαρέτρας] Schottus ἐκφ. τὴν φαρέτραν volebat. 12. ἡμῶν ἡμέραν] ἡμῶν suspectum. 13. τῶν ἐκ τῆς φαρ. dedi cum B: aberat τῶν. 14. Λευκαδίᾳ Meinekius Menand. p. 107, Luchtius. Vulgo Λευκαδίῳ. Praeterea Meinekius φασι et καλεῖν corrigit In BV exstat: Καὶ Μένανδρος τὴν ἀγαθὴν ἡμέραν λευκὴν φησιν ἐν Λευκάδι. 20. »Post Πολυκράτης ὁ Σαμίων folium vel amissum vel transpositum. Nam quae edd. statim exhibent, ea procul dubio ad I, 30. pertinent, quo, sententia poscente, relegavimus. In PH h. l. continuo sequuntur II, 37 — 59.« Gais-

κτλ. alludere videtur Aristoph. Rann. 1525. ibique v. Scholl. et Elmslej. in Arist. Acharnn. 784.

12. B. 880., qui paene ad verbum consentit. Uberius Plutarchus rem narrat Morall. II, 295, F. Cfr. Neumann. Aristotet. Rerumpubl. frr. p. 35. et Panofka Res Sam. p. 28.

13. B. 895. Confer Lucht. de Phylarcho p. 134. et Blomfield. in Aesch. Perss. 306.

14. Suid. Plut. 7. Macar. 448., qui habet τίσιν ὁ Ἀπ. κεκιθάρικεν; Vide Dindorf. Sophocl. fr. Aj. Locr. 18. p. 30., quocum ad Sophoclis fabulam, non Aeschyli, refert Ellendt. Lex. Soph. I, 958.

15. B. 894. Diog. VIII, 35. Suid. Πύθια καὶ Δήλια, Apost. XVII, 95. Ars. 415. Menandri fr. est CCXCV. Meinek.

Ἀπόλλωνι τῷ Δηλίῳ, ἀγῶνα θεὶς κάλλιστον ἠρώτα πέμψας εἰς Δελφούς, πῶς δεῖ καλεῖν τὸν ἀγῶνα, Δήλια καὶ Πύθια; Ἀνεῖλε δὲ αὐτὸς ὁ θεός· Ταῦτά σοι καὶ Δήλια καὶ Πύθια. Ἐσήμαινε δὲ αὐτῷ ὅτι εὐθὺς ἀποθανεῖται· Ὀροίτης γὰρ αὐτὸν ὁ Πέρσης ἐσταύρωσεν.

16 Τάδε Μῆδος οὐ φυλάξει: Δικαίαρχος φησὶν, ὅτι μελλούσης τῆς Ξέρξου στρατείας γίνεσθαι, οἱ Ἕλληνες ἀπογνόντες τῆς σωτηρίας, τὰς οὐσίας αὐτῶν ἀνήλισκον, ἐπιλέγοντες, Τάδε Μῆδος οὐ φυλάξει.

17 Τί οὐκ ἀπήγξω, ἵνα Θήβησιν ἥρως γένῃ: ταύτης Πλάτων ἐν Μενέλεῳ μέμνηται. Φασὶ δὲ, ὅτι ἐν Θήβαις οἱ ἑαυτοὺς ἀναιροῦντες οὐδεμιᾶς τιμῆς μετεῖχον. Καὶ Ἀριστοτέλης δέ φησι περὶ Θηβαίων τὸ αὐτὸ τοῦτο, ὅτι τοὺς αὐτόχειρας ἑαυτῶν γινομένους οὐκ ἐτίμων. Τὸ οὖν, Ἵνα ἥρως γένῃ, κατ' εὐφημισμὸν εἴρηται.

18 Τιθωνοῦ γῆρας: ἐπὶ τῶν πολυχρονίων καὶ ὑπεργήρων τάττεται. Ἱστορεῖται δὲ, ὅτι Τιθωνὸς κατ' εὐχὴν τὸ γῆρας ἀποθέμενος τέττιξ ἐγένετο, ὡς φησὶ Κλέαρχος ἐν τῷ περὶ βίων.

19 Τὸ θερμὸν τοῦ ὀβελοῦ: ἐπὶ τῶν ἀναιρουμένων τὰ χείρονα ἀντὶ τῶν κρειττόνων εἴρηται ἡ παροιμία. Μετενήνεκται δὲ ἀπὸ τῶν ἀπείρως δρασσομένων κατὰ τὸ πεπυρωμένον τῶν ὀβελίσκων. Μέμνηται ταύτης Σοφοκλῆς.

20 Ὑπὸ παντὶ λίθῳ σκορπίος: παροιμία,

Ὑπὸ παντὶ λίθῳ σκορπίος καθεύδει.

---

ford. Ego lacunam explevi assumptis ex B verbis inde a τύραννος — ἐσταύρωσεν. 2. F. ἢ Πύθια. 3. αὐτος] f. αὐτῷ. 8. τῆς σωτηρίας, τὰς οὐσίας αὐτῶν dedi: σωτηρ. αὐτῶν Gaisf. ex PF et »ni fallor« H. Vulgo ἑαυτῶν σωτηρίας τὰς οὐσίας. 11. Μενίῳ edd. vett. et P. 20. αἱρουμένων Suidas. 21. σκορπίος addidi. V habet: Ὑπὸ π. λ. σκορπίος· ἔλλειπει τὸ ὕπιστιν· ἐπὶ τῶν κακοήθων καὶ ἐριστικῶν. Παραινεῖ δὲ μὴ προτελῶς λαλεῖν τοῦ μὴ δηχθῆναι.

16. Apost. XVII, 89. Ars. 441. Plut. 37. Photius.

17. Plut. 47. Suid. Photius.

18. Diog. VIII, 37. Apost. XVIII, 63. Ars. 417. Macar. Plut. 68. Adde Suid. s. v. Καταγηράσαις Τιθωνοῦ βαθύτερον. Usurpat praeter alios Lucianus Diall. Mortt. VII, 1. Ὑπὲρ Τιθωνὸν ἔζη ὁ γέρων.

19. Plut. 97. Suid. Photius. Sophoclis fr. est 949. Dind.

20. Diog. VIII, 59. Suid. s. v. ἀλλ' ἅπαν et ὑπὸ παντὶ λίθῳ, Phot. Hesychius. Arsenius 459: Ὑπὸ π. λ. σκορπίος· λείπει τὸ

21 *Ὕλαν κραυγάζειν: ἐπὶ τῶν μάτην βοώντων ἡ παροιμία εἴρηται. Ἐπειδὴ τὸν Ὕλαν ἀφανῆ γενόμενον ὁ Ἡρακλῆς ἀποβὰς τῆς Ἀργοῦς καὶ μετὰ κραυγῆς πολλὰ ζητήσας οὐχ εὗρεν.*

Ἱστορεῖται δὲ περὶ τοῦ Ὕλα, ὅτι ἡρπάγη παρὰ τῶν Νηρηΐδων διὰ κάλλος. Φασί γάρ τινες, καὶ τὸν Ἡρακλέα σύμπλουν γενέσθαι τῷ Ἰάσονι μετὰ καὶ τοῦ Ὕλα, διὰ δὲ τὴν τούτου ἀπώλειαν λυπηθέντα τὸν Ἡρακλέα εἰς Μυσίαν ἀπολειφθῆναι. Ἐκεῖσε γὰρ οἱ Ἀργοναῦται προσχόντες, τὸν Ὕλαν Ἡρακλέους ἐρώμενον πρὸς θήραν πέμπουσιν· ὁ δὲ διὰ κάλλος ὑπὸ Νηρηΐδων ἁρπαγεὶς ἀνεβόησε. Καὶ Πολύφημος ἀκούσας αὐτοῦ βοήσαντος, σπασάμενος τὸ ξίφος ἐδίωκεν, ὑπὸ λῃστῶν ἄγεσθαι νομίζων, καὶ δηλοῖ περὶ τούτου Ἡρακλεῖ· ζητήσαντος δὲ πολλὰ τὸν Ὕλαν Ἡρακλέους, καὶ μὴ ὑποστρέψαντος διὰ λύπην, ἐπεὶ τὸν ζητούμενον οὐχ εὗρεν, ἡ ναῦς ἀνήχθη. Καὶ Ἡρακλῆς πρὸς Ἄργος ὑπέστρεψεν.

22 *Ὕδωρ δὲ πίνων χρηστὸν οὐδὲν ἂν τέκοις: τοῦτο Δημητρίου τοῦ Ἁλικαρνασέως φασὶν εἶναι λέγοντος,*

Οἶνός τοι χαριέντι πέλει ταχὺς ἵππος ἀοιδῷ·
Ὕδωρ δὲ πίνων χρηστὸν οὐδὲν ἂν τέκοις.

---

1. κραυγάζεις P. 5. *παρὰ τῶν Νηρηΐδων*] »Lege *ὑπὸ τῶν Κρηνίδων*, et mox.« Valckenarius. Apollodorus et Photius *ὑπὸ Νυμφῶν*. 14. *ζητήσαντος* Heynius: vulgo *ζητήσαντι*. 18. *τέκοις* bis P H Gaisf. Vulgo *τέκῃς*. Versus prior sic edebatur: *Οἶνος τοῦ χαρίεν τι φέρειν ταχὺς ἵππος ἀοιδῶν*. Correxi ex aliis auctoribus.

εἴδει. Macarius: *ἐπὶ πολυπλήθει τῶν πανταχοῦ ὄντων πονηρῶν ἀνθρώπων*. Praxillae nobilissimum Scolium in Scholl. Rav. Aristoph. Thesmoph 528 et Ath. XV, 695, D. apponit Ilgen. Scoll. 88. nos Delect. Praxill. fr. 4. Scol. 14. ubi v. quae adscripsimus cll. Emendand. et Addend. p. 471. et Jacobs. Anth. Annotatt. I, 1, 304. Usurpant Sophocles *Αἰχμαλωτίσιν* in Scholl. Nic. Ther. 19. (fr. 35. Dindorf.) Aelian. H. A. XV, 26. *Ὑπὸ παντὶ γὰρ λίθῳ καὶ βώλῳ πάσῃ σκορπίος ἐστί*. Alludit Aristoph. l. c.

21. Diog. VIII, 33. Suid. Photius. Historiola fluxit ex Apollod. I, 9, 19. Photius *ἐπὶ τῶν μηδὲν ἀκουόντων λέγεσθαι* ait. Adde Hesych. s. v. *Ἐπιβοᾷ τὸ Μύσιον*, Eustath. Dionys. Perieg. 805. cll. Welcker. *Allg. Schulztg.* 1830, II, 2. p. 11.

22. Suid. Photius: *Τοῦτο ἐξ ἐπιγράμματος εἶναι μέρος οἱ μὲν Ἀσκληπιάδου, οἱ δὲ Θιαιτήτου φασίν*, cfr. Brunck. Anall. I, 417. Anthol. I, 206. Apost. XIX, 77. Ars. 456. Versus ille *Ὕδωρ δὲ πίνων κτλ.* Cratini est ex Pytine, multum postea usurpatus, v. Aristoph. Eqq. 89 sqq. Athen. II, 39, C. Amphis ibid 14, A. cll.

23 Ὑπὲρ τὰ ἐσκαμμένα: Φάϋλλος ἐγένετο πένταθλος * Πόντιος, ὃς ἐδόκει μέγιστα δισκεύειν καὶ ἅλλεσθαι· ἐπειδὴ οὖν ὑπὲρ τοὺς ἐσκαμμένους πεντήκοντα πόδας εἰς τὸ στερεὸν ἤλατο, τὸ συμβὰν εἰς παροιμίαν περιέστη.

24 Ὕδωρ παραῤῥέει: αὕτη τάττεται ἐπὶ τῶν ἐκ παντὸς ἔργου ἐπαγγελλομένων καταπράξασθαι τὸ προκείμενον. Μετενήνεκται δὲ ἀπὸ τῶν ὑπὸ σπουδῆς εἰς ῥέοντα πλοῖα εἰςβαινόντων καὶ παραβαλλομένων τῷ κινδύνῳ. Μέμνηται αὐτῆς Κρατῖνος ἐν Δραπέτισιν.

25 Ὑπέρου περιτροπή: αὕτη τέτακται ἐπὶ τῶν πάντα ποιούντων καὶ μηδὲν περαινόντων. Μέμνηται αὐτῆς Φιλήμων ἐν Ἥρωσιν.

---

1. BV: Ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν: Ἀπὸ Φαΰλλου τοῦ πενταθλου τόδε, εἰς ὃν (V τὰ δὲ εἰς ὃν) ἐπιγέγραπτο (ἐπιγέγραπται V)· Πέντ' ἐπὶ πεντήκοντα (Πέντε πεντήκ. V) πόδας πήδησε Φάϋλλος. Ἐπεὶ γὰρ ὑπὲρ τοὺς ἐσκαμμένους πεντήκοντα πόδας ἑτέρους ε εἰς τὸ στερεὸν ἐπήδησεν, εἰς παροιμίαν περιέστη. Apostolius XIX, 92. addit pentametrum hunc: Δισκεύειν δ' ἑκατὸν πέντ' ἀπολειπόμενον. Φαΰλλος] Vulgo Φύλλος, v. Bast. Ep. Crit. p. 243. 2. Πόντιος] Sic libri. Editio Basil. Ὀπούντιος. Verum reliquis scriptoribus est Crotoniata, v. Valckenar. Herod. VIII, 47. An Μεταποντῖνον dicere volebant? 3. οὖν PH: vulgo αὖ. 6. ἐκ παντός PHB: vulgo παντός. 10. Δραπέτισιν Gaisf. Libri Δραπέτησιν. 11. περιτροπή] Vulgo ἐπιτροπή: illud Plut., Scholl. Plat., Suid.: περιστροφὴ Hesych. Apost. Ars.: περίτροφον V et Suidas altero loco: περίτροφον· Γρ. ἐπίτροπον B. 12. ταύτης H.

Jacobs. Annotatt. Anthol. VII, 230. Dindorf. in Athen. I, p. 91. Fritzsch. Quaestt. Arist. I, 270. Transtulit Cratini dictum suum in usum Horat. Epp. I, 19, 1.

23. B. 924. Suid. Scholia Plat. p. 19. Ruhnk. 370. Bekker. Ars. 458. Utuntur Plato Cratyl. 413, A. Lucianus Gall. 6. ibique Scholl. Clemens Alex. Stromm. V, 13. p. 696. Basil. Magn. Homil. VI. in Hexaëmeron, alii apud Boissonad. Marin. I. Anecdd. I, 395. De Phayllo cfr. Muelleri Dorr. II, 308.

24. B. 925. Plut. 28. Apost. XIX, 78. Ars. 457. Suidas. Apud Photium est: ὕδωρ παραρέῃ. Cratini fr. X est apud Runkel.

25. B. 923. Hesych. Suid. Apost. XIX, 95. Ars. 459. Philemonis locus est p. 366. Meinek. Photius habet: ἐπὶ τῶν ταὐτὰ ποιούντων καὶ μηδὲν περαινόντων· καὶ αὗται δὲ αἱ παροιμίαι τοῦτο δηλοῦσιν· Ὁ Διὸς Κόρινθος καὶ Αὖθις αὖ Πυθῶδ' ὁδός καὶ Ὁ τὴν δοκὸν φέρων καὶ Οὐ τυφλὸς, ἀλλ' ἐξώρυκται· Πλάτων Ἀδώνιδι· Εἶτ' οὐχ ὑπέρου μοι (codex μὴ) περιτροπὴ γενήσεται; Plato Theaet. 209, E. Καὶ οὕτως ἡ μὲν σκυτάλης ἢ ὑπέρου ἢ ὅτου δὴ λέγεται περιτροπὴ πρὸς ταύτην τὴν ἐπίταξιν οὐδὲν ἂν λέγοι; ubi v. Heindorf. p. 502. Ruhnkenium in Hesych. s. v. et apud Van Heusde Spec. Crit. in Plat. p. 149 sq., ubi haec annotavit: »Tzetz. ad He-

26 *Ὕδραν τέμνεις*: *ἐπὶ τῶν ἀμηχάνων εἴρηται ἡ παροιμία· διὰ τὰς τῆς Ὕδρας κεφαλάς, ἃς τέμνων ὁ Ἡρακλῆς οὐδὲν μᾶλλον ἐκράτει τῆς Ὕδρας, ἀναδιδούσης ἄλλας ἀντὶ τῶν κοπτομένων κεφαλάς.*

Ἡ δὲ Ὕδρα θηρίον ἦν μέγιστον, ἐν τῇ Λέρνῃ τρεφόμενον, κεφαλὰς ἔχουσα ὀκτὼ, μίαν μέσην ἀθάνατον. Ταύτην κατ' ἐπιταγὴν Εὐρυσθέως ὁ Ἡρακλῆς ἔκτεινεν. Ἅρματα γὰρ ἐπιβὰς, ἡνιοχοῦντος Ἰολάου, παρεγένετο εἰς Λέρνην, ὅπου ὁ φωλεὸς αὐτῆς ὑπῆρχε, καὶ βάλλων βέλεσιν ἠνάγκασεν αὐτὴν ἐξελθεῖν, καὶ κρατήσας τὰς κεφαλὰς ἀπέτεμνεν. Ἀλλ' οὐδὲν ἀνύειν ἠδύνατο· μιᾶς γὰρ κοπτομένης, δύο ἀνεφύοντο. Προσκαλεσάμενος οὖν βοηθὸν τὸν Ἰόλαον, ἐπέταξεν αὐτῷ μέρος τι καταπρῆσαι τῆς ἐγγὺς ὕλης, καὶ τοῖς δαλοῖς ἐπικαίειν τοὺς τόπους τῶν τετμημένων κεφαλῶν, καὶ τοῦτον τὸν τρόπον Ἰολάου κωλύοντος τὰς ἀναφυομένας κεφαλὰς, Ἡρακλῆς περιγίνεται τὴν ἀθάνατον ἀποκόψας, τὸ σῶμα δὲ τῆς Ὕδρας ἀνασχίσας, καὶ τῇ χολῇ ταύτης τοὺς ὀϊστοὺς βάψας, θανατηφόρους εἰργάσατο.

27 *Ὑγιέστερος κρότωνος*: *ἐπὶ τῶν πάνυ ὑγιαινόντων ἡ παροιμία, ἀπὸ τοῦ ζώου τοῦ κρότωνος. Λεῖον γάρ ἐστιν ὅλον, καὶ χωρὶς ἀμυχῆς, καὶ μηδὲν ἔχων σίνος. Μέμνηται τούτου Μένανδρος ἐν Λοκροῖς.*

28 *Ὑπὲρ ὄνου σκιᾶς*: *μέμνηται ταύτης ἐν τῷ Ἐγχειριδίῳ Μένανδρος.*

---

13. ἔταξεν H. 16. ἀναφυομένας vulgo: illud P et »nisi fallor« H. 23. τούτου] ταύτης Meinekius. »Nescio an *Κρότωνος* habendum pro antecedente.« Gaisford.

siod. p. 105. Facciolati Acroas. 6. Plut. Morall. II, p. 1072. Toup. ad Suid. III, p. 257. Lucian. T. 1, p. 823.«

26. B. 927. Diog. VIII, 61. Apost. XIX, 85. Arsen. 456. Macar. Suid. Photius. Confer Scholl. Plat. p. 159 Ruhnk., 403 Bekker., Scholl. Aristid. p. 181. Frommel. Usurpat Plat. Rep. IV, 426, E. *Τῷ ὄντι ὥσπερ ὕδραν τέμνουσι.* Plut. Morall. II, 341, F. *ὕδραν τέμνων ἀεί τισι πολέμους ἀναβλαστάνουσαν.* Liban. Ep. 50. Vide Meinek. Quaestt. Scenn. II, 47.

27. Suid. Photius: *Ὑγιέστερος ὄμφακος· παροιμία, ὥσπερ καὶ ὑγιέστερος Κρότωνος· πολλοὶ γὰρ Κροτωνιάται ἀσκηταί· καὶ ὑγιέστερος κολοκύντης.* Explicat Strabo VI, 262 (242.) cll. Wachsmuth. Hell. Alterth. I, 1, 58. Menandri locus est p. 107. Meinek.

28. B. 926. Diog. VII, 1. Apost. XX, 4. Arsen. 458. Phot. et Suid. v. *Ὄνου σκιά* et v. *Ὑπὲρ ὄνου*

Λέγουσι δὲ ὅτι Δημοσθένης ὁ ῥήτωρ ἀπολογούμενος ὑπέρ τινος κινδυνεύοντος, οὐκ ἀνεχομένων τῶν δικαστῶν, εἶπεν· Ἀκούσατε, ὦ ἄνδρες, διηγήματος τερπνοῦ· Νεανίσκος ποτὲ ὄνον ἐμισθώσατο Ἀθήνηθεν Μέγαράδε· μεσημβρίας δὲ καταλαβούσης, καταλύσας τὸν γόμον, ὑπῆλθε τὴν σκιὰν τοῦ ὄνου. Ἐκβαλλόμενος δὲ ὑπὸ τοῦ ὀνηλάτου, πρὸς βίαν διεφέρετο, μεμισθῶσθαι καὶ τὴν σκιὰν λέγων· ἀντιλέγοντος δὲ τοῦ ὀνηλάτου καὶ φάσκοντος τὸν ὄνον μεμισθωκέναι, εἰς δικαστήριον εἰςῆλθον ἀμφότεροι. Εἰπὼν δὲ ταῦτα ὁ Δημοσθένης κατέβαινεν ἐκ τοῦ βήματος. Ἀξιούντων δὲ τῶν δικαστῶν τῆς δίκης τὸ τέλος μαθεῖν, εἶπεν ἀναβὰς πάλιν ἐπὶ τοῦ βήματος· Ὑπὲρ μὲν ὄνου σκιᾶς ἀκούειν, ὦ ἄνδρες, ἐπιθυμεῖτε· ἀνθρώπου δὲ κινδυνεύοντος ὑπὲρ ψυχῆς οὐδὲ τῆς φωνῆς ἀνέχισθε;

Ἄλλοι δὲ λέγουσιν, ὅτι Ἀθήνηθεν εἰς Δελφοὺς τὸν ὄνον ἐμισθώσατο. Ὅθεν, φασὶ, καὶ αὐτὸς ὁ Δημοσθένης περὶ τῆς ἐν Δελφοῖς σκιᾶς φησὶ, καὶ ὁ Πλάτων δὲ, καὶ ἄλλοι πολλοί. Καὶ Ἀρχίππῳ δὲ κωμῳδία γέγονεν, Ὄνου σκιά. Τάττεται δὲ ἐπὶ τῶν περὶ μηδενὸς χρησίμου φιλοτιμουμένων.

29 *Ὑπὲρ τὰ Καλλικράτους: Κλέαρχός φησιν, ὅτι Καλλικράτης τις ἐγένετο ἐν Καρύστῳ πλουσιώτατος. Εἴ ποτε ἐθαύμαζόν τινα οἱ Καρύστιοι ἐπὶ πλούτῳ ὑπερβολικῷ, ἔλεγον, Ὑπὲρ τὰ Καλλικράτους. Ἀριστοτέλης δὲ φησιν ἐν τῇ Ἀθηναίων πολιτείᾳ, Καλλικράτην*

---

2. τῶν δικαστῶν **B.** **5.** ὑπῆλθε **BP**: vulgo ἀπῆλθε εἰς: **V** ὑπῆλθεν εἰς τὴν σκιάν. **7.** μεμισθῶσθαι dedi ex **BV**: rell. μεμισθωκέναι. **8.** τοῦ ὀνηλ. **BPH.** Rell. om. τοῦ. **10.** ἐπὶ τὰ βῆμα **V.** **13** ὦ δικασταὶ ἐπιθυμεῖται **V.** **16.** Ὅθεν — ὄνου σκιά om. **B.** **22.** ἐν Κορίνθῳ **Diog. Apost. Ars.**

σκιᾶς. Confer Meinek. Menandri Rell. p. 57. Cum Zenobio fere concinunt Scholl. Arist. Vespp. 191., ubi duae narrationes verbis diversae, re eaedem prostant. Sophoclem Cedalione usum proverbio ait Suidas: praeterea Aristophanem Daedalo fr. 238. Dindorf. et Aristotelem ἐν διδασκαλίαις narrat καὶ δράματός τινος φέρειν ἐπιγραφὴν Ὄνου σκιάν; Archippi dicit. De narratione Demosthenica vide Scholl. Plat. p. 317., Phot. Bibl. Cod. CCLXVI. Bernhardy ad Suid. p. 1133. Usurpat Origenes c. Cels. III, init., v. Intpp. Lucian. Hermot. 71. (IV, 417. Bip.) et Ast. Plat. Phaedr. p. 260, C.

29. Diog. VIII, 62. Apost. XIX, 86. Arsen. 458. Plut. III. Suid. Photius. Vid. Verraertus ad Clearch. frr. p. 88. 103.

τινὰ πρῶτον τῶν δικαστῶν τοὺς μισθοὺς εἰς ὑπερβολὴν αὐξῆσαι· ὅθεν καὶ τὴν παροιμίαν εἰρῆσθαι.

30 Ὑπερβερεταῖα: ἐπὶ τῶν ὑπερχρονίων εἴρηται. Παρὰ γὰρ Μακεδόσιν ὁ τελευταῖος μὴν τοῦ ἐνιαυτοῦ Ὑπερβερεταῖος ἀνεγράφη.

31 Φόνου πτερόν: τὸν διὰ τῶν ὀϊστῶν, πτερόεντα ἢ ταχύν. Βέλτιον δὲ ἀκούειν περιφραστικῶς τὸν φόνον.

32 Φρουρεῖν ἢ πλουτεῖν: ἐπὶ τῶν ἀναλισκόντων ἐκ τῶν ἀλλοτρίων ἡ παροιμία εἴρηται. Ἀθηναῖοι γὰρ φρουραῖς διαλαβόντες τοὺς νησιώτας, μισθοὺς ἔταξαν μεγάλους τοῖς φυλάττουσιν ὑπ' αὐτῶν χορηγεῖσθαι τῶν νησιωτῶν.

33 Φρουρῆσαι ἐν Ναυπάκτῳ: Φιλίππου Ναύπακτον ἑλόντος Ἀχαιοὶ τοὺς φρουροὺς ἀπέσφαξαν καὶ Παυσανίαν τὸν ἄρχοντα τῆς φρουρᾶς ἀπέκτειναν, ὡς φησι Θεόπομπος.

34 Φιλίππου Ἀλεκτρυών: αὕτη τάττεται ἐπὶ τῶν ἐν μικροῖς κατορθώμασιν ἀλαζονευομένων. Ἀλεκτρυὼν γάρ τις ἐγένετο Φιλίππου στρατηγὸς, ὃν ἀπέκτεινεν, ὡς φασι, Χάρης ὁ Ἀθηναῖος. Μέμνηται δὲ αὐτοῦ Ἡρακλείδης ὁ κωμικὸς, καὶ Ἀντιφάνης.

35 Φωκαέων ἀρά: οἱ Φωκαεῖς ποτὲ τῆς αὐτῶν

---

1. τῶν δικαστῶν PH: vulgo om. τῶν. 3. Ὑπερβιριταῖος B. 4. παρὰ] περὶ P. ἐνιαυτοῦ om. H indicata lacuna. 6. φόνου πτ. ἢ θανάτου πτερὸν Apostolius. 13. φρουρήσαιο P: φρουρήσεις Suidas. 14. τοὺς φρούρους Gaisfordus addidit ex P: in HF est lacuna: B τοὺς φρουροὺς ἀπέκτειναν. 22. αὐτῶν dedi: BV ἑαυτῶν: vulgo αὐτῶν.

30. B. 925. Diog. VIII, 63. Apost. XIX, 89. Arsen. 458. Suidas.

31. Apostol. XX, 28. Aeschylum aliquem sapit. Confer Naek. Choeril. p. 191. Hermann. Eur. Hel. 76.

32. B. 931. Suid. Arsen. 464: ἐπὶ τῶν περδαίνειν ἐφιεμένων.

33. B. 932. Suid.

34. Apost. XX, 23. Arsen. 462. Macar. Ex Theopompo Ath. XII, 532, D sq. Ἀδαῖος, Ἀλεκτρυὼν ἀποκαλούμενος, περὶ οὗ καὶ ὁ Ἡρακλείδης ὁ τῶν κωμῳδιῶν ποιητὴς μέμνηται οὕτως· Ἀλεκτρυόνα τον τοῦ Φιλίππου παραλαβὼν Ἀωρὶ κοκκύζοντα καὶ πλανώμενον Κατέκοψεν· οὐ γὰρ εἶχεν οὐδέπω λόφον. Ἕνα κατακόψας μάλα συχνοὺς ἐδείπνισε Χάρης Ἀθηναίων τόδ'· ὡς γενναῖος ἦν. — Τὰ αὐτὰ ἱστορεῖ καὶ Λοῦρις.

35. B. 936. Plut. 71. Macar. 465.: ἐπὶ τῶν ἰσχυρῶς καταρωμένων· ἢ ἐπὶ τῶν μεταγνωσκόντων ἐφ' οἷς ἔπραξαν; Suidas. Vide Herod. 1, 165.

ἐκπεσόντες ἐπηράσαντο μηδέποτε κατελθεῖν εἰς αὐτήν. Μέμνηται ταύτης Ἡρόδοτος ἐν τῇ πρώτῃ.

36 Φασηλιτῶν θῦμα: ἐπὶ τῶν εὐτελῶν καὶ ἀναίμων λέγεται. Φασὶ γὰρ τοὺς Φασηλίτας ταρίχους τοῖς θεοῖς θύειν.

37 Φώκου ἔρανος: αὕτη λέγεται κατὰ τῶν εὐωχίας συναγόντων ἐπὶ τῷ ἑαυτῶν κακῷ. Φῶκος γάρ τις θυγατέρα ἔχων ἐπίγαμον, πολλῶν αὐτὴν μνηστευομένων, ἐράνους συνῆγε, καὶ ἑστιῶν τοὺς μνηστῆρας ἀνεβάλλετο τὸν γάμον. Ὀργισθέντες οὖν ἐκεῖνοι ἐν τῷ συμποσίῳ ἀπέκτειναν τὸν Φῶκον.

38 Χαλεπὰ τὰ καλά: παροιμία, ἧς μέμνηται καὶ Πλάτων. Ἐλέχθη δὲ ἐντεῦθεν· Περίανδρον τὸν Κορίνθιον κατ' ἀρχὰς μὲν εἶναι δημοτικόν, ὕστερον δὲ τὴν προαίρεσιν μεταβαλεῖν καὶ τυραννικὸν ἀπὸ δημοτικοῦ γενέσθαι· καὶ ταῦτα Πιττακὸν πυθόμενον τὸν Μιτυληναῖον καὶ δείσαντα περὶ τῆς ἑαυτοῦ γνώμης, φυγεῖν τότε τυραννοῦντα Μιτυληναίων. Ἀλλὰ πυνθανομένων δι' ἣν αἰτίαν ἀφίστατο τῆς ἐξουσίας, εἰπεῖν τὸν Πιττακὸν, Ὡς ἄρα χαλεπὸν ἐσθλὸν ἔμμεναι· νομίσαντα διὰ τὰ συμβάντα τῷ Περιάνδρῳ δυσχερέστατον εἶναι τηρῆσαι τὴν ἑαυτοῦ γνώμην. Σόλωνα δὲ ταῦτα πυνθανόμενον εἰπεῖν, Χαλεπὰ τὰ καλά· καὶ ἐντεῦθεν εἰς παροιμίαν ἐλθεῖν. Ἄλλοι δὲ τὸ Χαλεπὸν ἀκούουσιν ἐπὶ τοῦ ἀδυνάτου. Ἀδύνατον οὖν εἶναι ἐφ' ἅπαντα ἀγαθόν.

---

4. In V erat: *Φασηλίτας γὰρ τάριχον τῷ Καλαβρῷ θύειν. Ἄφενε τῶν Φασηλιτῶν ὦ γύναι τρεῖς χοίνικας.* Dicit Arist. Pac. 1144. *Ἀλλ' ἄφενε τῶν φασήλων κτλ.* *τάριχος* A Bodl.: *τάριχον* cum V Photius, Suidas, Apost. Ars. 8. *ἐπίγαμον* Diogenianus: *ἐπὶ γάμον* H: vulgo *ἐπὶ γάμου*. 17. *περὶ τῆς ἑαυτοῦ* dedi ex Scholl. Plat.: vulgo *περὶ τῆς αὐτῆς*: *περὶ ταύτης τῆς* H.

36. B. 934. Plut. 72. Apost. XX, 14. Arsen. 462. Suid. Photius: *Φασηλίτας γὰρ τάριχον τῷ Κολάβρῳ* (*τῷ Κυλάβρᾳ* Toup.) *θύειν φησὶ Καλλίμαχος ἐν βαρβαρικοῖς νομίμοις* p 218. Blomf.

37. Diog VIII, 66. Plut. 123. Apost. XX, 45. Arsen. 465. Suidas. De narratione v. Plut. *Ἐρωτικὰ* II, 774, D. et confer Muelleri Orchom. p. 414.

38. B. 940. Apost. XX, 47. Arsen. 472. Macar. Hesych. Suid. Scholl. Plat. p. 14 et 135. Ruhnk., 369 et 394. Bekker. Amat Plato: v. Rep. IV. 435, C. VII, 497, D. Cratyl. 384, A. Hipp. Maj. 304, E. Confer Wyttenbach. Plut. Symp. VII, 147. et nos ad Simonid. Ceum p. 19 sqq. De illis qui *χαλεπὸν* intelligebant *ἀδύνατον* v. Plat. Protag. p. 339, A sq.

39 *Χαραδραῖος λέων*: *ὁ παρὰ ταῖς Χαράδραις, εἰ μὴ ἄρα τὸν Θεσπιακὸν λέγει, ὃν πρῶτον ἀνεῖλεν Ἡρακλῆς ἐν Θεσπιαῖς. Χαράδρα δὲ καλεῖται ὁ τόπος.*

40 *Χάραξ τὴν ἄμπελον*: *παροιμία, ὅταν ὑπὸ τοῦ σώζοντος τὸ σωζόμενον πάθῃ. Ἀναγράφει δὲ αὐτὴν κακῶς Ἀριστοφάνης,*

Ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.

41 *Χαρώνιος θύρα*: *μία τοῦ νομοφυλακίου θύρα, δι' ἧς οἱ κατάδικοι τὴν ἐπὶ θανάτου ἐξάγονται.*

42 *Χαῖρε φίλον φῶς*: *γραῦς θέλουσα ἀκολασταίνειν γυμνὴ, ἵνα μὴ τὴν ῥάκωσιν τοῦ σώματος ἐλέγξῃ, τὸν λύχνον ἀποσβέσασα εἶπε, Χαῖρε φίλον φῶς.*

43 *Χρήματα χρήματ' ἀνήρ*: *αὕτη ἀποφθεγματικὴ ἐστὶν, ὡς τὰ παραγγέλματα τῶν ἑπτὰ σοφῶν. Μέμνηται αὐτῆς Πίνδαρος. Ἀλκαῖος δὲ ὁ ποιητὴς ὑπὸ Ἀριστοδήμου τοῦ Λακεδαιμονίου εἰρῆσθαι ταύτην φησίν.*

44 *Χειροβρῶτι δεσμῷ*: *τοῖς πυκτικοῖς ἱμᾶσι. Διὰ*

---

2. *εἰ μὴ ἄρα* **dedi**: *ἄρα* **om. PH. Uterque om. quod post** *Θεσπιαῖς* **legebatur** *Χαράδραις*. **Retinet B. 8. V** *χαρώνειος*. **9.** *ἐξήγοντο* **BV. 13.** *χρήματα χρήματ'* **dedi ex B: aberat prius. 17.** *πυκτικοῖς ἱμᾶσι* **Vat. A Bodl. Hesychius. Vulgo** *ποκτικοῖς ἵμασι*.

39. B. 941. Suidas.

40. B. 942. Suid. Hesych. Thomas Mag. 393, 16, Ritschl. *Ἡ παροιμία· Ἡ χάραξ τὴν ἄμπελον ἐλυμήνατο· ἐπὶ τῶν καθ' ἑαυτῶν εἰσαγόντων βοηθούς.* Aristophanis locus est Vespp. 1291., ubi v. Scholl.

41. B. 943. Diog. VIII, 68. Hesych. Suid. Confer Boissonad. ad Psell. p. 235.

42. Diog. VIII, 7. Apost. XX, 60. Arsen. 474. Suidas. Aliter explicat Plut. Morall. II, 705, C. Ridebis mecum Apostolium cum Arsenio suo. Nam quum reperissent *γραῖς γυμνῇ*, interpretabantur *γυνῇ*. Hinc progenuerunt haec: *γυναῖκα βουλομένην ἀκολασταίνειν σβέσασαν τὸν λύχνον φασὶ τοῦτο εἰπεῖν· ἕτεροι δὲ γραῦν*. Ita isti saepe, ut interdum vel evolvisse taedeat pigeatque. Tetigit proverbium Hemsterhusius Arist. Plut. 1066. Vetulam istam patet traducere Tragicorum morem *φίλον φῶς* et *αἰθέρα* et simm. alloquentium.

43. B. 951. Apost. XX, 83. Arsen. 476. Suid. alii. Pindarus usurpat Isthm II, 11., ubi *Χρύσιππος ἐν τῷ περὶ παροιμιῶν* Aristodemo tribuisse narratur: Alcaei fr. est L. Matth., 41. in Del. nostro, ubi v. quae diximus.

44. B. 944. Hesych. Suid, sed omnes omissis illis miris verbis *ἐδιήθη κτλ.* Stesichori mentionem non fecit Kleinius: supplevi ad Ibyc. Rheg. p. 167 sqq., ubi inter plura mirifica quaedam posui bona. Recepi in Delectum, ubi est Stesich. fr. 4.

τὸ τὰς σάρκας διακόπτειν καὶ ἀναλίσκειν. Βέλτιον δὲ τὸν δισμὸν ἀκούειν, τὸν ἀποβιβρώσκοντα τῶ χεῖρε. Ἐδείήθη γὰρ ἔν τινι πετραίῳ Στησίχορος εἰναρχεῖν τῶν ἐπὶ Πελίᾳ ἄθλων.

45 Χθόνια λουτρά: τὰ τοῖς νεκροῖς ἐπιφερόμενα. Ἐκομίζετο γὰρ ἐπὶ τοὺς τάφους λουτρά.

46 Χειρώνειον ἕλκος: τὸ ἀπὸ πολλῆς στάσεως ἐν τοῖς ποσὶ γινόμενον τραῦμα, καὶ διηνεκῶς ἰχῶρας ἐκκρῖνον. Τοξευθεὶς γὰρ ὑπὸ Ἡρακλέους ὁ Χείρων, μάχην πρὸς Κενταύρους ἐνστησαμένου, ἀνίατον ἔσχεν ἕλκος περὶ τὸν πόδα· δι' οὗ καὶ ἀπέθανεν. Ὅθεν ἡ παροιμία ἐπὶ τῶν ἀνιάτων προήχθη τραυμάτων.

47 Χρυσὸς ὁ Κολοφώνιος: μέμνηται ταύτης Ἀριστοφάνης ἐν Κωκάλῳ. Εἴρηται δὲ, παρόσον οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν ἐργάζεσθαι νομίζονται. Καὶ Ἡρόδοτος δὲ Κολοφώνιον καλεῖ τὸν ἄριστον χρυσόν.

48 Χαμαὶ ἀντλεῖς, Πλίνθον πλύνεις, Φακὸν κόπτεις: αὗται πᾶσαι ἐπὶ τῶν τοῖς ἀδυνάτοις ἐπιχειρούντων εἴρηνται.

49 Ψώρα Ἡράκλειος: ἡ τῶν Ἡρακλείων λουτρῶν δεομένη πρὸς θεραπείαν. Ἡ γὰρ Ἀθηνᾶ τῷ Ἡρακλεῖ ἀνῆκε πολλαχοῦ θερμὰ λουτρὰ πρὸς ἀνάπαυλαν τῶν πόνων, ὡς φησὶ καὶ Πείσανδρος ὁ ποιητὴς ἐν τοῖς περὶ Ἡρακλέους.

---

1. δὲ τὸν δισμὸν A: vulgo δισμόν. 2. Ἐδείήθη κτλ.] Olim inepte tentata Ibyc. Rheg. p. 169. sanavit G. Hermannus in Jahn. Annall. 1833, 8. p. 386. ἐδείθησαν γὰρ ἔν τινι σπείρᾳ. 3. εἰναρχεῖν τῶν ἐπὶ Πελίαν ἄθλων] Ad Ibyc. Rheg. l. c. tentavi: ἐν ἀρχῇ τῶν ἐπὶ Πελίᾳ ἄθλων. Nunc Πελία H. Correcta »saltim ingeniose« ait Gaisford. 9. τοξευθεὶς P: vulgo τοξευθέν. 17. χαμαὶ ἀντλεῖν om. cod. Mazarin. A 86. apud Boisson. Ann. I, 398. In B est: Πλίνθον πλύνεις, χαμαὶ ἀντλεῖς, φακὸν κόπτεις, θάλασσαν ἀντλεῖς. 23. Πείσανδρος Ruhnkenius ex Scholl. Aristoph. Nubb. 1047., v. Heyn. Excurs. I.

45. Diog. VIII, 69. Apost. XX, 73. Arsen. 475. Macar.

46. Apost. XX, 68. Arsen. 475. Confer Intpp. Suid. s. v.

47. Plut. 115. Apost. XX, 99. Arsen. 477. Suidas. Aristophanis locus est fr. 131. Dindorf. Herodoti locum non invenio.

48. B. 780. Plut. 82. Suidas. Confer Diog. VII, 50. Suid. s. v. Πλίνθους πλύνεις, Plutarch. Boiss. Ann. I, 394. Φακοῦ γωνίαν κάμπτεις est Boiss. Ann. I, 397. B. 930 cum Suida: Φακὸν κόπτειν· ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων.

49. Diog. V, 7. Plut. 21. Apost. IX, 97. Arsen. 279. Macar. Suidas. De θερμοῖς λουτροῖς Her-

50 Ὥσπερ Χαλκιδικὴ τέτοκεν ἡμῖν ἡ γυνή: ταύτης Πολύζηλος μέμνηται ἐν Μουσῶν γοναῖς, ἐπί τινος πολλὰς θυγατέρας ἀπογεννώσης· ἐπειδὴ Χαλκίδα τῆς Εὐβοίας πόλιν φασὶ ποτὲ ἀνθῆσαι δόρασί τε καὶ πλήθει τετρώρων ἁρμάτων. Οἱ δὲ φασὶν οὐ τὴν πόλιν, ἀλλὰ τὴν ἡρωΐδα Χαλκίδα εἰρῆσθαι. Κόμβην γὰρ φασὶ, τὴν ἐπικληθεῖσαν Χαλκίδα, ἐπειδὴ ὅπλα χαλκᾶ ἐποιήσατο, πρώτην συνοικήσασαν ἀνδρὶ ἑκατὸν παίδων γενέσθαι μητέρα, ὡς ἱστοροῦσιν οἱ τὰ Εὐβοϊκὰ συγγράψαντες καὶ Ἄριστος ὁ Σαλαμίνιος.

51 Ὡς οὐχ ὑπάρχων, ἀλλὰ τιμωρούμενος: ταύτης μέμνηται Μένανδρος ἐν Ὀλυνθίᾳ.

52 Ὡς τὴν ἐν Ἄργει ἀσπίδα καθελὼν σεμνύνεται: οἱ μὲν ἱερὰν φασὶν εἶναι ἐν Ἄργει ἀσπίδα καθηλουμένην ὀχυρὰν καὶ δυσκαθαίρετον. Οἱ δὲ λόχον φασὶν εἶναι ἐν Ἄργει τῶν πάνυ ἀκμαζόντων νεανίσκων, ὃν Ἀσπίδα καλεῖσθαι.

---

in Virg. Aen. II, p. 287. Bast. in Greg. Cor. 350., Mueller Dorr. I, 427. 1. ἡ γυνὴ dedi ex B: aberat ἡ. 4. φασί ποτε ἀνθῆσαι δόρασι] BV φασί π. ἀ. φορᾷ καὶ πλήθει. Vulgo φ. π. ἐν θησαιδόρασι. Trimetrum esse in vv. Δόρασί τε καὶ πλήθει τετρώρων ἁρμάτων observavit Welckerus Tril. Aesch. p 197. Valckenarius et manus ignota in marg. ed. Aldin. in Bibl. Bodl. εὐθηνῆσαι adscripserant. 6. Καλχίδα P: καλκίδα F. Seqq. om B. 11. Schottus Πειρωθίᾳ non recte tentabat. 13. σεμνήνισθαι H. 14. ἱερά H. καθηλουμένην Meursius: vulgo καθειλουμένην: A Bodl. καλουμένην. 15. ἐχυρὰν BV.

culis v. quae explicavi Ibyc. Rheg. p. 180 sqq.

50. B. 956. Κόμβην matrem Curetum vocat Hesychius, v. Welcker. Trilog. Aesch. p. 197. Lobeck. Agl. 209. 1134. De Aristo Salaminio v. Voss. de Histor. Graec. p. 96. Westerm.

51. Suidas Chaeremonis ex Thersita esse ait, Ath. XIII, 612, F. Aristarchi Tragici Utuntur eodem versu Demosth. qui fertur Neaer 1345. Phot. In proverbium abiit hoc sensu: *Non inferens injuriam, sed propulsans et vindicans illatam.* Vide Meinek. Menandr. p. 126.

52. B. 959. Plut. 126. Suidas. Confer quae dicta sunt ad Zenob. II, 3.

Digitized by Google

ΠΑΡΟΙΜΙΑΙ ΔΗΜΩΔΕΙΣ

ΕΚ ΤΗΣ

ΔΙΟΓΕΝΙΑΝΟΥ ΣΥΝΑΓΩΓΗΣ.

Διογενιανοῦ περὶ παροιμιῶν.

Τὴν παροιμίαν ὀνομάζεσθαί φασί τινες ἀπὸ τῶν οἴμων· οὕτω δὲ αἱ ὁδοὶ ἐκαλοῦντο. Οἱ δ' ἄνθρωποι, ὅσα κοινωφελῆ εὕρισκον, ταῦτα κατὰ λεωφόρους ὁδοὺς ἀνέγραφον ὑπὲρ τοῦ πλείονας ἐντυγχάνοντας τῆς ὠφελείας μεταλαμβάνειν· οὕτω καὶ τὰ τῶν σοφῶν ἀποφθέγματα γνωθῆναί φασι, καὶ τὰ Πυθαγορικὰ παραγγέλματα.

Edita est haec Diogeniani praefatio a Gaisfordio in Praefatione p. V. ex codice Parisino 1773. a Bastio excerpta. Ante Gaisfordium particula inde ab initio ad v. *παροιμίας τυγχανούσας* lin. 2. vulgata erat in Notitiis et Extract. MSS. Bibl. Reg. Tom. VIII, p. 214. Particulam decerpsit Walzius ad Theonem in Rhett. Grr. I, p. 172. ex codice Angelico F. 6, 17. et integrum prooemium adscripsit inde a vv. lin. 2. paginae seq. *Ἔστι δὲ κτλ.* Tom. II, p 10 sq. Codicis Angelici sub finem lacunosi scripturas diligenter enotavi.

Haustae Diogeniani copiae maximam partem ex Lucio vel Lucillio Tarrhaeo, v. Ammonium p. 6. Valckenar: *Αἶνος καὶ Παροιμία διαφέρει· ὁ μὲν γὰρ Αἶνός ἐστι λόγος κατὰ ἀναπόλησιν (ἀνάπλασιν) μυθικήν, ἀπὸ ἀλόγων ζώων ἢ φυτῶν πρὸς ἀνθρώπους εἰρημένος, ὡς φησι*

Universe de diversis appellationibus *τῶν αἴνων* explicuit post Aristotelem Rhet. II, 20. Theo Progymnasm. apud Walz. Tom. I, p. 172 sq. Confer Grauertum de Aesopo et Fabulis Aesopiis p. 69 sqq., Herm. Ulrici Hist. Poes. Gr. II, p. 460 sq. et quae explicavimus Exercitatt. Critt. IX, p. 55 sqq. Paucis haec perstrinxit God Bernhardy in Hist. Litt. Grr. I, p. 57 sq.

Ἔνιοι δὲ φασι προσηγορεῦσθαι τὰς παροιμίας ἀπὸ τοῦ ὁμοιόν τι ἐφ' οἷς λέγονται δηλοῦν παροιμίας τυγχανούσας. Ἔστι δὲ ἡ παροιμία τρόπος καὶ τῆς καλουμένης ἀλληγορίας· παράκειται δὲ αὐτῇ λόγος αἶνος Αἰσώπειος, Καρικὸς αἶνος, Συβαριτικὸς λόγος, Κύπριος, Λιβυκὸς αἶνος, Μαισωνικὴ παροιμία· μάρσιπος. Αἶνος μὲν οὖν ἐστὶ κατ' ἀνάπλασιν μυθικὴν ἀναφερόμενος ἀπὸ ἀλόγων ζώων ἢ φυτῶν ἐπὶ ἀνθρώπων παραίνεσιν. Καὶ ἀπὸ ζώων μέν, ὡς παρ' Ἀρχιλόχῳ,

Αἶνός τις ἀνθρώπων ὅδε
Ὡς ἆρ' ἀλώπηξ καὶ ἀετὸς ξυνωνίην
Ἔμιξαν.

ἀπὸ δὲ φυτῶν,

Ἄκουε δὴ τὸν αἶνον· ἔγ κοτε Τμώλῳ

Λούκιος Ταῦρος ἐν τῷ πρώτῳ (περὶ) παροιμιῶν. οἷον ἀπὸ μὲν ἀλόγων ζώων, ὡς παρ' Ἀρχιλόχῳ· Αἶνός τις κτλ. Contractius idem p. 162. Ex Ammonio fluxerunt quae Michaël Apostolius et Arsenius praemiserunt collectionibus proverbiorum. At nec Ammonius nec isti reconditiora quaedam in horrea sua transtulere. Longe accuratius Diogenianus. Ex eodem fonte promanaverunt quae Eustathius habet in Iliad. *A*, p. 855, 3. (796, 50. Basil.) Αἶνος καὶ παροιμία διαφέρουσιν, καθὸ ὁ μὲν αἶνός λόγος ἐστὶ μυθικὸς ἐκφερόμενος ἀπὸ ἀλόγων ζώων ἢ φυτῶν πρὸς ἀνθρώπων παραίνεσιν, ὡς φησι Λούκιλλος ὁ Ταῦρος ἐν πρώτῳ περὶ παροιμιῶν. ἀπὸ μὲν ἀλόγων, ὡς παρὰ Ἀρχιλόχῳ· Αἶνός τις ἀνθρώπων, ὡς ἄρ' ἀλώπηξ καὶ ἀετὸς ξυνωνίην ἔθεντο· καὶ Ἡσίοδος, νῦν δ' αἶνον βασιλεῦσ' ἰρίοι, ὥδ' ἴρηξ προσέειπεν ἀηδόνα· ἀπὸ δὲ φυτῶν, ὡς παρὰ Καλλιμάχῳ, ἄκουε δὴ τὸν αἶνον, ἔν κοτε Ἰύλῳ δάφνην καὶ τὰ ἑξῆς. καὶ ἔστιν ὁ αἶνος ἐξηπλωμένη παροιμία. καὶ οὕτω μὲν καὶ τοῦτο κατεστρωμένον οὕτω ῥητῶς ἐν τοῖς Ἑρεννίου Φίλωνος. Vide Valckenarii Praef. Ammon. p. XXII sq. Idem his persimilia propinat ad Odyss. Ξ, p. 1768, 55. (556, 36. Basil.). 2. Fortasse παροιοίας. 4. λόγος αἶνος. Intersere ἤ. 5. Συβαρικὸς Angelicus. 6. Μαισωνικὴ παροιμία Parisinus: μαισωπικὴ παρ. Angelicus: male Walzius καὶ Αἰσωπικὴ. Maesonicam paroemiam dici versiculum Maesonis poetae Megarensis a Zenobio II, 11. aliisque quos ibi laudavimus allatum: Ἄντ' εὐεργεσίης Ἀγαμήμονα δῆσαν Ἀχαιοί demonstravi in Nunciis Literar. Gottingenss. 1837, nr. 86. p. 848 sqq. Cfr. Mueller. ad Festum p. 135. μάρσιπος. Sic codex uterque. Id vocabulum quid sibi velit parum liquet. In Exercitatt. Critt. post Eustathii Prooemium Pindaricum p. 57., ubi haec tractavi, suspicatus sum latere nomen ejus auctoris, cujus scrinia compilasset Diogenianus. Nec tamen Ταῦρος periclitandum visum est. Μάρπησσος certe nomen foret Graecum. 11. ἄρ' uterque. καὶ αὐτὸς Angel. καὶ αὐτὸς Paris. 14. Uterque codex ἴγκοτε.

9 Archilochi locus est fr. XXXVIII. Gaisf., 67. Liebel, in Delectu meo fr. 74.

14. Callimachi fr. XCIII. Est Lydiae fabulae species, ut videtur, v. Exx. Critt. l. c. p. 57.

Λάφνην ἐλαίῃ νεῖκος οἱ πάλαι Λυδοὶ
λέγουσι θέσθαι.

Εἰκὸς δὲ καταχρηστικώτερον παρ' Ὁμήρῳ αἶνος, ὁ μηδετέρου τούτων μετέχων, ὅτε ἐνδεικνυμένου Ὀδυσσέως χλαίνης ὡς χρῄζει ὁ Εὔμαιός φησιν,

Ὦ γέρον, αἶνος μέν τοι ἀμύμων, ὃν κατέλεξας.

Οἱ δ' ἄλλοι τῶν κατειλεγμένων ὀνόματι μὲν διαφέρειν, δυνάμει δ' εἰσὶν ἐμφερεῖς. Αἰσώπειος μὲν γὰρ λέγεται ὁ ἀπὸ ἀνδρὸς Αἰσώπου πλεονάσαντος ἐν τῷ τοιούτῳ εἴδει τοῦ μύθου, οὐχ εὑρόντος, ὡς ἐν ποιητικῇ μέτρον Ἀρχεβούλειον ἢ καὶ Ἀριστοφάνειον, ἃ λέγεται οὐχ εὑρημένα ὑπὸ τῶν ἀνδρῶν, ἀλλὰ παρὰ τούτοις κατακορέστερον ἐν τῇ ποιήσει τεταγμένα. Καρικὸς δὲ αἶνος λέγεται, ὃν ἀναφέρουσιν εἰς γένει Κᾶρα ἄνδρα· τοῦτον γὰρ ἁλιέα τυγχάνοντα χειμῶνος θεασάμενον πολύποδα εἰπεῖν· »Εἰ μὲν ἀποδὺς κολυμβήσαιμι ἐπ' αὐτὸν ῥιγώσω, ἐὰν δὲ μὴ λάβω τὸν πολύποδα, τῷ λιμῷ τὰ παιδί' ἀπολῶ.« Κέχρηται δὲ τῷ λόγῳ τούτῳ καὶ Τιμοκρέων ἐν μέλεσι, καὶ Σιμωνίδης δ' αὐτοῦ μνημονεύει ἐν τῷ εἰς Ὄριλλαν Ἐπινικίῳ. Ὁ Συβαριτικὸς δὲ λέγεται εἶναι τοιοῦτος ὁποῖον Ἀριστοφάνης ἐν Σφηξίν, ὡς ἀνδρὶ Συβαρίτῃ ἀπείρῳ ἱππικῆς ἐφ' ἅρμα ἀναβάντι συνέβη κατενεχθέντι συντριβῆναι, φίλον δ' αὐτῷ παρόντα φάναι τὸ

---

1. Uterque *οἱ παλαιοὶ*. 3. *εἶδος* corrigendum videbatur Exx. Critt. l. c. p. 58. *μηδ' ἑτέρου* Angel. 6. *γέρων* et *μέντοι* et *οἳ κατέλ.* Paris. 8. *κατειλυγμένων* Paris. *διαφέριν* uterque: Exx. Critt. l. c. conjeci *διάφοροι*. 11. *Ἀρχεοβούλειον* Angel., *ἄρχιο βούλειον* Paris. 14. *ποιήσει* addidi ex Angel. Nam Paris. *ἐν τῇ ταγμένα*, unde Gaisfordius *ἐντεταγμένα* volebat. 20. *δ' αὐτοῦ* Paris. *δ'* om. Angel. 22. *Σφιγξὶν* Paris. *ἀπόρῳ* Angel. 24. *φίλον δ' — ὑπὸ τῆς Ἀφροδίτης.* Inter haec in Angelico male tractato lacuna, quam explet Parisinus. *αὐτὸν* Paris.

6. Homer. Odyss. Ξ, 508.

9 sqq. Similiter Theo l. c., v. Grauertum p. 70 sq. Adde Anonymi Scholl. in Aphthon. T. II, p. 12. Walz.

14. De *Καρικῷ αἴνῳ* v. Grauertum p. 72. et nos Exx. Critt. p. 61. Similiter historiolam refert Macarius Walzii p. 318. *Κάριος αἶνος· ἐπὶ τῶν ἀπορούντων τι διαπράξασθαι· ἁλιέα γάρ φασι τροφῆς ἀποροῦντα χειμῶνος εἰπεῖν· Κολυμβήσω, ἀλλὰ ῥιγήσω· μὴ κολυμβήσω, ἀλλὰ πεινάσω.* Timocreontis mentionem illustravi in Delectu Poett. Melic. p. 429., Simonidis Epiniciorum est fr. 19. in Delectu nostro. Nam editio major eo fr. caret. De miro nomine *Ὄριλλαν* (an *Λοριλαν*?) disputavi Exx. Critt. l. c.

21. *Ὁ Συβαριτικὸς κτλ.* Vide Grauert. p. 73. Aristophanis locus est Vespp. 1427 sq.

ἔρδοι τις ἢν ἕκαστος εἰδείη τέχνην.

Ὁ δὲ Κύπριος προσηγόρευται διὰ τὸ παρὰ Κυπρίοις λέγεσθαι ὡς ἐπιχώριος. Κέχρηται δὲ καὶ τούτῳ Τιμοκρέων ἐμφαίνων ὡς οἱ ἄδικα πράσσοντες καὶ ἐς ὕστερον τῶν προσηκόντων τυγχάνουσι. Καὶ γὰρ τῷ Ἀδώνιδι ἐν Κύπρῳ τιμηθέντι ὑπὸ τῆς Ἀφροδίτης μετὰ τὴν τελευτὴν οἱ Κύπριοι ζώσας ἐνίεσαν περιστερὰς, αἱ δ' ἀποπτᾶσαι καὶ διαφυγοῦσαι αὖθις ἀδοκήτως εἰς ἄλλην ἐμπεσοῦσαι πυρὰν διεφθάρησαν. Λιβυκὸς δὲ αἶνος ἀπὸ τοῦ ἔθνους εἰρῆσθαι λέγεται, ἀπὸ Λίβυός τινος· οἱ δὲ Κύβισαν εὑρέτην γενέσθαι τοῦ εἴδους τούτου, ὡς Αἰσχύλος διασαφεῖ,

ὧδ' ἐστὶ μύθων τῶν Λιβυκῶν τὸ κλέος.

1 Ἀβύδηνον ἐπιφόρημα: ἐπὶ τῶν ἀηδῶν εἴωθε τάττεσθαι. Ἔθος γὰρ τοῖς Ἀβυδηνοῖς μετὰ τὸ δεῖπνον καὶ τὰς σπονδὰς προσάγειν τοὺς παῖδας μετὰ τῶν τιτθῶν τοῖς εὐωχημένοις. Κεκραγότων δὲ τῶν παίδων καὶ θορύβου γενομένου, ἀηδίαν πολλὴν εἶναι τοῖς δαιτυμόσιν.

2 Ἄβρωνος βίος: Ἄβρων τις ἐγένετο πλούσιος καὶ ἀβροδίαιτος. Ὅθεν ἡ παραβολὴ ἐπὶ τῶν πολυτελῶν

---

10. *Κύβισσαν* Angel. 13 Vide notam. 14. *Ἀβυδηνῶν* K. *ἐπιφώνημα* c. *ἐπὶ τῶν κτλ.*] K: *τὸ ἀηδές, διὰ τὸ τοὺς ἀβυδηνοὺς μετὰ δ. προσάγειν τ. ἑαυτῶν π. τοῖς εὐωχουμένοις κεκραγότας καὶ θορυβοῦντας καὶ ἀηδίαν ἐμποιοῦντας τοῖς δαιτυμόσι. εἴωθε*] sqq. c om. 15. *τὸν δεῖπνον* g. 19. legebatur *Ἄβρωνος, Ἄβρων.*

2. De Cyprio *αἶνῳ* explicavi in Delectu Poett. Melic. p. 429. Compara *Κύπριον λόγον* apud Dionem Chrysost. II, p. 328 sq. Reisk. et quae dixi in Nunc. Litt. Gotting. 1837, 87. p. 859.

9. De Libycis *αἴνοις* dixit Grauertus p. 79 sqq. Teste Theone l. c. *καὶ Κυβισσὸς ἐκ Λιβύης μνημονεύεται ὑπό τινων ὡς μυθοποιός.* Hesychius: *Λιβυκοὶ λόγοι· Χαμαιλέων δέ φησι Λίβυν τινὰ εὑρεῖν τοὺς λόγους τούτους.* Grauertus nomen aut ex eo q. e. *Λιβυσσὸς* depravatum censet aut intelligendum esse eum hominem, qui Thaletis filius dictus est *Κυβισσὸς* vel *Κυβισθὸς* apud Diog. Laert. I, 1. et Plutarch. Sol. p. 81, E. Aeschyli ex Myrmidonibus locum integriorem ex Scholl. Aristoph. Avv. 808. apposuit Dindorfius fr. 123.: (cll. God. Hermann. Opuscc. V, p. 148.) *Ὡς δ' ἔστι μύθων τῶν Λιβυστικῶν λόγος, Πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν Εἰπεῖν ἰδόντα μηχανὴν πτερώματος, Τἀδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς Ἁλισκόμεσθα.* Sed quum Suidas in v. *ταυτὶ μὲν* exhibeat *ὃ δὲ ἔστι*, Diogenianus autem *ὧδ' ἐστὶ* et *κλέος*, versum priorem sic refinges: *Ὧδ' ἐστὶ μύθων τῶν Λιβυστικῶν κλέος.* Cfr. Hesiod. Opp. et D. 201.

1. K. I, 6: Zenob. I, 1.

2 Zenob. I, 4. *Συκελ. τρ.*] Diogen. VIII, 7. *Συβαρ. β.*] Apost. I, 4. Arsen. 11: vid.

τάττεται. Ταῦτα καὶ, Σικελικὴ τράπεζα· καὶ, Συβαριτικὸς βίος.

3 Ἀγορὰ Κερκώπων: ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Κέρκωπες γάρ τινες ἀπατεῶνες ἐγένοντο ἐν Ἐφέσῳ, οἵτινες καὶ τὸν Δία ἐξαπατῆσαι πεπείρανται. Ὅμοια τῇ, Λύκων δεκάς· καὶ, Κρωβύλου ζεῦγος.

4 Ἀγαθὴ καὶ μᾶζα μετ' ἄρτον: ἐπὶ τῶν τὰ δεύτερά τισι διδόντων· ὁμοία τῇ, Λέχεται καὶ βῶλον ἀλήτης.

5 Ἂν μὴ παρῇ κρέας, ταρίχῳ στερκτέον:

6 Ἀγαμέμνονος θυσία: ἐπὶ τῶν δυσπειθῶν καὶ σκληρῶν· Ἀγαμέμνων γὰρ τὴν αὑτοῦ ἐβούλετο θυσιάσαι θυγατέρα· ἢ ὅτι βοῦν αὐτοῦ θύοντος ἔφυγε καὶ μόλις κρατηθεὶς εἰσήχθη.

7 Ἀγαθώνειος αὔλησις: ἡ μαλθακὴ καὶ μήτε χλιαρὰ μήτε πικρά, ἀλλ' ἡδίστη.

8 Ἀγέλαστος πέτρα: ἐπὶ τῶν λύπης προξένων ἡ παροιμία· ἐπ' αὐτῆς γὰρ ἐκάθισεν ὅτε τὴν κόρην ἐζήτει ἡ Δημήτηρ. Ὅμοια, Στεγανώτερος Ἀρεοπαγίτου. Καὶ, Ἐς Τροφωνίου μεμάντευσαι.

9 Ἀγαθὰ Κιλίκων: ἐπὶ τῶν ἀπὸ τῶν οὐ προσηκόντων πλουτούντων. Προδότης γάρ τις τῶν Κιλίκων

---

4. *Κέρκωπες κτλ.*] K om. 6. *Λύκου* Zenobius. *κρομύλου* g, *Κρωβύλου* vulgo. 7. vulgo *μάζα*. 8. *δεύτερα* K b c g Gaisfordus: *ὕστερα* Schottus. *ὁμοία κτλ.*] K om. *τῇ* e g accedere jussi. 12. *ἑαυτοῦ* g. vulgo *ἐθυσίασε*: P *ἐβούλετο θυσιάσθαι*: Apost. Arsenius: *ἐβούλετο θυσιάσαι· ἢ δ' ἔφυγεν.* 15. *μαλακὴ* P. 16. *χλιαρὰ*] *χαλαρὰ* P. 17. *ἡ παροιμία*] K om. 18. K: *ἐφ' ᾗ ἡ Δ. ὅτε τ. κ. ἐζ. ἐκάθισεν* reliquis omissis. 21. K: *ἐπὶ τῶν οὐ καλῶς πλ.*: reliqua om.

Boissonadus in *Manuscrits de la Bibl. du Roi* X, 234: cf. Zenob. V, 87.

3. K. I, 8: Zenob. I, 5. *Λύκων δ.*] Zenob. V, 2. *Κρωβύλου ζ.*] Zenob. IV, 69.

4. K. I, 10: Zenob. I, 12. *δέχεται κτλ.*] Zenob. III, 22.

5. Zenob. I, 84.

6. Zenob. I, 13.

7. Zenob. I, 2.

8. K. I, 13: Zenob. I, 7. *Στεγ. Ἀρ.*] usurpant Aelianus ap. Suid. s. *στεγανώτερον*, Alciphro Epist. I, 13: *εἰ δὲ μηδὲν οἷός τε ὠφελεῖν, γενοῦ μοι τανῦν Ἀρειοπαγίτου στεγανώτερος*: ubi vid. Wagnerus: cf. infr. II, 91. *Ἐς Τρ. μεμ.*] Zenob. III, 61.

9. K. I, 14. Greg. Cypr. I, 5. Apost. I, 13. Arsen. 14 ibiq. Macar.: Hesych. s. *Κιλλικῶν*: *προδότης οὕτως ἐπωνομάζετο, Ἀχαιὸς μὲν τοὔνομα, Κιλλίκων δὲ ἐπικα-*

Μίλητον προδοὺς, ηὐπόρησεν. Ὅμοιον, Ἀπὸ νεκρῶν φορολογεῖν.

10 *Ἀγαθῶν θάλασσα: ἐπὶ πλήθους ἀγαθῶν. Ὡς καὶ τὸ, Ἀγαθῶν σωρὸς, καὶ, Ἀγαθῶν μυρμηκία. Ἐπὶ πλήθους γὰρ εὐδαιμονίας καὶ τοῦτο. Τὰ ἐναντία· Κακῶν Ἰλιὰς, καὶ, Λέρνη κακῶν.*

11 *Ἀγνότερος πηδαλίου: ἐπὶ τῶν ἀγνῶς βεβιωκότων. Παρόσον ἐν θαλάσσῃ ἐστὶν ἀεὶ τὸ πηδάλιον.*

12 *Ἀγροίκου μὴ καταφρόνει ῥήτορος: ὑποθετική. Ὅτι μηδὲ τῶν εὐτελῶν χρὴ καταφρονεῖν. Ὅμοιόν ἐστι, Κἂν μύρμηκι χολή.*

---

3. K: *ἀγ. θάλ. καὶ ἀγ. σωρὸς καὶ ἀγαθῶν ἀγαθῖδες* [cod. *ἀγαθίδες*: de proverbio v. Apost. I, 17. Arsen. 14 ibiq. Macar.: Eustath. ad Hom. Od. *Λ*, 580 p. 1701, 6: . . *Ταντάλου τάλαντα* [Zenob. VI, 4.] . . *ἀπὸ τῆς τοῦ ὀνόματος, φασίν, ὁμοιότητος, ὡς ἀγαθῖδες ἀγαθίδων ἢ ἀγαθῖδες ἀγαθῶν*: id. ad Dionys. Perieg. 517: *ἀφ' οὗ καὶ παροιμίαν οἱ παλαιοὶ φασι, Λάτος ἀγαθῶν* [Zenob. III, 11.], *ὡς ἀγαθῶν ἀγαθῖδες· καὶ σκόπει ἐνταῦθα τὴν παροιμίαν, τὸ ἀγαθῶν ἀγ. . εἰ γὰρ καὶ ἄλλως αὐτὴν ἐκλαμβάνονται, ἀλλ' ἔοικε τοπικόν τι εἶναι ἡ ἀγαθίς, διὸ καὶ εἰς ὁμοιότητα παρετέθη τοῦ Λάτος ἀγ., ἵνα ὥσπερ λέγεται Λάτος ἀγαθῶν οἷον τόπος καὶ πόλις, οὕτω λέγηται καὶ ἀγαθῖδες ἀγαθῶν. εἰ γὰρ μὴ τοῦτο, ποία λοιπὸν ἄλλη ὁμοιότης τῶν δύο τούτων παροιμιῶν*; ad quem locum Bernhardyus p. 919 notat, Eustathianam doctrinam commenticiam videri: Poll. VII, 31. Phrynichus Bekk. Anecd. I, 9, 31: *ἀγ. ἀγαθίδες: γραῦς ἀγαθίδας ἀποδομένη κρόκης, ἐπρίατο οἶνον, κἄπιθ' ὑποπίνουσα ἔλεγεν ἀγαθῶν ἀγ., οἷον ἀγαθῶν πλῆθος καὶ σωρός· ἡ γὰρ ἀγαθὶς σωρός ἐστι στήμονος ἢ κρόκης· ἅμα παραδηλοῦσα ὅτι ἀγαθά μοι ἐκ τῶν ἀγαθίδων ἐστὶ· χρῶνται δ' ἐπὶ πολλῶν ἀγαθῶν*: Suid. s. *ἀγαθῶν*, s. *ἀντ' ἀγαθῶν ἀγαθῖδες* [Macar. 62], s. *τὰ Ταντάλου τάλ.* Zonar. 23. Usurpat

i à

Theodor. Hyrtac. Boisson. Anecd. V, 65.] *καὶ ἀγαθῶν μυρμηκη, ἐπὶ πλήθους ἀγαθῶν λέγεται.* 8. K: *ἐν θαλάττῃ τὸ πηδάλιον ἄττον, καθαρόν ἐστιν.* 9. *ὑποθετικὴ*] K om. 10. *μηδὲ*] K *οὐδέ. ὅμοιον κτλ.*] K om. 11. *σχολὴ* g.

λούμενος, ὃς Μίλητον προέδωκε τοῖς βασιλέως στρατηγοῖς: Phot. 165. Suid. s. *Κιλίκων*: *ἐπώνυμον Ἀχαιοῦ τοῦ Μίροπος, ἀπὸ τροφοῦ Κιλίσσης· ὃς τὴν πατρίδα Μίλητον προέδωκε τοῖς Πριηνεῦσι καὶ τῷ βασιλέως στρατηγῷ· παρόσον Κίλικες διεβέβληντο ἐπὶ πονηρίᾳ καὶ ὠμότητι, διὰ τοῦτο ἐκλήθη Κιλίκων. Φερεκράτης* (fr. 148 Runkel.)· *Ἀπὸ θ' ἡμῶν ἐγκιλικίζουσ' οἱ θεοί· ὥστε καὶ παροιμίαν ἐπ' αὐτῷ εἰρῆσθαι· Ἀγαθὰ Κιλίκων· λείπει τὸ ἔχει*: vid. Zenob. I, 3. V, 53. Append. v. *ἐγκιλικίζεται. Ἀπὸ νεκρ. φ.*] Apost. I, 13. Arsen. 14: vid. Diogen. V, 84. III, 12.

10. K. I, 15: Zenob. I, 9. *Ἀγ. σωρὸς*] Zenob. I, 10. *Ἀγ. μυρμ.* Zenob. I, 11. *Κακ. Ἰλ.*] Zenob. IV, 43. *Λ. κακ.*] Zenob. IV, 86

11. K. I, 16. Apost. I, 16. Arsen. 15 ibiq. Macar.: Suidas.

12. K. I, 17: Zenob I, 15. *κἂν μυρμ. κτλ.*] Zenob. III, 70.

13 Ἀγναμπτότερος βάτου αὔου: ἐπὶ τοῦ ξηροῦ καὶ αὐθάδους τὸν τρόπον.

14 Ἀδώνιδος κῆποι: ἐπὶ τῶν ἀώρων καὶ μὴ ἐῤῥιζωμένων. Ἐπειδὴ γὰρ Ἄδωνις ἐρώμενος ὢν, ὡς ὁ μῦθος, τῆς Ἀφροδίτης, προήβης τελευτᾷ, οἱ ταύτῃ ὀργιάζοντες, κήπους εἰς ἀγγεῖά τινα φυτεύοντες ἢ φυτεύουσαι, ταχέως ἐκείνων διὰ τὸ μὴ ἐῤῥιζῶσθαι μαραινομένων, Ἀδώνιδος αὐτοὺς ἐκάλουν.

15 Αὐλὸν σάλπιγγι συγκρίνεις: ἐπὶ τῶν τὰ ἐλάττω τοῖς μείζοσι συγκρινόντων. Τέττιγι μέλιτταν συγκρίνεις, κατὰ φωνήν.

16 Ἀδεὲς δέος: ἐπὶ τῶν μάτην δεδιότων.

17 Ἀληλεσμένος βίος καὶ μεμαγμένος: ἐπὶ τοῦ ἑτοίμου καὶ προχείρου.

18 Ἄσπαρτα καὶ ἀνήροτα: ἐπὶ τοῦ ὁμοίου.

19 Ἄλλην δρῦν βαλάνιζε: ἐπὶ τῶν ἐνδελεχῶς αἰ-

---

1. ἀγνωπτότερος g, ἀγναπτότερος c. ξηροῦ] σκληροῦ P. 3. K κῆπος. BK: ἐπὶ τῶν ἀώρων καὶ ὀλιγοχρονίων καὶ μὴ ἐῤῥιζ.: ἐῤῥιζομένων g. 4. ἐπειδὴ κτλ.] K om. Ἀδώνιδος g. 12. ἀδ. δ. δέδοικας Arsenius. δεδιώτων] δεδοικότων BK. 13. καὶ μεμαγμ. K om. 14. καὶ προχ.] K καὶ ἀκοπώτου: vid. vv. ll. ad Zenobium.

13. Apost. I, 30. Arsen. 16: vid. Zenob. I, 16.

14. B. 18. K. I, 19. Greg. Cypr. I, 7. Apost. I, 43. Arsen. 19: Schol. Platon. 319 Bekk.: ἐπὶ τῶν ἀώρων καὶ ὀλιχρονίων καὶ μὴ ἐῤῥιζωμένων: Suid. s. Ἀδώνιδος κῆπος: cf. Zenob. I, 49. Usurpant Incert. ap Stob. Eclog. Eth. II, 6, 4: Πλάτων τὰ πολλὰ ὧν τινες συγγράφουσι, τοῖς Ἀδωνιακοῖς κήποις εἴκαζεν, οἳ τὴν χάρν ἐφήμερον ἔχοντες ῥᾳδίως μαραίνονται: Simplic. ad Aristot. de Coelo 6 B: ἐγὼ δὲ οἶδα τὰς τοιαύτας προπετείας ὥςπερ τοὺς καλουμένους Ἀδώνιδος κήπους ἀνθεῖν παρὰ τοῖς ἀναισθήτοις καὶ νομισθείσας εἶναί τι ἐν ὀλίγαις ἡμέραις ἀποσβέσθαι.

15. Apost. IV, 88. Arsen. 84. Lucian. Rhetor. Praec. 13: τούς γε ἄλλους τοσοῦτον ὑπερφωνοῦντα εὑρήσεις, ὁπόσον ἡ σάλπιγξ τοὺς αὐλοὺς, καὶ οἱ τέττιγες τὰς μελίττας: vid. infr. I, 56.

16. B. 20. K. I, 9. Apost. I, 39. Arsen. 19 ibiq. Macar.: Schol. Plat. 375 Bekk.: ἐπὶ τῶν τὰ μὴ ἄξια φόβου δεδιότων· ὅμοιον τούτῳ καὶ τὸ Ψοφοδεὴς ἄνθρωπος: Phot. Suidas. Usurpavit Plat. Sympos. 198 A.

17. K. I, 33: Zenob. I, 21.

18. Hom. Od. *I*, 109: Ἄλλα τάγ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται, Πυροὶ καὶ κριθαὶ κτλ. Lucian. Parasit. §. 24: ἐκεῖνα μὲν γὰρ τί δεῖ λέγειν περὶ τῆς εὐδαιμονίας αὐτοῦ, ὅτι δὴ μόνος κατὰ τὸν σοφὸν Ὅμηρον οὔτε φυτεύει (parasitus) χερσὶ φυτὸν οὔτε ἀροῖ, ἀλλὰ τὰ ἄσπαρτα καὶ τὰ ἀνήροτα πάντα νέμεται; id. Saturn. 7. Saturn. Epist. 20. Phalar. II, 8. Rhetor. Praec. 8.

19. K. I, 21: Zenob. II, 41.

τούντων τι, ἢ ἐπὶ τῶν συνεχῶς δανειζομένων. Οἱ γὰρ παλαιοὶ βαλάνοις ἔζων· πρὸς οὖν τοὺς περισκυποῦντας τὰς δρῦς εἴτε πλήρεις εἶεν εἴτε κεναὶ, Ἄλλην δρῦν βαλάνιζε, ἔλεγον.

20 Ἄλλος βίος, ἄλλη δίαιτα: ἐπὶ τῶν ἐπ' ἀμείνονα βίον μεταβαλλομένων.

21 Ἄλας ἄγων καθεύδεις: ἐπὶ τῶν ἐν κινδύνοις ῥᾳστωνευομένων. Ἐμπόρου γάρ τινος ἄλας ἄγοντος ἀποκαθευδήσαντος, συνέβη τὴν ἀντλίαν ἐπαναβῆναι καὶ τῆξαι τὸν ἅλα.

22 Ἄδεις ὡς εἰς Λῆλον πλέων: ἐπὶ τοῦ ὁμοίου.

23 Ἄλλοτε δ' ἀλλοῖον τελέθειν καὶ χώρᾳ ἕπεσθαι: ὅτι προσήκει ἐξομοιοῦν ἑαυτὸν ἐν οἷς ἂν γένοιτο τόποις. Εἴρηται δὲ ἀπὸ τῶν πολυπόδων· οὗτοι γὰρ ᾗ ἂν πλησιάσωσι πέτρᾳ, φόβου κατεπείγοντος, εἰς τὸ αὐτῆς εἶδος τὸ ἑαυτῶν μεταβάλλουσιν. Ὅμοιον, Πολύποδος πολυχρόου νόον ἴσχε.

24 Ἀζάνια κακά: ἐπὶ τῶν κακοῖς διηνεκῶς προσπαλαιόντων. Ἄζαναι γὰρ τόπος σκληρὸς, περὶ ὃν πονοῦντες οἱ γεωργοὶ οὐδὲν πορίζονται.

25 Ἀνάγυρον κινεῖς: ἐπὶ τῶν κινούντων τινὰ ἐπὶ τῷ ἑαυτῶν κακῷ. Ἀνάγυρος γάρ τις ἥρως ἐπιχώριος τοὺς γειτονοῦντας ἐκ βάθρων ἀνέτρεψεν, ἐπειδὴ τὸ ἡρῷον αὐτοῦ ὑβρίσαι ἐπεχείρησαν.

---

1. τι accessit e b K. ἐπὶ τ. σ. K om. 2. πρὸς κτλ.] K om. 11. ὡς] K ὥσπερ. K: ἐπὶ τῶν φιληδόνων καὶ ἀφροντίστων: vid. Zenobius. 12. χώρ K, χώραν Schottus: Gaisfordus correxit e Zenobio. 13. γένοιο K. 14. εἴρηται δὲ om. K. οὗτοι κτλ.] K om. ᾗ] b οὗ. 18. ἄζανι [sic] K: vulgo Ἄζαναῖα. 19. K ἀζανία, vulgo Ἄζαναια: vid. ad Zenob. ὃν g Gaisfordus: ὧν Schottus. περὶ ὃν κτλ.] K: καὶ τοῖς γεωργοῖς ἀπροσπόριστος. 21. K: ἐπὶ τῶν προξενούντων κακὰ ἑαυτοῖς· ἀνάγυρος γ. τ. ἦ. τοὺς γείτονας ἐκάκου. 22. Vulgo τῶν — κακῶν: e Zenobio correxi. 24. P ὑβρίσται.

20. Zenob. I, 22.
21. Zenob. I, 23.
22. K. I, 23: Zenob. II, 37.
23. K. I, 20: Zenob. I, 24. Πολύποδος π. ν. ἴ.] Apost. II, 73. Arsen. 44: derivatum e Theogn. 215: πουλύπου ὀργὴν ἴσχε πολυπλόκου: alludit Pind. frr. incertt. 173 Boeckh. p. 650: n. 70 Dissen.
24. K. I, 34: Zenob. II, 54.
25. K. I, 35: Zenob. II, 55.

26 Ἀντρώνιος ὄνος: ἐπὶ τῶν μεγάλων καὶ ἀγρίων καὶ ἀνενεργήτων. Ἐν Ἄντρωνι γὰρ, ὡς φησι Φερεκράτης, μεγάλοι ὄνοι ἐγένοντο. Ἀχαρνικοὶ ὄνοι: ἐπὶ τῶν αὐτῶν.

27 Ἄνω ποταμῶν χωροῦσι πηγαί: ἐπὶ τῶν ἐναντίως γενομένων ἢ λεγομένων. Οἷον, εἰ ὁ πόρνος τὸν σώφρονα λέγει πόρνον.

28 Ἀράβιος αὐλητής: ἐπὶ τῶν ἀεὶ λαλούντων. Μετῆκται δὲ ἀπό τινος Ἀραβίου αὐλητοῦ, ὃς ηὔλει μὲν δραχμῆς, ἐπαύετο δὲ τεττάρων.

29 Ἀρκάδας μιμούμενος: ἐπὶ τῶν ἄλλως πονούντων. Πολλὰ γὰρ οἱ Ἀρκάδες πολεμήσαντες οὐδεμίαν νίκην ἰδίαν πώποτε ἔσχον.

30 Ἀρχὴ Σκυρία: ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων· πετρώδης γὰρ ἡ Σκῦρος.

31 Λίθης πέπλος: ἐπὶ τῶν ὑπεκκαιόντων καὶ στάσεις ἐγειρόντων καὶ διαβολάς. Δηϊάνειρα γὰρ πέπλον πέμψασα Ἡρακλεῖ, τούτῳ διέφθειρεν αὐτόν.

---

1. K: ἀγρίων. τοιοῦτοι γὰρ οἱ ἵπποι ἐν ἄντρωνι: B: Φερεκράτης ἐν Ἀκρίοις [A, ut videtur, Ἀγρίοις] ἐν Ἄντρωνι φησὶ μεγάλους ὄνους εἶναι· καὶ ἡ παροιμία ἐπὶ τῶν μεγάλων καὶ ἀγρίων: V B: Ὄνος Ἀντρώνιος: παράσον ἐν τῷ Ἄντρωνι τῆς Θετταλίας ὄνοι μεγάλοι. 3. Ἀχαρν. ὄν.] Apostolius, Arsenius: Ἀχ. ἵπποι . . . τοιοῦτοι . . οἱ ἵπποι ἐν Ἀχαρνοῖς, ὡς Φερεκράτης φησὶ. 6. γινομένων ἢ K om. vulgo εἰ πόρνος: e K articulum inserui. 8. ἀῤῥάβιος [sic] αὐλητὴς ἢ ἄγγελος K. 9. μετῆκται — αὐλητοῦ] K om. ἀῤῥαβίου ut supra ἀῤῥάβιος b g. 11. μιμούμενοι Zenobius. 14. εὐτελῶν καὶ K om. εὐτελῶν] τελῶν P. 16. Legebatur αἴθης. ἐπὶ] vulgo ὑπὲρ: mutavi ex P b; P: ἱππεκαιόντων: B: ἐπὶ τῶν ἐκκαιόντων καὶ στ. καὶ διαβ. ἐγ.· παράσον ἡ Α. πέπλον ἔπεμψε τῷ Ἡρ., ὑφ' οὗ καυθεὶς διεφθάρη.

26. B. 57. V. III, 17. B. 705. K. I, 36. Apostol. III, 26. Arsen. 59 ibiq. Macar.: Strab. IX, 4, 14 p. 435: Schol. Ven. et Eustath. ad Hom. Il. *B*, 697 p. 324, 36: Ἄντρων — ὠνόμασται — διὰ τὸ τοὺς ἐκεῖ τόπους ἀντρώδεις, τουτέστι σπηλαιώδεις καὶ ὑπονόμους εἶναι· ὁ δὲ τὰ ἐθνικὰ συλλέξας καὶ τὸν ἐν παροιμίαις Ἀντρώνιον ὄνον ἐντεῦθεν εἰρῆσθαι λέγει. εὐφυεῖς γάρ, φησὶ, πρὸς μύλωνας (eadem affert, proverbio tamen non memorato Etym. M. 114, 55) ἔχει λίθους, ὥστε κατὰ τοῦτον τὸν λόγον Ἀντρώνιος ὄνος ὁ πρὸς ἁλιτὸν δεξιός: Hesych. Steph. Byzant. s. Ἀγκών et s. Ἄντρων: Suid. s. ἀνδρώνιος et Ἄντρων. cod. Marcian. Harpocrat. 24, 2 Bekk. Pherecratis fr. est incertt. 36 p. 72 Runkel. Ἀχαρν. ὄν.] Apost. Arsen. ll.: Hesychius.

27. K. I, 44: Zenob. II, 56: v. infr. III, 30.

28. K. I, 45: Zenob. II, 39.

29. Zenob. II, 59.

30. K. I, 51: Zenob. I, 32.

31. Zenob. I, 33. B. 62.

32 *Αἵμασι κλαίειν: καθ' ὑπερβολήν, οὐ δακρύοις, ἀλλ' αἵματι κλαίειν.*

33 *Αἱρούντες ἠρήμεθα: ἐπὶ τῶν ἐλπισάντων τινὰς νικᾶν, εἶθ' ὑπ' ἐκείνων ἁλόντων.*

34 *Αἱ Χάριτες γυμναί: ὅτι δεῖ ἀφειδῶς χαρίζεσθαι.*

35 *Αἱ Ἰβύκου γέρανοι: ἐπὶ τῶν ἀπροσδοκήτως ἐπὶ τοῖς ἁμαρτήμασι κολασθέντων. Ἴβυκος γὰρ ὑπὸ λῃστῶν ἀναιρούμενος καὶ γεράνους ἰδὼν ἐμαρτύρατο. Χρόνῳ δὲ οἱ λῃσταὶ θεώμενοι ἐν θεάτρῳ γεράνους ὑπερίπταμένους, Αἱ Ἰβύκου γέρανοι, ἔλεγον. Εἶτα ἁλόντες καὶ ἀνακριθέντες ἐκολάσθησαν.*

36 *Αὐτοὶ χελώνας ἔσθετ', οἵπερ εἵλετε: ἐπὶ τῶν ἐξ ἀβουλίας τι πραττόντων, εἶτα βοηθείας δεομένων. Ἁλιεῖς γὰρ χελώνην ἀνασπάσαντες ἐμέριζον· τὸν δὲ Ἑρμῆν παριόντα ἐπὶ τὴν ἑστίασιν ἐκάλουν· ὁ δὲ τοῦτο ἐφθέγξατο.*

37 *Αἰγιαλῷ λαλεῖς: ἐπὶ τῶν ἀνηκόων.*

38 *Αἰθέρα νήνεμον αἱρήσεις: ἐπὶ τῶν μάτην πονούντων.*

39 *Ἄϊδος κυνῆ: ἐπὶ τῶν κρυπτόντων ἑαυτοὺς διά τινος μηχανῆς. Τοιαύτη γὰρ ἡ τοῦ Ἄϊδος κυνῆ, ᾗ Περσεὺς χρησάμενος τὴν Γοργὼ ἐδειροτόμησεν.*

40 *Αἶξ οὔπω τέτοκεν, ἔριφος δ' ἐπὶ δώματι παίζει: ἐπὶ τῶν οὔπω τεχθέντων ἢ γεγονότων, ἀλλ' ἀτελῶν ὄντων, καὶ τὰ τῶν τελείων θελόντων ποιεῖν.*

---

1. καίειν g. δάκρυα K, reliquis omissis. 3. τινὰς om. g c K. 5. K: ὅτι δεῖ δωρεὰν ἀφειδῶς ἢ ἀκενοδόξως χαρίζεσθαι: v. Arsenium. 6. ἐπὶ τοῖς] praepositionem c om. 7. K: κολαζομένων ἐπὶ τ. ἁμ. αὐτῶν. vulgo τῶν λῃστῶν: articulum cum K ejeci. 8. καί] K om. χρόνῳ δέ] K εἶτα. 9. ὑπερικταμένας Zenobius: K om. 10. εἶτα ἁλ. K om. 12. legebatur ἐσθίετε: correxi ex Hesychio. 15. ἑστίαν συνεκάλουν g. 16. ἀνηκούντων g, ἀνηκοούντων vulgo: quod scripsi, petii e K. 17. αἱρήσεις] Zenobius ἐρίσσεις. 19. ἐπικρυπτόντων . . τινων μηχανημάτων· τοιαῦτα γὰρ τὰ τοῦ ἄϊδος K: sqq. om. 21. Γοργὴν g. 22. δ'] K γάρ. δώματος K c g: vulgo δώματα: vid. Zenobius. 23. ἢ γεγονότων] g om. γεγονότων] K addit: προλεγόντων δὲ τὰ μὴ γεγονότα. ἀλλ' κτλ.] K om. 24. τῶν τελείων] τῶν g c om.

32. K. I, 52: Zenob. I, 31.
33. K. I, 53: Zenob. I, 35.
34. K. I, 54: Zenob. I, 36.
35. K. I, 56: Zenob. I, 37.
36. Zenob. II, 29.
37. K. I, 55: Zenob. I, 38.
38. Zenob. I, 39.
39. K. I, 46: Zenob. I, 41.
40. K. I, 58: Zenob. I, 42: vid. infr. VII, 56.

41 *Αἰάντειος γέλως*: *ἐπὶ τῶν παραφρόνως γελώντων.*

42 *Ἄφυων τιμή*: *ἐπὶ τῶν ἐν μικροῖς παρ' ἄλλων τιμωμένων.*

43 *Ἀνίπτοις χερσίν*: *ἐπὶ τῶν βεβήλοις χερσὶ τοῖς ἱεροῖς ἐγχειρούντων.*

44 *Ἄειδε τὰ Τέλληνος*: *ἐπὶ τῶν σκωπτικῶν· Τέλληνα γὰρ αὐλητὴς ἐγένετο, ὃς παίγνια κατέλιπε χάριν ἔχοντα.*

45 *Αἰθίοπα σμήχεις*: *δῆλον τὸ τοιοῦτον. Ὅμοια, Χύτραν ποικίλλεις, ὠὸν τίλλεις.*

46 *Αἰσώπειον αἷμα*: *ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσιν ἐνεχομένων· ἐπειδὴ τοῖς Δελφοῖς ἀδίκως ἀνελοῦσι τὸν Αἴσωπον ὠργίσθη ὁ θεός.*

---

2. *ἐν* g om. *ἐν — ἄλλων*] c *μηδαμῶς*; *ἐκ μικρῶν π. ἄ.* Apostolius. 4. explicationem B ignorat. *τὰ ἱερὰ* b, *τὰ ἱερὰ μεταχειριζομένων* K. 6. *ἄειδε*] *ἄδε* g. 9. *ὁμοῖον* g. 10. *ὠὸν*] sic bg Apost. Arsen. Plutarchus: Schottus, quem Gaisfordus secutus est, *ἀσκὸν* dedit, nescio an e codd.: *ἀσκὸν* tuetur Eustathius: vid. Zenob V, 38 et infra nott. 11. *τὸ Αἰσ. αἷμα* VB. *δυσεκνίπτοις* VB. 12. *ἐχομένων* g, *ἐμπεπτωκότων* VB. *ἐπειδὴ τοῖς*] *τοῖς γὰρ* VB. *ἀδίκως* VB om. 13. *Αἴσωπον συνέβη τὸ δαιμόνιον χαλεπῆναι* VB.

41. K. I, 57: Zenob. I, 43.

42. Apost. V, 19. Arsen. 88: Hesych. s. v.: *τὸ ἔλαιον· ἐπὶ ἐν τούτῳ ἔφονται*: Suid. s. *ἀφύη ἐς πῦρ.* Usurpat Arist. Acharn 640.

43. B. 75. K. I, 60. Apost. III, 34. Arsen. 62: Eustath. ad Hom. Il. Z, 266 p. 641, 13: *τὸ δὲ χερσὶ δ' ἀνίπτοις λείβειν ἄζομαι καὶ ἑξῆς ὡς προείκειται εὐλαβοῦς ἤθους καὶ θεοφιλοῦς καὶ οἷον ἀμοιροῦσιν ὅσοι τῆς ἱερωτάτης ὄντες τάξεως αἱμάτων ἄνδρες καὶ φαύλων ἐπιθυμιῶν γίνονται. διὸ τὸ ἀνίπτοις χερσὶ λείβειν ἢ εἴ τι ἄλλο τοιοῦτον καὶ εἰς παροιμίαν ἔπεσε παρὰ τοῖς μεθ' Ὅμηρον ἐπὶ τῶν μὴ θείως τοῖς θείοις ἐγχειρούντων*: Hesych., Varr. Lecit. Suid. s. *ἀνίπτοις.* Fons proverbii est Hom. l. c.; respicit Hesiod. *Ἔργ.* 723: usurpant Syrian. ad Hermog. T. IV, 40 Walz.: *οἷον Δημάδου τοῦ ἀπὸ τῆς κώπης ἀνίπτοις τὸ τοῦ λόγου χερσὶν ἐπὶ τὸ βῆμα πηδήσαντος*: vid. Zenob. I, 95.

44. Zenob. II, 15.

45. Zenob. I, 46. *Χύτραν ποικ.*] Apost I, 99. XX, 95. Arsen. 28. 478: Suidas: vid. Zenob. l. c. *Ὠὸν τίλλ.*] Apost. I, 99. Arsen. 28. Plutarch. in Boiss. Anecdd. I, 397: Bekk. Anecd. I, 69, 26: *φυσᾶν δίκτυον*: *παροιμία ἐπὶ τῶν μάτην τι πραττόντων· ὥςπερ εἰς πῦρ ξαίνειν καὶ λίθον ἴψειν καὶ σπείρειν πέτρας,* [vid. ad Zenob. V, 27.] *ὠὸν τίλλειν, εἰς τετρημένον πίθον ἀντλεῖν καὶ τὰ ὅμοια*: add. Schol. ad Aristoph. Vesp. 284: *παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀδυνάτων γενέσθαι τὸ λίθον ἴψεις, ὡς καὶ τὸ πλίνθον πλύνεις καὶ χύτραν ποικίλλεις καὶ εἰς ὕδωρ γράφεις καὶ Αἰθίοπα λευκαίνεις καὶ κατὰ θαλάττης σπείρεις καὶ τὰ τοιαῦτα*: add. Zenob. III, 46.

46. V. III, 99. B. 899. Macar. p. 451: Zenob. I, 47.

47 *Αἰγιέες οὔτε τρίτοι οὔτε τέταρτοι: ἐπὶ τῶν παντελῶς εὐτελῶν καὶ μικρῶν. Ἐρωτώντων γάρ τινων, τίνες κρείττους τῶν Ἑλλήνων; τοῦτο ἀντεφθέγξαντο· Αἰγιέες οὔτε τρίτοι οὔτε τέταρτοι.*

48 *Ἄχαιρος εὖνοι· οὐδὲν ἔχθρας διαφέρει: τοῦτό φασιν Ἱππόλυτον εἰπεῖν πρὸς Φαίδραν, φάσκουσαν αὐτὸν φιλεῖν παρὰ πάντας ἀνθρώπους.*

49 *Ἀκάνθιος τέττιξ: ἐπὶ τῶν ἀρώνων καὶ ἀμούσων· οὐκ ᾄδουσι γὰρ οἱ ἐκεῖσε τέττιγες. Ὅμοιον· Βάτραχος Σερίφιος, ἐπὶ τῶν αὐτῶν. Οὐκ ᾄδουσι γὰρ οἱ ἐν Σερίφῳ βάτραχοι.*

50 *Ἄλα καὶ κύαμον: ἐπὶ τῶν εἰδέναι μὲν προσποιουμένων, οὐκ εἰδότων δέ. Ἐπεὶ οἱ μάντεις εἰώθασι τιθέναι τὸν ἄλα καὶ κύαμον. Ὅθεν καὶ τοὺς ἀπορρήτων κοινωνοῦντας τοὺς περὶ ἄλα καὶ κύαμον ἔλεγον.*

51 *Ἀττικοὶ τὰ Ἐλευσίνια: ἐπὶ τῶν τὰ ἀπόρρητα μυουμένων· οἱ γὰρ Ἀττικοὶ ἐν Ἐλευσῖνι ἐπετέλουν τὰ τῆς Δήμητρος μυστήρια.*

52 *Αἴξ τὴν μάχαιραν: ἐπὶ τῶν ἑαυτοῖς λανθανόντως κακόν τι ἐπισπωμένων. Εἴληπται δὲ ἐξ αἰτίας τοιαύτης· Κορίνθιοι αἶγα τῇ Ἥρᾳ ἔθυον· κρυψαμένων δέ τινων τὴν μάχαιραν, ἡ αἴξ τοῖς ποσὶ σκαλεύουσα ἀνεῦρεν. Ὅμοιον, Κορώνη τὸν σκορπίον, Κόνιν φυ-*

---

1. vulgo *Αἰγιῖς*: et sic etiam infra legebatur. 2. *ἀτελῶν* Schottus, *εὐτελῶν* bc Gaisfordus: omittit omnino vocem g. *γὰρ τινῶν* b Apost., Arsenius: vulgo *τινῶν* om. 3. *τοῦτό τινες* Apostolius. 5. *εὖνοια* K, vulg. 7. *π. π. ἀνθρ.*] K om. 8. K: *Ἀ. τ. καὶ σιρίφιος βάτραχος. καὶ ἀμ.* K om. 9. *τέττιγες*] K *τέττιγες βάτραχοι*: sqq. om. 13. *ἐπεὶ — ἔλεγον*] K: *οἱ γὰρ μ. ἄλα κ. κ. τιθέασι.* 19. K nonnisi haec: *ἐπὶ τῶν αἰτιῶν κακοῦ ἑαυτοῖς· αἴξ γὰρ σκαλεύουσα τὴν γῆν μάχαιραν εὗρεν.* 23. *φυσᾶν* g.

47. Zenob. I, 48.
48. K. I, 40: Zenob. I, 50.
49. K. I, 61: Zenob. I, 51. *Βάτρ. Σ.*] vid. infr. III, 44.
50. K. I, 21: Zenob. I, 25: a Diogeniano falsam proverbii explicationem afferri Lobeckius Aglaoph. I, 254 suspicatur.
51. Zenob. II, 26.
52. K. I, 25: Zenob. I, 27. *Κορ. τ. σκ.*] Diogen. V, 59. *K. φ.*] Theodorus Hyrtac. ap. Boiss. Anecd. II, 412: *φυσῶντας κόνιν εἰς οὐρανὸν καὶ τὴν γλῶτταν*

σᾷς, Εὖ κείμενον κακὸν κινεῖς, Λέοντα νύσσεις, Ἀνάγυρον κινεῖς.

53 Ἄδακρυς πόλεμος: ἐπὶ τῶν ῥᾷστα καὶ παρ' ἐλπίδα τὰ πράγματα κατορθούντων. Χρησμὸς γὰρ ἐδόθη Λακεδαιμονίοις, ἄδακρυν μάχην νικῆσαι· ὅθεν οὐδὲ εἷς τηνικαῦτα τούτων ἀπέθανεν.

54 Ἀδράστεια Νέμεσις: ἐπὶ τῶν πρότερον δοκησάντων μὲν προβήσεσθαι τὸ πρᾶγμα καλῶς, ἀποσφαλέντων δέ. ἀπὸ Ἀδράστου τοῦ † Θήβαις στρατεύσαντος καὶ μεγάλως σφαλέντος. Τὸ αὐτὸ καὶ, Καδμεία νίκη.

55 Ἀδδηφάγον ἅρμα: ἐπὶ τῶν γαστριμάργων.

56 Ἀετοῦ γῆρας, κορύδου νεότης: παρόσον καὶ γηράσκων ἀετὸς ἀμείνων ἐστὶ κορύδου νεάζοντος. Ὅμοιον· Ῥόδον ἀνεμώνῃ συγκρίνεις, Καρχίνον δασύποδι, Θρίπας ἀετῷ, καὶ, Χελώνην πηγάσῳ.

57 Ἀχεσσαίου σελήνη: ἐπὶ τῶν εἰς χρόνον ἀνα-

---

3. BV: ἐπὶ τῶν ἔξω κινδύνου παντὸς τὰ πράγματα κατορθούντων. Ὁ γὰρ Λωδωναῖος Λακιδ. πολεμοῦσιν Ἀρκάδας προεῖπε [προεῖπε V] μάχην ἄδακρυν ἔσεσθαι· οἱ καὶ συμβαλόντες [βαλόντες V] ἐνίκησαν μηδενὸς ἀποθανόντος: de K vide ad Greg. Cypr. I, 14. 7. vulgo ἐπὶ τῶν πρότερον εὐδοκησάντων. ἀπὸ κτλ.: supplevi e c, qui habet ἐπὶ τῶν προδοκησάντων κτλ. 9. Θήβαις στρ.] Θηβαίου στρατεύματος g.: obelum praefixi: scr. τοῦ ἐπὶ Θήβας. 11. ἀδηφάγον Photius, alii: Eustathius: ὅτι δὲ οἱ μὲν διπλοῦσι τὸ δ τοῦ ἄδην, οἱ δὲ δι' ἑνὸς αὐτὸ γράφουσι . . ἡ Ἰλιὰς δηλοῖ: v. Tittmannus ad Zonar. I, 39. γαστ. καὶ φιληδόνων B. γαστριμαργούντων K. 12. κορ. νεότης K om. 13. κρίττων ἐστὶ νεάζ. ὄρνιθος. λέγεται τὸν βίον ἀετὸς καταστρέφειν τῇ καμπῇ τοῦ ἄνω χείλους καὶ τοῦ κάτω τῷ χρόνῳ συγκαμψάσης: K: reliqua om.

ἀκονῶντας κατὰ θεοῦ. Εὖ κ. κ. κ.] infr. VI, 54. Λ. ν.] consimilem vim habet ὃς ὀρίνει Arsen. 460: v. infr. VIII, 61. Ἀνάγ. κ.] sup. I, 25.

53. V. ap. Schottum ad Zenob. I, 28. B. 31. Plutarch. 49. Apost. I, 40. Arsen. 18: vid. Zenob. I, 28. De proverbii origine explicant Xenoph. H. Gr. VII, 1, 28. Diodor. XV, 72. Plutarch. Agesil. 33: vid. Weiskius de Hyperb. cett. 15. 28.

54. Zenob I, 30. Καδμ. ν.] Zenob. IV, 45.

55. B. 35. K. I, 31. Apost. I, 48. Arsen. 19: Eustath. ad Hom. Od. Λ, 92 p. 1394, 36: ἐν δὲ τοῖς ῥητορικοῖς λεξικοῖς φέρεται — καὶ ἀδηφάγον ἅρμα διὰ τοὺς κατ' αὐτὸ τελείους ἵππους: Phot. Bekkeri Anecdd I, 203, 20. 343, 26. 28. Ab Argivis ἀδηφάγους nominatos esse ἄνδρας τοὺς πολλὰ ἐσθίοντας refert Hesychius s. ἀδηφάγοι.

56. K. I, 11: Zenob. II, 38. Ῥόδ. ἀν. σ.] Diogen. VIII, 1. Καρκ. δασ.] Apost. XI, 17. Θρ. ἀ.] compara Zenob II, 53. Χελ. πηγ.] Apostol. XX, 72. Arsen. 475.

57. Diogen. VI, 30. Apost. II, 19. XVIII, 46. Arsen. 31. 445:

βαλλομένων πρᾶξαί τι. Ἦν δὲ κυβερνήτης, ὃς ῥᾴθυμος ὢν, ἔλεγε διὰ παντὸς ἀναμένειν σελήνην, ἵνα ἐν φωτὶ ὁ πλοῦς αὐτῷ γένηται.

58 *Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι: ἐπὶ τῶν εἰς πάντα εὐδαιμονούντων· ἢ ἐπὶ τῶν ἀξίως τιμωμένων.*

59 *Αἰτναῖος κάνθαρος: ἐπὶ τῶν τῷ σώματι μεγάλων.*

60 *Ἀκλητὶ κωμάζουσιν ἐς φίλους φίλοι: δήλη ἡ παροιμία. Καὶ ὁμοία τῇ, Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἵενται.*

61 *Ἀεὶ κολοιὸς πρὸς κολοιὸν ἰζάνει: ἐπὶ τῶν τοῖς ὁμοίοις προσομιλούντων. Συνδυαστικὰ γὰρ καὶ συναγελαστικὰ τὰ ζῶα.*

62 *Ἄλις δρυός: ἐπὶ τῶν εἴς τινα βελτίονα δίαιταν μεταβαλλομένων. Τῶν γὰρ βαλάνων οἱ παλαιοὶ παυσάμενοι μετεῖχον σίτου καὶ οἴνου.*

63 *Ἄλλος οὗτος Ἡρακλῆς: ἐπὶ τῶν ἰσχυρῶν καὶ κραταιῶν ἡ παροιμία.*

---

3. *γίνοιτο* Apost. Arsenius. 9. *κωμάζουσι ἐς* K: vulgo *εἰς*. 10. *δ'* K om. 11. *δαῖτα ἴασιν* K. 12. *πρὸς*] *παρὰ* c. 13. *τοῖς* K om. *συνδυαστικὰ*] *συνεναστικά* cod. Maz. 86 A. ap. Boisson. ad Herod. Epimer. 271. *καὶ συναγ.*] K om. 18. *καὶ κτλ.*] K om. *καὶ καρτερῶν· φασὶ δὲ ὅτι ἐπὶ Θησεῖ ἐλέγετο, δι' ἅπερ καὶ αὐτὸς κατώρθωσεν*: B 46. *κρατειῶν* Schottus, *καρτερῶν* c, *κραταιῶν* g Gaisfordus.

Phot. et Suidas s. *τὴν Ἀκεσαίου σελήνην.*

58. Zenob. II, 44.

59. Apost. II, 7. Arsen. 33: Schol. Venet. ad Aristoph. Pac. 73: Hesych. Suidas. Arist. Pac. 73 ibiq. interpp.

60. K. II, 25: Zenob. II, 46. *Αὐτόματοι κτλ.*] Zenob. II, 19.

61. K. I, 27: Zenob. II, 47.

62. K. I, 29: Zenob. II, 40.

63. K. I, 22. Cum B consentiunt Plutarch. Thes. 29. Apost. II, 74. Arsen. 44 ibiq. Macar.: Hesych. Suidas: accuratius rem enarrat Ptolom. Hephaestio Photii Bibl. 151 Bekk.: *ὃν (Μενίππον Ἠλεῖον) καὶ συμμαχῆσαι Ἡρακλεῖ ἐν τῷ πρὸς Αὐγίαν πολέμῳ φασὶ καὶ ἀναιρεθέντα ταφῆναι ἐν Λεπρέῳ παρὰ πεύκῃ δένδρῳ· ἀγῶνα δὲ θεῖς ἐπ' αὐτῷ Ἡρακλῆς ἐπάλαισε Θησεῖ· ἰσοπαλοῦς δὲ τοῦ ἀγῶνος γενομένου ἐρρέθη παρὰ τῶν θεατῶν περὶ τοῦ Θησέως· ἄλλος οὗτος Ἡρακλῆς*: aliae veterum explicationes afferuntur ab Eustath. ad Hom. Il. *E*, 638 p. 589, 41: *σημείωσαι δὲ καὶ ὅτι διάφοροι Ἡρακλεῖς ἱστοροῦνται, ὡς δηλοῖ ὁ εἰπὼν ὅτι ἐν τῷ, ἄλλος οὗτος Ἡρ., ὅπερ ἐπὶ Θησεῖ παροιμιωδῶς ἐλέχθη, ἄδηλον, ἢ ἐπὶ τῷ Ἰδαίῳ Δακτύλῳ Ἡρακλεῖ ἐρρέθη ἢ τῷ τῆς Ἀλκμή-*

64 *Ἀμαλθείας κέρας*: *ἐπὶ τῶν πάντα τὰ καλὰ ἐν ἑαυτοῖς κεκτημένων. Ῥέα γὰρ τεκοῦσα τὸν Δία, ἔδωκεν Ἀμαλθείᾳ τρέφειν, διὰ τὸ μὴ ὑπὸ Κρόνου καταβρωθῆναι τοῦ ἰδίου πατρός. Ἡ δὲ αἶγὶ αὐτὸν ὑπέβαλεν. Ὁ τοίνυν Ζεὺς μετὰ τὸ κατάξαι τῶν οὐρανῶν τὸν πατέρα, ἐγκρατὴς γενόμενος τῆς βασιλείας, τὴν μὲν αἶγα κατηστέρισε· τὸ δὲ ἕτερον τῶν κεράτων αὐτῆς ἀρελὼν παρέσχε τῇ Ἀμαλθείᾳ, παρασκευάσας γίνεσθαι αὐτῇ διὰ τοῦ κέρατος ὃ ἂν αἰτήσοι.*

65 *Ἀετὸν ἵπτασθαι διδάσκεις*: *φανερὰ ἡ παροιμία. Ὅμοιον, Ἀλφῖνα νήχεσθαι διδάσκεις. Καὶ, Ἵππον εἰς πεδίον. Ταχύτερος γάρ ἐστιν ἐν προσομάλῳ τόπῳ.*

---

1. K: *ὅτι τῇ τροφῷ αὐτοῦ Ἀμαλθείᾳ ὁ Ζεὺς ἐξ αἰγὸς τρεφούσῃ αὐτὸν παρέσχε κέρας αἰγός, δι' οὗ ἐπίβλυζεν αὐτῇ πᾶν ὃ ἂν ἠτήσατο.* 9. *αἰτήσῃ* Boissonadus *Manuscr. de la Biblioth. du Roi* XI, 26. 12. C: *ἵππος ἐ. π.*: *παροιμία ὁμοία τῇ, Ἀλὸς εἰς πῦρ*: Cod. Par. 1630 ap. Boisson. Anecdd. I, 397: *ἵππος εἰς λεῖον πεδίον*, omissa explicatione: Cod. Par. 1000 ap. Boisson. l. c.: *ἵππον εἰς πεδίον προκαλῇ* [sic]· *ἐπὶ τῶν προτρεπομένων τινὰς ἑτοίμους καὶ αὐτοὺς ὄντας καὶ πεφυκότας ἐπί τι.* Apostolius: *ἵππον εἰς πεδίον διδάσκεις τρέχειν*: Suidas: *ἵππον εἰς πεδίον ἄξεις.* *ταχύτερον* g.

νης. Αἴλιος δὲ Διονύσιος τοῦτό φησι. Παυσανίας δὲ ἱστορεῖ, ὅτι τὸ ἄ. ο. Ἡ. παροιμία ἐστὶν ἐπὶ Θησεῖ ἢ ἐνί τῶν Ἰδαίων Δακτύλων· οἱ δὲ ἐπὶ τῷ Αἰγυπτίῳ Ἡρακλεῖ, οἱ δὲ ἐπὶ τῷ τῆς Ἀλκμήνης: a Tithormi denique pastoris robore admirabili proverbium originem sumpsisse, Aelianus V. H. XII, 22 ex eoque Schol. Lucian. q. hist. conscr. op. 34 asserit: *θιασάμενος δὲ ὁ Μίλων* (Crotoniata Tithormi vires), *εἰς τὸν οὐρανὸν τὰς χεῖρας τείνας, ἔφατο, ὦ Ζεῦ, μὴ τοῦτον Ἡρακλῆν ἡμῖν ἕτερον ἔσπειρας; ἐντεῦθεν ῥηθῆναι λέγουσι τὴν παροιμίαν· οὗτος ἄ. Ἡ.*: vid. Lobeckius Aglaoph. II, 1169. Usurpat Aristot. Ethic. Eudem. VII, 12. Ethic. Magn. II, 15: *εἰ δή τις ἐπὶ τὸν φίλον ἐπιβλέψας ἴδοι τί ἐστι καὶ ὁποῖός τις φίλος, τοιοῦτος οἷος ἕτερος εἶναι ἐγώ, ἄν γε καὶ σφόδρα φίλον ποιήσῃς ὥσπερ τὸ λεγόμενον· ἄλλος οὗτος Ἡρακλῆς, ἄλλος φίλος ἐγώ*: vid. Zenob. V, 48.

64. K. I, 30. Zenob. II, 48.

65. Zenob. II, 49. *Διὰφ. ν. δ.*] Zenob. III, 30. *Ἵππον ε. πεδ.*] C. 275. Apostol. X, 54 Schol. Ven. ad Hom. Il. *E*, 222: *ὅθεν καὶ παροιμία τὸ ἵππος εἰς* [Schol. Bachm *διὰ*] *πεδίον*: Eustath. ad Hom. Il. *E* p. 541, 30: *καλῶς δὲ ἔχει καὶ τὸ πεδίοιο, ὡς τοῦ ἵππου ἐν τραχυνοῖς οὐ πάνυ εὐδοκιμοῦντος· ἐξ οὗ καὶ παροιμία τὸ ἵππος εἰς πεδίον*: id. ibid. X, 126 p. 1262, 17: Schol. ad Plat. Theaet. p. 365 Bekk.: *ἱππεῖς προκαλεῖσθαι εἰς πεδίον, ἐπὶ τῶν τοὺς ἔν τισι βελτίους καὶ ἐπιστημονικωτέρους αὑτῶν εἰς ἔριν προκαλουμένων· Πλάτων Θεαιτήτῳ καὶ Μένανδρος* [p. 93 Meinek.] *Καταψευδομένῳ· γράφεται καὶ ἵππον εἰς πεδίον προκαλεῖσθαι, ἐπὶ τῶν εἰς ἃ βούλεταί τις προκαλούντων*: Schol. ad Lucian. Piscat. §. 9, quod e Bachmanni recensione Anecdd. II, 332 appono: *παροιμία ἐπὶ τῶν, ὁπηνίκα ἀπόροις ἐντύχωνται, ἀξιοῦντων τι τοιοῦτο, ὃ*

66 Ἀττικὸς εἰς λιμένα: ἐπὶ τῶν μετὰ σπουδῆς ὃ ἐπίστανται ποιούντων. Οἱ γὰρ Ἀττικοὶ μέλλοντες ἀπαίρειν πρὸς μάχην καὶ τοῦ λιμένος ἐξιόντες, μετὰ σφοδρότητος ἤλαυνον πρὸς ἐπίδειξιν τῶν οἰκείων ὁρώντων.

67 Ἀετὸς ἐν νεφέλαις: ἐπὶ τῶν δυσαλώτων· οὐ γὰρ ἁλίσκεται ἀετὸς ἐν νεφέλαις.

68 Ἀεὶ φέρει τι Λιβύη κακόν: ἐπὶ τῶν προεξευρισκόντων ἀεὶ νεώτερόν τι κακὸν καὶ κακούργων.

69 Ἀμνία θερίζειν: ἐπὶ τῶν χρόνῳ ὕστερον τιμωρουμένων. Ὅταν γὰρ ἀμνία ᾖ, οὐκ ἀποκείρεται.

70 Ἀεί με τοιοῦτοι πόλεμοι διώκοιεν: ἐπὶ τῶν καταφρονούντων τινῶν. Ὅμοια,

Πολλῶν ἐγὼ θρίων ψόφους ἀκήκοα·
Πολλαῖσι πληγαῖς δρῦς δαμάζεται·
Πολλά κεν εἰδείης, οἷς τὸν θεὸν ἐξαπατήσεις.

71 Ἀετὸς θρίπας ὁρῶν: ἐπὶ τῶν ἀφροντιστούντων τῶν μικρῶν.

---

3. ἀπαίρειν] ἄπειραν p. πρὸς μάχην pb Arsenius: vulgo εἰς. 5. οὐ γὰρ κτλ.] K om. 7. καινὸν κακόν Zenobius. τ. ἀεὶ ἐξευρισκόντων τι νέον κακόν K, omissis reliquis. 11. ἐπὶ τῶν μηδενὸς ἀξίων K, qui sqq. om. 13. vulgo: ἐγὼ πολλῶν θηρίων: unde correxerim, vide infr. ad VII, 92. 14. vulgo πολλαῖς. μαλάζεται P. 16. ὁρῶν] K ὁρᾷ. ἀφροντιστούντων] K καταφρονούντων: v. Zenobium.

λύσιν μὲν δοκεῖ παρέχειν βραχεῖαν καὶ ἄνεσιν· τὸ δέ ἐστι μέγα καὶ πρὸς ἐπίδειξιν συντεῖνον τῆς τοῦ ἐπιζητοῦντος δυνάμεως· τί γὰρ καταλληλότερον ἵππῳ παιδίου πρὸς τὸ τὴν οἰκίαν ἐπιδείξασθαι ἀρετήν; παράλληλοι ταύτῃ τῇ παροιμίᾳ καὶ αὗται· ὕδωρ βατράχῳ καὶ στέαρ γαλῇ [infr. III, 58] καὶ Λυδῷ πράγματα. Suidas. Usurpat Plat. Theaetet. 183 D: add. Synesius Epist. 155. Anon. in Cram. Anecdd. III, 204: τοῦτ' ἐκεῖνο, Μουσαῖε, τὸν ἵππον ἄγεις εἰς τὸ παιδίον [lege παιδίον]: v. Boissonadus Anecdd. I, 397. 459: v. Diogen. V, 28. Similiter Λυδὸν εἰς παιδίον προσκαλεῖν is dicitur, qui alterum ad id praestandum exhortatur, quod sponte et non provocatus agit: Liban. Epist. 532. Λαλ. εἰς πῦρ] C. 275. Suidas: vid. Diogen. VII, 82.

66. Zenob. II, 10.

67. K. I, 32: Zenob. II, 50.

68. K. I, 43: Zenob. II, 51.

69. Apostol. II, 99. Arsen. 54: Eustath. ad Hom. Odyss. I, 239 p. 1627, 14: φασὶ — οἱ παλαιοὶ — — ὅτι παροιμία ἀμνεῖν τὸ θερίζειν (lege τὸ, ἀμνία θερίζειν) ἐπὶ τῶν ἐκ διαλείμματος τιμωρουμένων· τὰ γὰρ ἄρνια (lege ἀμνία) ἐν τῷ ἔαρι ἄκαρπα ἐᾶται: Hesychius.

70. K. I, 38: Zenob. II, 52. πολλῶν ἐγὼ κτλ.] Diogen. VII, 92. Πολλαῖσι π. δ. δ.] Diogen. VII, 77. πολλά κ. κτλ.] Diogen. VII, 78.

71. K. I, 39: Zenob. II, 53.

72 Ἅμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας: ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτουμένων, ἄλλα δὲ μὴ ἔχειν ἀρνουμένων.

73 Ἀνδραποδώδης θρίξ: ἐπὶ τῶν ἠλιθίων· Πλάτων· Ἔχων τὰς ἀνδραποδώδεις ἐπὶ τῆς ψυχῆς τρίχας ὑπ' ἀμουσίας.

74 Ἀνὴρ δὲ φεύγων οὐ μένει λύρας κτύπον: ἐπὶ τῶν ταχέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα πράττειν.

75 Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν, ἀλλ' αὐτὸς ἐξελθὼν ἐπριάτο: ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων. Κροῖσος γὰρ ἑαυτῷ πολέμων ἐπεσπάσατο Κῦρον.

76 Ἀντὶ πέρκης σκορπίον: ἐπὶ τῶν τὰ χείρω αἱρουμένων ἀντὶ τῶν βελτιόνων.

77 Ἀνεῳγμέναι Μουσῶν θύραι: ἐπὶ τῶν ἐξ ἑτοίμου λαμβανόντων τὰ κάλλιστα τῶν ἐν παιδείᾳ.

78 Ἀνδρὸς γέροντος αἱ γνάθοι βακτηρία: ἐπὶ τῶν πρὸς τὸ γῆρας πολλὰ ἐσθιόντων.

---

2. vulgo ἀπαιτούντων: correxi e Zenobio. 4. ἀνδραποδώδης] ἀνδραπόδων K. Πλάτων κτλ. K om. 5. ἔχοντας g Arsenius: ἔχοντες Plato. 6. ὑπὸ τῆς ἀμουσίας B: ὑπ' ἀμ. etiam Plato. 10. ἐξελθών] ἐλθών K. 11. ἑαυτοῦ ἐπισπᾶτο g. Κύρον K. 14. μουσῶν c. 15. Schottus κάλλ. ἐν παιδείᾳ: K κάλλ. ἐν τῇ παιδεία: τῶν ex c Gaisfordus adjecit. 16. ἡ γνάθος c. βακτηρίαι B K. 17. τὸ γηρᾶν g Schottus, τῷ γήρᾳ c, τῶ γήρα K, τὸ γῆρας B Gaisfordus.

72 Zenob. I, 83.

73. B. 113. K. I, 81. Apost. III, 19. Arsen. 55: Eustath. Hom. Il. *A*, 189 p. 79, 8: *σημείωσαι καὶ Πλάτωνος* (Alcib. I, 120 B.) *τὸ, ἔχων τὰς ἀνδραποδώδεις ἐπὶ τῆς ψυχῆς τρίχας, ὅπερ ἦν σκῶμμα ἐπὶ ἀνοησίᾳ, ληφθὲν ἀπὸ τῆς τῶν ἀνδραπόδων κουρᾶς*: Olympiodor. ad Plat. l. c., Schol. Plat. 387 Bekk.: *τὴν ἀνδραποδώδη τρίχα παροιμίαν εἶναί φασιν οἱ μὲν ἀπὸ τῶν ἀρτιγενῶν πώλων, οἱ δὲ ἀπὸ εἴδους κουρᾶς προσηκούσης ἀνδραπόδοις, παρ' ὃ καὶ αἱ γυναῖκες τοὺς ἀπὸ δούλων ἐλευθέρους γιγονότας, οὔπω δὲ τὸ ἦθος μεταβαλόντας, ταύτην ἔτι ἔχειν τὴν τρίχα ἔλεγον σκώπτουσαι*: Suidas. Compara *ἡδονὰς ἀνδραποδώδεις*, quod e Plat. Phaedro 258. E. affert Phrynichus Bekk. Anecd. I, 29, 11 et cf. Ruhnkenium Tim. Lex. 36.

74. Zenob. I, 86.

75. K. I, 76: Zenob. I, 87.

76. Zenob. I, 88.

77. K. II, 26: Zenob. I, 89.

78. B. 118. K. I, 88. Greg. Cypr. I, 58. Apost. III, 52. Arsen. 56 ibiq. Macar.: J. Georgides Gnomol. in Boiss. Anecd. I, 10, qui versum Aesopo adscribit: Suidas. Usurpat Gregorius Thessalonic. a Schotto allatus: *ὅμως ἀλήθει γνάθοις ἀμύλοις ὡς οἷόν τε, ἃς καί τις παροιμία ὅσα καὶ βακτηρίαν ἀποχαρίζεται ἀνδρὶ γέροντι.*

79 Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι: δήλη ἡ λύσις.

80 Ἄνθρωπος ἀνθρώπου δαιμόνιον: ἐπὶ τῶν ἀπροσδοκήτως ὑφ' ἑτέρων σωζομένων.

81 Ἂν οἶνον αἰτῇ, κόνδυλον αὐτῷ δίδου: ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, κακὰ δὲ ἀντιλαμβανόντων. Ἡ δὲ ἱστορία ἀπὸ τοῦ Κύκλωπος.

82 Ἀνέμου πεδίον: ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων εἴρηται.

83 Ἂν ἡ λεοντῇ μὴ ἐξικῆται, τὴν ἀλωπεκῆν πρόσαψον: ὅτι ἐὰν μὴ φανερῶς δύνῃ ἀμύνασθαι, πανουργίᾳ χρῆσαι.

84 Ἀντιπελαργεῖν: ἐπὶ τῶν τὰς χάριτας ἀνταποδιδόντων. Λέγονται γὰρ οἱ πελαργοὶ γεγηρακότας τοὺς γονεῖς τρέφειν.

85 Ἀνδρὸς γέροντος ἀσταφὶς τὸ κρανίον: ἐπὶ τῶν εἰς μηδὲν χρησιμευόντων. Πᾶν γὰρ τὸ σῶμα τῶν γερόντων ἀσθενές.

86 Ἀνδρὸς γέροντος μήποτ' ἐς πυγὴν ὁρᾶν: ἐπὶ τῶν πρὸς ἔνια μὴ χρησίμων.

87 Ἀντλεῖν ἀμφοτέραις: λείπει, χερσίν. Ἡ παροιμία δήλη.

88 Ἀνέμους γεωργεῖν: πρὸς τοὺς πονοῦντας καὶ μηδενὸς μεταλαγχάνοντας.

λ'

4. ἀπροσδοκήτων c. 5. κόνδυλον] κονδυ K et in margine: κυ. αὐτῷ δίδου K b c g Gaisfordus: ἀντιδίδου Schottus. 6. κακὰ — Κύκλωπος] K: δεινὰ δὲ λαμβανόντων, ὡς κύκλωψ. 8. παιδίον K. 9. εἴρηται] B K om. 10. vulgo ἐξίκηται: vid. Zenobius. 11. πανουργίᾳ p b c Gaisfordus: πανούργως Schottus. 13. ἐπὶ — τρέφειν] K: ἀντιδιδόναι χάριτας. 19. πυγὴν] b g πηγὴν. 21. K: ἀ. ἀμφ. χερσίν, ἐπὶ τῶν σπουδῇ τι ποιούντων. 23. γεωργεῖς Zenobius.

79. Zenob. I, 90.
80. Zenob. I, 91.
81. K. I, 48: Zenob. I, 92.
82. B. 122. 205. K I, 94. Apost. III, 57. Arsen. 57 ibiq. Macarius. Eodem sensu ἀνέμου παιδίον dicitur, de quo vid. interpp. ad Suidam s. v.
83. Zenob. I, 93.
84. K. I, 76: Zenob. I, 94.
85. Zenob. I, 96.
86. Zenob. I, 97.
87. K. II, 30: Zenob. I, 98.
88. K. I, 79: Zenob. I, 99.

89 Ἀντὶ κακοῦ κυνὸς ὗν ἀπαιτεῖς: ἐπὶ τῶν καλὰ ἀντὶ κακῶν ἀνταποδιδόντων.

90 Ἄνθρακες ὁ θησαυρός: ἐπὶ τῶν ἐφ' οἷς ἤλπισαν διαψευσθέντων. Ὡς ὁ Λουκιανός· Ἄνθρακάς μοι τὸν θησαυρὸν ἀπέφηνας.

91 Ἄξιος τοῦ παντός: ἐπὶ τῶν σφόδρα τιμίων.

92 Ἄξιος εἶ τῆς ἐν Ἄργει ἀσπίδος: ἐπὶ τῶν εὐγενῶν καὶ αἰδημόνων. Οἱ γὰρ ἐν Ἄργει ἀνύβριστοι παῖδες καὶ καθαροὶ κατὰ νόμιμον παλαιὸν τὰς ὀσπίδας φέροντες πομπεύουσιν.

93 Ἄξιος τριχός: ἐπὶ τῶν εὐτελῶν.

94 Ἀπὸ βραδυσκελῶν ὄνων ἵππος ὤρουσεν: ἐπὶ τῶν ἀπὸ εὐτελῶν μέν, ἐνδόξων δὲ γενομένων ἐκείνων.

95 Ἄπληστος πίθος: ἐπὶ τῶν γαστριμαργούντων· ἀπὸ τῶν περὶ τὰς Δαναΐδας πίθων.

96 Ἀφ' ἵππων ἐπ' ὄνους: ἐπὶ τῶν ἀπὸ σεμνῶν εἰς τὰ ἄσεμνα ἡκόντων, οἷον ἀπὸ γραμματικῆς ἐπὶ ἡνιοχευτικήν, ἢ ἄλλο τι τῶν οὐ σεμνῶν.

97 Ἅπαντα τοῖς σοφοῖς εὔκολα: ἐπὶ τῶν διὰ φρονήσεως καὶ τῶν δυσκόλων περιγινομένων.

98 Ἀπὸ κώπης ἐπὶ βῆμα: ἐπὶ τῶν ἀπὸ χειρώνων εἰς κρείττονα.

99 Ἀντ' εὐεργεσίας Ἀγαμέμνονα δῆσαν Ἀχαιοί: ἐπὶ τῶν ἀχαρίστων.

---

2. καλὰ] κακὰ pbg. ἀνταποδ.] Schottus e Zenobio mavult ἀπαιτούντων. 3. θησαυρὸς γέγονεν K. οἷς] ἧς g. ἤλπισε K. 4. ὡς κτλ.] K om. 11. K: ἐπὶ τῶν μηδενὸς ἀξίων. 13. K: ἐπὶ τῶν ἐξ εὐτελῶν ἐπὶ τὰ μείζω θαῤῥούντων: v. Zenobium. 14. γαστριμάργων K. 15. ἀπὸ κτλ. K om. 17. ἄσεμνα b Zenobius, Gaisfordus: ἄσημα Schottus. ἐπὶ] ex b Gaisfordus adjecit. 19 σοφοῖσιν Zenobius. διὰ φρόνησιν K. 21. KB: ἀπὸ τῆς [om. K.] κώπης ἐπὶ τὸ [om. K.] βῆμα: ἐπὶ τῶν ἀθρόως τοῖς μεγίστοις [verba ἀθρ. τ. μεγ. in K ex parte erasa sunt.] ἐγχειρούντων. 23. εὐεργεσίης Zenobius.

89. Zenob. I, 100.
90. K. I, 96: Zenob. II, 1.
91. K. I, 89: Zenob. II, 2.
92. Zenob. II, 3.
93. K. I, 92: Zenob. II, 4.
94. K. I, 97: Zenob. II, 5.
95. K. I, 78: Zenob. II, 6.
96. Zenob. II, 33.
97. K. I, 98: Zenob. II, 9.
98. B. 204. K. II, 13. Greg. Cypr. I, 74. Apost. IV, 17. Arsen. 71. Adhibuit Syrianus: vid. Nott. ad Zenob. I, 95.
99. Zenob. II, 11.

100 Ἀλώνητον ἀνδράποδον: τὸ εὐτελές, τὸ πρὸς ἅλας ὠνηθέν. Ὅθεν καὶ Μένανδρος·

Θρᾷξ εὐγενὴς εἰ πρὸς ἅλας ὠνημένος.

1 Αἱ Χάρητος ὑποσχέσεις: ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων. Χάρης γὰρ ἐγένετο στρατηγὸς Ἀθηνῶν, πολλὰ προχείρως ἐπαγγελλόμενος.

2 Ἄριστα χωλὸς οἰφεῖ: φασὶν ὅτι αἱ Ἀμαζόνες τοὺς γεννωμένους ἄῤῥενας ἐπήρουν. Ὅθεν πολεμοῦντες αὐταῖς οἱ Σκύθαι, καὶ βουλόμενοι αὐτὰς ἐξαπατῆσαι, ἔλεγον ὅτι συνέσονται αὐταῖς εἰς γάμον ἀπήρωτοι καὶ οὐ λελωβημένοι, ὡς τῶν ἐκείνων ἀνδρῶν λελωβημένων ὄντων. Ἐξ ὧν ἀποκριθεῖσα ἡ ἡγεμὼν τῶν Ἀμαζόνων, Ἄριστα, φησὶ, χωλὸς οἰφεῖ, ἀντὶ τοῦ συνουσιάζει.

3 Ἀκεσίας ἰάσατο: ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἰωμένων. Καὶ Ἀριστοφάνης· Ἀκεσίας τὸν πρωκτὸν ἰάσατο.

---

1. ἀνώνητον g, ἀλάνητον K, ἀνόνητον Schottus. 2. ὅθεν κτλ. K om. 3. Legebatur Θρᾴξ. ὠνημένος] ἠγορασμένος Zenobius. 4. Χάριτος g. 5. Χάρις g: eadem scripturae discrepantia in Zonara s. Χάρης invenitur. 6. Vulgo καὶ προχείρως: copulam cum B delevi. 7. C: ἄρ. χ. ὑφεῖ: ἐπὶ τῶν οἰκεῖα κακὰ μᾶλλον αἱρουμένων ἢ τὰ ἀλλότρια ἀγαθά. τῶν γὰρ Σκυθῶν ποτε ταῖς Ἀμαζόσι πολεμούντων καὶ ἀνοχῆς γενομένης, τά τε ἄλλα φιλοφρονουμένων καὶ φασκόντων αὐταῖς, ὅτι εἰ τούτοις πεισθεῖεν, ἀπηρώτοις συνίσονται ἀνδράσιν, ἀλλ' οὐχὶ λελωβημένοις καὶ χωλοῖς καὶ ἀχρείοις ὡς οἱ παρ' αὐταῖς, Ἀντιάνειρα, ἡ τούτων ἡγουμένη θρασεῖα ἅμα καὶ ἀκόλαστος οὖσα, εἶπε πρὸς αὐτούς, ἄριστα χωλὸς ὑφεῖ, ἀντὶ τοῦ συνουσιάζει. Αἱ γὰρ Ἀμαζόνες τῶν τικτομένων παρ' αὐταῖς ἀῤῥένων, ἐπήρουν τὰ σκέλη ἢ τὰς δεξιὰς χεῖρας· δῆλον οὖν, ὅτι χωλοῖς ἀνδράσιν ἐχρῶντο. Nota erant e Biblioth. Coisl. 606. Lectio ὑφεῖ etiam in Suidae codd. reperitur. Ceterum verbis codicis C explicationem Pausaniae contineri, Eustathius infra allatus docet. 9. ἐξαπατῆσθαι P. 14. ἐπὶ τῶν τῷ χείρονι κεχειρημένων καὶ ἰωμένων c.

100. K. I, 80: Zenob. II, 12.

1. Zenob. II, 13. Vid. Valckenaerius Orat. de Phil. Maced. p. 279. n. et Zenob. VI, 34.

2. C. 41. Plut. 15. Apost. IV, 43. Arsen. p. 75 ibiq. Macar.: Schol. Theocr. IV, 62. Eustath. Hom. Il. γ, 189 p. 403, 6: δῆλον δὲ ὅτι ἀπ' αὐτῶν [Ἀμαζόνων] καὶ παροιμία φέρεται τὸ, ἄρ. χ. οἰφεῖ· ἐπήρουν μὲν γάρ, φασὶν, Ἀμαζόνες ἀῤῥένων σκέλος ἢ δεξιὰν χεῖρα· Σκυθῶν δὲ προκαλουμένων αὐτὰς αὐτοῖς συνοικεῖν, ὡς ἀπηρώτοις οὖσι. κατὰ Παυσανίαν, Ἀντιάνειράν φασι, μίαν τῶν Ἀμαζόνων, θρασεῖαν οὖσαν καὶ ἀκόλαστον, εἰπεῖν· ἄριστα χωλὸς οἰφεῖ, ὡς ἀρκουμένων αὐτῶν τοῖς χωλοῖς: Suidas.

3. Zenob. I, 52.

4 Ἀκκίζεσθαι: Ἀκκὼ γυνή τις ἐπὶ μωρίᾳ διαβαλλομένη, ἥτις ἐσοπτριζομένη τῇ οἰκείᾳ σκιᾷ ὡς ἑτέρᾳ διελέγετο.

5 Ἄκους τοῦ τέτταρα ἔχοντος ὦτα: ἐπὶ τῶν πολλὰ εἰδότων καὶ πολλὰ ἀκουόντων· τὸν γὰρ Ἀπόλλωνα Λακεδαιμόνιοι τετράωτον ἵδρυσαν.

6 Ἀκίνητα κινεῖς: ὅτι οὐ δεῖ κινεῖν, οὐ βωμούς, οὐ τάφους.

7 Ἀκεσαίου καὶ Ἑλικῶνος ἔργα: ἐπὶ τῶν θαύματος ἀξίων· οὗτοι γὰρ τὸν τῆς Πολιάδος Ἀθηνᾶς πέπλον ἐδημιούργησαν.

8 Ἀκόνην σιτίζεις: ἐπὶ τῶν τροφῇ πολλῇ χρωμένων, μηδὲν δὲ εἰς τὸ σῶμα ἐπιδιδόντων. Ὅμοιον, Διὰ δακτυλίου δεῖ σε ἑλκυσθῆναι.

9 Ἀκέφαλος μῦθος: ἐπὶ τῶν ἀτελῆ λέγοντων. Πλάτων· Ἀκέφαλον ἐκὼν καταλίποιμι μῦθον.

10 Ἄκρῳ ἅψασθαι δακτύλῳ: ἐπὶ τῶν οὐκ ἀκριβῶς ἠσκημένων.

11 Ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν: δήλη ἡ παροιμία. Φίλοι γὰρ ἐκ τούτων γινόμεθα.

12 Ἄλμη οὐκ ἔνεστιν αὐτῷ: ἐπὶ τοῦ ἀηδοῦς καὶ ἀναρτύτου.

13 Ἄλλοι κάμον, ἄλλοι ὤναντο: ἐπὶ τῶν παρ' ἐλπίδα τὰ ἀλλότρια κληρονομούντων.

---

7. K: ὅτι οὐ δεῖ κινεῖν ὅρους μὴ τάφους μὴ ὀροφήν: de aliis formis explicationis vid. Bernhardy ad Suidam. 9. Ἀκεσσαίου K: Ἀκεσίως recte Zenobius. 10. οὗτοι κτλ. K om. τὸν ex bc Gaisfordus adjecit. Παλάδος g. 13. εἰς τὸ] articulum K om. ὅμοιον κτλ. K om. 14. δακτυλίου bc Gaisfordus: δακτύλου Schottus. 15. ἀτελῆ] ἀσιλγῆ bg. 16. Πλάτων κτλ. K om. ἐκὼν bg om. καταλειλείποιμι g: v. Zenobius. 19. δήλη ἡ π.] K om. 20. φίλοι γὰρ] ὅτι φίλοι K. 21. οὐκ ἔστιν ἐν αὐτῷ K.

4. Zenob. I, 53. — De vario verbi usu vid. Cic. Epist. ad Div. II, 19 Lucian. Amor. §. 42 Hesych. s. ἀκκίζειν: Coraes ad Heliod. T. II, 204.

5. Zenob. I, 54.

6. K. I, 63: Zenob. I, 55.

7. K. I, 64: Zenob. I, 56.

8. K. I, 62: Zenob. I, 58. — De proverbio διὰ δακτυλίου κτλ. vid. infr. IV, 30.

9. K. I, 65: Zenob. I, 59.

10. K. I, 47; Zenob. I, 61.

11. K. I, 66: Zenob. I, 62.

12. K. I, 41: Zenob. I, 63.

13 K. I, 67: Zenob. I, 65: v. infr. II, 62.

14 Ἀλλ' οὐδὲν δεῖ περὶ τὸν βωμὸν τὰς ἐπινοίας: ὅτι οὐ δεῖ ἐν αὐτοῖς τοῖς πράγμασι βουλεύεσθαι. Οἱ γὰρ τὰ ἱερεῖα προσάγοντες οὔκουν μετὰ τὸ καλλιερῆσαι βουλεύονται.

15 Ἀλλ' οὐκ αὖθις ἀλώπηξ: λείπει τὸ, ἁλώσεται. Ἐπὶ τῶν πονηρῶν δέ.

16 Ἄλλο γλαῦξ, ἄλλο κορώνη φθέγγεται: ἐπὶ τῶν ἀλλήλοις οἱ συμφωνούντων, ἀλλ' ἐριζόντων τοῖς κρείττοσιν.

17 Ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα: ἐπὶ τῶν ἐξαπατᾶν βουλομένων τοὺς ὁμοίους.

18 Ἀλώπηξ οὐ δωροδοκεῖται: ἐπὶ τῶν οὐ ῥᾳδίως ἁλισκομένων.

19 Ἄλλως ᾄδεις: ἐπὶ τῶν μάτην πονούντων.

20 Ἄλλοισι μὲν γλῶσσα, ἄλλοισι δὲ γόμφιοι: οἱ μὲν γὰρ λάλοι, οἱ δὲ φάγοι.

21 Ἄλλα μὲν Λεύκωνος ὄνος φέρει, ἄλλα δὲ Λεύκων: ἐπὶ τῶν ἀσυμφώνους τοὺς λόγους τοῖς ἔργοις παρεχομένων. Λεύκων γάρ τις γεωργὸς, μέλιτος ἀσκοὺς εἰς φορμὸν ἐμβαλὼν, ἐκόμιζεν εἰς Ἀθήνας, κριθὰς τοῖς φορμοῖς ἐμβαλών, ὡς ὀλίγον εἰσπραχθησόμενος τέλος. Τοῦ δὲ ὄνου πεσόντος οἱ τελῶναι βοηθῆσαι βουλόμενοι ἔγνωσαν ὅτι μέλι ἐστὶν, καὶ τοῦτο ἔφησαν.

22 Ἄλλην μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεισρέει: ἐπὶ τῶν πονούντων καὶ πλέον οὐδὲν ἀνυόντων.

23 Ἀμεινόνων οἰωνῶν τυχεῖν: ἐπὶ τῶν ἐκ κακῶν εἰς ἀγαθὰ μεταβαινόντων.

---

1. τὰς] τῆς c. 8. οὐ — ἀλλ'] ἀσυμφωνούντων καὶ K. 15. μὲν e K inseruit. γόμφοι c g. 16. ἐπὶ τῶν λάλων καὶ φάγων K. 21. εἰς ὀλίγον p. 22. βοηθεῖσθαι p. 25. ἐπὶ — ἀνυόντων] ἐπὶ τῶν μάτην πονούντων K: v. Zenobius.

14. Zenob. I, 66.
15. Zenob. I, 67.
16. K. I, 68: Zenob. I, 69.
17. K. I, 69: Zenob. I, 70.
18. K. I, 42: Zenob. I, 71.
19. K. I, 70: Zenob. I, 72: vid. Diogen. V, 11. ibiq. nott.
20. K. I, 71: Zenob. I, 73.
21. Zenob. I, 74.
22. K. I, 72: Zenob. I, 75.
23. Zenob. I, 76.

24 *Ἀμ' ἔπος, ἄμ' ἔργον: ἐπὶ τῶν ὀξέως καὶ ταχέως ἀνυομένων.*

23 *Ἀμελοῦς γωνία: ἐπὶ τῶν ῥαθύμως καὶ ἀργῶς καθημένων. Ἔστι γὰρ χωρίον Λιβύης ἐν ἀποκρύφῳ Ἀμελοῦς γωνία καλούμενον.*

26 *Ἀμουσότερος Λειβηθρίων: ἐπὶ τῶν ἀπαιδεύτων. Λειβήθριον γὰρ ὄρος † Πιερικὸν, οὔτε μέλους ἁπλῶς, οὔτε ποιήματος ἔννοιαν λαμβάνον.*

27 *Ἄμμον μετρεῖν: ἐπὶ τῶν ἀδυνάτων.*

28 *Ἀνέμους θηρᾶν ἐν δικτύοις: ἐπὶ τῶν ὁμοίων.*

29 *Ἀμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις: ἐπὶ τῶν ταχέως ἐπιλανθανομένων τῆς χάριτος.*

30 *Ἄμμες ποτ' ἦμεν: Λακωνικὴ παραβολὴ, ἀντὶ τοῦ, Ἡμεῖς ποτ' ἦμεν. Τριῶν γὰρ χορῶν ὄντων, ὁ μὲν τῶν παλαιῶν τοῦτ' ἔλεγεν· ὁ δὲ τῶν νεωτέρων καὶ ἀκμαζόντων,*

---

1. καὶ ταχέως K om. 4. χωρίου g. 5. καλούμενος g. 7. *Λειβήθριον*] *Λιβήθριον* Pausan. IX, 34, 3: v. Eustathium ad Hom. Il. Φ, 259 p. 1235, 61: *πλείων δὲ ἡ διφθόγγου γραφή· καὶ οὕτω γράφουσι καὶ τὰ Μακεδονικὰ Λείβηθρα τὸ ὄρος, οὐ τοπικὸν οἱ βάρβαροι Λειβήθριοι, οἷς ἐνδιατρῖψαί ποτε ὁ Ὀρφεὺς λέγεται*: quae e Pausaniae Lexico rhetorico desumpta esse, ex iis verisimile fit, quae de voce *λείβηθρον* in antecedentibus episcopus disputavit: add. id. ad Hom. Od Γ, 1471, 29. 1476, 27. *ὄρος*] Lex. Reg. Mscr. ap. Albertium ad Hesych. v. *Λειβήθριον*: *Λειβήθριοι· ἔθνος μωρόν· ἀπὸ τόπου, Λείβηθρα καλουμένου, ἐν ᾧ κατοικοῦσιν ἀνόητοι ἄνθρωποι· Θουκυδίδης* [*Θουγενίδης* Tittmannus ad Zonar. praef. CXLVI.]· *Λειβηθρίων ἀμουσότεροι*: eadem fere ab Apostolio XI, 80, Arsen. 332. traduntur. In Diogeniani loco aut cum Albertio l. c. ὄρος mutandum in *Ἔθνος*, aut lacuna statuenda, hunc fere in modum explenda: *ὄρος Πιερικὸν, ἐν ᾧ κατοικοῦσι Λειβήθριοι, ἔθνος μωρὸν κτλ.* Posui crucem. 12. *τῶν — χάριτος*] *τῶν ἀχαρίστων* K. 13. *ποτ'*] recte *ποκ'* et *ἦμις* Plutarchus in V. Lycurgi. *ἡ παραβολὴ* g.

24. K. I, 76: Zenob. I, 77.
25. Zenob. I, 78.
26. Zenob. I, 79. — De monte Libethrio cf. O. Muellerus Orchom. p. 34. 380.
27. Zenob. I, 80.
28. Zenob. III, 17.
29. K. I, 73: Zenob. I, 81.
30. Zenob. I, 82. Diogen. V, 3. Greg. Cypr. I, 48. Apbst. III, 6. Arsen. p. 51 ibiq. Macar.: Schol. ad Plat. Legg. I, 663 A, p. 449 Bekk: Plutarch. Instit. Lacon. p. 238 A: *τριῶν οὖν χορῶν ὄντων κατὰ τὰς τρεῖς ἡλικίας καὶ συνισταμένων ἐν ταῖς ἑορταῖς, ὁ μὲν τῶν γερόντων ἀρχόμενος ᾖδεν· Ἄμες ποτ' ἦμες ἄλκιμοι νιανίαι. εἶτα ὁ τῶν ἀκμαζόντων ἀνδρῶν ἀμειβόμενος: Ἄμες δέ γ' ἐσμέν· αἰ δὲ λῇς, αὐγάσδεο. ὁ δὲ τρίτος ὁ τῶν παίδων· Ἄμες δέ γ' ἐσσό-*

Ἄμμες δέ γ' εἰμὲς· αἰ δὲ λῇς, αὐγάσδεο·
ὁ δὲ τῶν νηπίων καὶ οὔπω ἀκμαζόντων,
Ἄμμες δέ γ' ἐσσόμεσθα πολλῷ κἀρρόνες.

31 *Ἁλιεὺς πληγεὶς νοῦν οἴσει: ἐπὶ τῶν μετὰ τὸ ἁμαρτῆσαί τινος πράγματος συνιέντων. Ἁλιεὺς γὰρ ἁλισκομένους ἰχθῦς μετεχειρίζετο, καὶ ποτε πληγεὶς, Νοῦν οἴσω, φησίν· ὅμοιον δέ ἐστι τῷ παρ' Ἡσιόδῳ, Παθὼν δέ τε νήπιος ἔγνω.*

32 *Ἀπώλεσας τὸν οἶνον, ἐπιχέας ὕδωρ: ἐπὶ τῶν τοῖς καλοῖς τὰ χείρονα προσμιγνύντων· ἐν Κύκλωπος γὰρ δράματι λεγομένῳ οὕτω φησὶ πρὸς Ὀδυσσέα Πολύφημος.*

33 *Αἶξ Σκυρία: ἐπὶ τῶν τὰς εὐεργεσίας ἀνατρεπόντων. Ἀνατρέπει γὰρ τὸ ἀγγεῖον ἀμελχθεῖσα.*

34 *Ἁλῶν δὲ φόρτος ἔνθεν ἦλθεν, ἔνθ' ἔβη: ἔμπορός τις ἄλας ἄγων καὶ καθευδήσας, ἀπώλεσεν αὐτὸ τῆς ἀντλίας ἐπαναβάσης. Λέγεται οὖν ἐπὶ τῶν τὰ ἄπερ προεπόρισαν καὶ ἐχαρίσαντο ἀπολλύντων.*

35 *Ἀνεπαρίασαν: ἐπὶ τῶν μεταγινωσκόντων ἐπί τινι.*

---

1. ἄμες g; Schottus: ἄμμες δέ γ' ἦμεν, [αἰ δὲ ὕτι ἐὰν βλέπει τόθι λῇς αὐγάδεο]: Gaisfordus non nisi ἄμμες δέ γ' ἦμεν, ut Schottus de codicum lectionibus tacens. Recte Finckhius: »lege ἄμμες.. αὐγάσδεο, coll. Plut. ll. cc.: verba e Schotti textu deleta glossemata sunt: ἐὰν vocis αἰ, βλέπει vocis αὐγάσδεο, τὸ θέλῃς vocis λῇς.« αὐγάσδεο] πεῖραν λαβέ Plutarchus in Lycurgo. 3. ἄμες g. Vulgo ἐσόμεθα, πολλῶν. 5. ἁμαρτῆσθαι p. συνιόντων g. K nonnisi haec: ἐπὶ τῶν μετὰ πεῖραν εἰς γνῶσιν ἐλθόντων, ὥςπερ καὶ ὁ πληγεὶς ἁλιεὺς τοὺς ἰχθύας μεταχειριζόμενος. 7. ἐστι τῷ] ἐστι τὸ cod. Maz. A. 86 ap. Boissonadum ad Nicet. Eugen. T. II, 151. Ἡσιόδῳ] p Ὁμήρῳ. παθὼν cum marg. cod. Maz. scripsi: legebatur ὀιχθὶν, quo versus Homericus constituitur. 9. Legebatur τὸ ὕδωρ. 10. προσμιγνυόντων g. 11. λεγομένῳ ex b accedere jussi. 16. K: ἐπὶ τῶν κακῶς κτηθέντων καὶ ἀποκτηθέντων· ἔμπορος γὰρ ἅλας ἐπιφερόμενος ἐν νηῒ κλύδωνος γενομένου τοὺς ἅλας ἐν τῇ θαλάσσῃ [sic] ἀπέβαλεν. 17. ἐπαναβάσης cum Hemsterhusio ad Lucian. Tim. §. 4. ex Apostolio reposui et Arsenio: vulgo ἐπαναστάσης. οἶν] δὲ g. τῶν τὰ, ἄπερ] omittit τὰ Arsenius, qui hunc ipsum Diogeniani locum accurate exscripsit. 18. ἀπωλόντων g.

μισθα πολλῷ κἀρρόνες: add. Plut. quom. se quis citra invidiam laudare possit p 544. E., Lycurg. 21. O Muellerus Dorr. II, 330. Schneidew. Del. p. 463.

31. K. I, 82: Zenob. II, 14.
32. Zenob. II, 16.
33. Zenob. II, 18.
34. K. II 29: Zenob. II, 20.
35. Zenob. II, 21.

Οἱ γὰρ Πάριοι ὁμολογήσαντες παραδώσειν Ἀθηναίοις τὴν πόλιν, ὕστερον μετέγνωσαν.

36 *Ἀ φιλοχρηματία Σπάρταν ἔλοι, ἄλλο δὲ οὐδέν: ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν πειρωμένων. Ἔφησε γὰρ ὁ θεὸς Σπαρτιάταις, τότε ἀπολεσθῆναι, ὅταν ἀργύριον καὶ χρυσίον τιμήσωσιν.*

37 *Ἀθηνᾷ τὸν αἴλουρον: ἐπὶ τῶν συγκρινόντων τὰ ἥττονα τοῖς κρείττοσιν. Ὡς εἴ τις διὰ γλαυκότητα τῇ Ἀθηνᾷ τὸν αἴλουρον συμβάλλοι.*

38 *Ἀττικοὶ τὰ Ἐλευσίνια: ἐπὶ τῶν καθ' ἑαυτοὺς συλλεγομένων καὶ πραττόντων τι ἀπόῤῥητον. Κρύφα γὰρ κἀκεῖνα ἐτέλουν.*

39 *Αὐτῷ κανῷ: ἐπὶ τῶν ἄρδην τι λυμαινομένων. Τὰ γὰρ δεῖπνα ἐπὶ κανῶν κομιζόμενα ἥρπαζόν τινες αὐτῷ κανῷ. Ὅμοιον,*

40 *Ἑστίᾳ θύειν: ἐπὶ τῶν κρύφα πραττόντων. Οἱ γὰρ Ἑστίᾳ θύοντες οὐδὲν ἐξέφερον τῆς θυσίας.*

41 *Ἀφύα ἐς πῦρ: ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων. Τάχιστα γὰρ ἡ ἀφύα ἕψεται.*

42 *Ἀτρέως ὄμματα: ἐπὶ τῶν τὰ πάντα ὁρώντων, καὶ [οὓς] οὐκ ἔστι λαθεῖν· οἱονεὶ ἄτρεπτα καὶ σκληρά. Εἴρηται δὲ ἐπεὶ οὐκ ἔλαθε Θυέστης μοιχεύων τὴν γυναῖκα*

---

4. *πειρωμένων*] *προαιρουμένων* Schottus conjecit. 7. *αἴρουλον* hic et infra g. *ἐπὶ τῶν κακῶς* Zenobius. 13. *ἄρδην τι*] *ἄρχοντι* g, *τελείως* c, vulgo *ἄρτι τι*: correxi e Zenobio. 14. *κανῶν* e Zenobio reposui: legebatur *κανῷ*. 15. *Ὅμοιον* e g Gaisfordus adjecit. 16. *θύει* g. 18. C *ἴδι πῦρ ἰδ' ἀφύη*: K: *ἡ ἀφύη πῦρ: ἐπὶ τῶν ταχέως λαμβανόντων, παρόσον ἡ ἀφύη ταχέως ἕψεται.* vulgo *ἀφύας πῦρ*: Bernhardy ad Suid. s. *ἀφύα* proponit *ἀφύας πῦρ*: ego Suidam, alios sequutus sum: vid. nott. ad Zenobium et cf. Bekk. Anecd. I, 472, 29: *ἀφύα καὶ ἀφύη: ἐστι μέντοι ἰχθύδιον φαῦλον κτλ.* 19. *τάχιστα γὰρ*] *παρόσον ἡ ἀ. ταχέως* C. 21. *καὶ οἷς οὐκ* e Gaisfordi emendatione scripsi: vulgo *καὶ οὐκ*. *οἱονεὶ γὰρ* g. *οὐ σκληρά* g. 22. *ἐπεὶ οὐκ*] *ἤθη δὴ οὐκ* P, *ἐπειδὴ οὐκ* b.

36. Clem. Alex. Stromm. IV, c. 5 p. 207 Sylb.: Zenob. II, 24. Vid. Krebsii Lectt Diodor. p. 139.

37. Zenob. II, 25.

38. Zenob. II, 26: sup. I, 38.

39. Zenob. II, 31.

40. Apost. IX, 21. Arsen. p. 242: Hesych., Suid., Photius: vid. infr. IV, 68 et Zenob. IV, 44. Alludit Aristoph. Plut. 1137. De re vid. Lobeckius Aglaoph. I, 706.

41. C. 265. K. III, 39. Apost. V, 16. Suid. s *ἰδ' ἀφύη πῦρ*: Zenob II, 32. IV, 25.

42. Zenob. II, 34.

αὐτοῦ, ἀλλὰ δειπνοῦντι τὰ τέκνα αὐτῷ εἰς βρῶσιν παρέθηκεν.

43 Ἄιδου πρωκτῷ περιπέσοις: δῆλον.

44 Ἀετὸν κάνθαρος μαιεύεται: ἐπὶ τῶν κακῶς ὑπό τινων πασχόντων. Τὰ γὰρ ὠὰ τοῦ ἀετοῦ ἀφανίζει κυλίων ὁ κάνθαρος.

45 Ἀγόμενος διὰ φρατόρων κύων: ἐπὶ τῶν ὅπου μὴ δεῖ εὑρισκομένων καὶ τιμωρουμένων. Ἐν γὰρ τοῖς φράτορσι κύων εὑρεθεὶς τιμωρεῖται.

46 Ἁγνὴ γάμων: ἐπὶ τῶν σωφρόνων γυναικῶν. Εἰρωνικῶς δὲ καὶ ἐπὶ τῶν μὴ σωφρόνων. Ὅμοιον, Τὸ κανοῦν τῆς θεοῦ φέρει. Αἱ γὰρ ἁγναὶ ἔφερον.

47 Ἀγρὸς ἡ πόλις: ἐπὶ τῶν παρανομούντων. Ἐπίχαρμος·

Ἀγρὸν τὴν πόλιν ποιεῖς.

48 Ἀηδόνες λέσχαις ἐγκαθήμεναι: ἐπὶ τῶν ἀδολεσχούντων.

49 Ἀγορὰ λύκειος: ἐπὶ τῶν ταχέως πιπρασκομένων. Ἐκ μεταφορᾶς τοῦ ζώου· ἁρπακτικὸν γάρ.

---

1. τέκνα αὐτοῦ εἰς βρῶσιν αὐτῷ g. 4. ἐπὶ] vulgo ὑπὸ: mutavi e K. 7. φρατέρων B. 8. καὶ διὰ τοῦτο τιμ. Καὶ κύων γὰρ εὑρισκόμενος ἐν φράτερσι μαστιγοῦται B. 10. B: ἐπὶ . . . γυναικῶν· ἐρηθείη δ' ἂν εἰρωνικῶς καὶ ἐπὶ τῶν μὴ τοιούτων omissis reliquis. 11. ὅμοιον a Gaisfordo additum e b: g ὁμοία. 12. τῆς θεοῦ Apostolius: τῆς θεᾶς c, vulgo τοῦ θεοῦ. ἁγναὶ] sic b c Gaisfordus: εὐναὶ Schottus. 16. λίσχαι b g: λόχμαις sine causa Erasmus Adag. p. 276. 18. Vulgo Λύκιος: correxi e B. 19. ἐκ — γὰρ] B om.

43. Apost. I, 35. Arsen. p. 18, qui explicant: ἤγουν τελευτήσῃς.

44. K. I, 85: Zenob I, 20.

45. B 162. Apost. I, 24. Arsen. 16 ibiq Macar.: Suid. s. ἀγόμενος. Canes religionis causa sacris prohibebantur: cf. Lobeckius Aglaoph. II, 1095.

46. B. 163. Apost. I, 18. Arsen. 15 ibiq. Macarius. Virgines saepe ἁγναὶ γάμων appellantur: vid. Valckenarius ad Eurip. Phoeniss. 953. Κανοῦν — φέρει] Apost. XIX, 33. Dea est Minerva: sermo enim est de canephoris: vid. Meierus in Erschii et Gruberi Encyclop. Sect. III T. X, pag. 291.

47. B. 164. Apost. I, 19. Arsen. 15 ibiq. Macar. V. Epich. fragm. p 97 Krusem.

48. B. 165. Apost. I, 72. Arsen. 24 ibiq. Macar. Ἀηδόνες quum dicerentur λάλοι, κωτίλαι, πολυκώτιλαι [v. Valckenarium ad Theocr. Adoniaz. p. 379], nomen ad homines garrulos tralatum est: vid. Walzius ad Arsenium.

49. B. 167. Apost. I, 20. Arsen. 15 ibiq. Macarius.

50 *Ἀεὶ Λεοντῖνοι περὶ τοὺς κρατῆρας*: *ἐπὶ τῶν ἀεὶ τοῖς αὐτοῖς ἐγκειμένων. Οἱ γὰρ ἐν Σικελίᾳ Λεοντῖνοι περὶ τοὺς πότους ἐσχόλαζον. Φάλαρις δ' αὐτοὺς καταπολεμήσας εἰς τοὺς κρατῆρας ἔρριψεν· ἀφ' οὗ ἡ παροιμία.*

51 *Αἱ Οἰδίποδος ἀραί*: *ἐπὶ τῶν μεγάλως δυστυχούντων.*

52 *Αἱ λαχάνων προσθῆκαι*: *ἐπὶ τῶν μηδὲν ὠφελούντων. ὅμοιον τό· Δαιδάλου πτερά.*

53 *Αἰσχύνομαι μὰ τὴν φιλότητα γηράσκων ἵππος ὑπὸ ζυγὸν, θήλειάν τε τροφὴν ἔχων ὁρᾶσθαι*: *ἐπὶ τῶν παρ' ἀξίαν τὶ ὑπομενόντων ἕνεκα τροφῆς.*

54 *Ἀεὶ τὰ πέρυσι βελτίω*: *ἐπὶ τῶν κατόπιν ἐν ταῖς χερσὶ γινομένων. Ταπεινούμενοι γὰρ Ἀθηναῖοι κατὰ τὰ Μακεδονικὰ ἐπεφώνουν τι τοιοῦτον.*

---

1. *ἐπὶ — ἐγκειμένων* **B** om. 3. *τοὺς* **B b** om., sed habent **c g**. *ἐσχόλαζον — παροιμία*] **B**: *ἐσπουδάκεσαν· Φάλαρις δ' αὐτοὺς καταπολ. ἐκέλευσεν ὠμῶς εἰς τοὺς τῆς Αἴτνης ἀποῤῥιφῆναι κρατῆρας· ἄφ' οὗ καὶ ἡ παροιμία*: v. Macarium. 6. **B** addit: *οἱ γὰρ περὶ Πολυνείκην ἔθος εἶχον τῷ Οἰδιπόδι ἐξ ἑκάστου ἱερείου ἐξαιρετόν τι πέμπειν γέρας, τὸν ὦμον· ἐκλαθόμενοι δέ ποτε, ἰσχίον ἔπεμψαν· καὶ ὁ Οἰδίπους νομίσας ἠτιμῶσθαι ἄρας* [sic] *κατ' αὐτῶν ἤθετο τὰ πατρῷα σιδήρῳ δάσασθαι, ὑφ' ὧν καὶ ἀπώλοντο*: vid. Schol. ad Soph. Oed. Colon. 1375. 9. *ὅμοιον τὸ* Schotti codd. et edit. ante Schottum omittunt: *τὰ* **b**, *ὅμοια τὰ* **g**: singularem cum Schotto et Gaisfordo retinui. Indicant autem codd. lectiones, nonnulla h. l. excidisse. 10. e **B**, qui nonnisi *αἰσχ. μὰ τὴν φιλότητα* habet, *μὰ* inserui; Apostolius: *αἰσχ. τ. φιλ. γηράσκων: ἐπὶ τῶν διὰ γῆρας διακοσμιῶν* [*κοσμίων* Arsenius.]. 14. *ἐπὶ — γινομένων*] Pantinus ad Apostol. p. 289 sine causa conjectat: *ἐπὶ τῶν ἐν τοῖς χείρω κατόπιν γινομένων*: **B**: *κατὰ τὰ Μακ. ταπεινουμένων τῶν Ἀθήνῃσι πραγμάτων ἐν ταῖς Διονυσίοις ἐπεφώνουν τὸ προκείμενον οἱ Ἀθηναῖοι, δηλοῦντες τὴν προλαβοῦσαν εὐδαιμονίαν.* 16. *τὸ τοιοῦτον* **b**.

50. B. 168. Apost. I, 60. Arsen. 22 ibiq. Macarius.

51. B. 169. C. 1. Apost. I, 84. Arsen. 27 ibiq. Macar. et p. 380: cf. ad Zenob. V, 43.

52. B. 170. Apost. II, 15 Arsen. 30: Suidas. *Λάχανον* de rebus nullius pretii dicitur: cf. Galen. de differ. puls. II, 3 p. 569 T. VIII Kuehn. De *Λαιδάλου πτεροῖς* vid. infr. IV, 25.

53. B. 171. Apost. I, 94. Arsen. 29. *γηράσκων ἵππος*] similia vide ad Zenob. IV, 41.

54. B. 175. Greg. Cypr. I, 48. Apost. I, 90. III, 7. XVIII, 10. Arsen. 29. 443: *ἐπὶ τῶν πρώην μὲν εὐδαιμονούντων, ὕστερον δὲ δυστυ-*

55 *Αἰγύπτου γάμος: ἐπὶ τῶν ἀλυσιτελῶς γαμούντων.*

56 *Ἄλευ ἀπὸ μείζονος ἀνδρός: παραινετικὴ ἡ παροιμία.*

57 *Ἄλλο γένος κώπης: ἐπὶ τῶν περὶ τὸ ἦθος ἐνηλλαγμένων. Ἡρακλῆς γὰρ διαπεραιούμενος ἐπὶ τὰς ἐν Ἐρυθείᾳ βοῦς, ἰστίῳ τῇ λεοντῇ ἐχρήσατο, ἰστῷ δὲ τῷ ῥοπάλῳ· ἐφ' ᾧ καὶ ἐλέχθη.* 5

58 *Ἄλλ' εἰ τορέλλη: σκῶμμα γερόντων. Ἐκ τοῦ τορὸς [,σορὸς,] γίνεται.*

---

2. ἄνευ **Pp**, ἄνευ' **g**, ἄλευ δ' **C**; **BV**: ἤτοι [ἀντὶ τοῦ **V.**] φύλαξαι· παραινεῖ ἡ παροιμία περιίστασθαι τῆς μετὰ [τᾶς κατὰ **V.**] τῶν μειζόνων ἀναστροφῆς: **C**: οἱ Ἴωνες τὸ ἄλευ ἀντὶ τοῦ φυλάττεσθαι λέγουσι· παρεγγυᾷ οὖν ἡ παροιμία φυλάττεσθαι τὰς τῶν μειζόνων συναναστροφάς: **K**: ἀπὸ μ. ἀ. ἄλιν: ἤτοι φυλάττου, ἰωνικόν: v. G. Dindorfius ad Aesch. Prom. V. 568 in Poett. Scenicc Grr. praef. p. VI. 4. **B**: κώπης: Ἡρακλέα ἱστοροῦσι περαιούμενον ἐν λίβητι ἐπὶ τὰς ἐν Ἐρυθίᾳ βοῦς χρῆσθαι ἱστίῳ μὲν τῇ λεοντῇ, ἱστῷ δὲ τῷ ῥοπάλῳ, κώπῃ δὲ τῷ τόξῳ, διὸ καὶ ἐλέχθη ἡ παροιμία: eadem Erasmus p. 536 ex Plutarchi Collectaneis affert, in quibus nunc non comparent. ἔθος **P** Apostolius. 5. vulgo ἐπὶ τὰς Ἐρυθείας: Apostolius ἐπὶ τὰς Ἐρυθρίας: e **B** correxi. 8. Legebatur ἄλλη τορέλλη: correxit G. Dindorfius ad Aristoph. frr. p. 42, probantibus Walzio ad Arsen. l. c., Fritzschio de Arist. Daetal. Comm. p. 47. 9. σορὸς e Diogeniano Pantinus affert ad Apost. p. 292: codex Apost. apud Schottum ad n. l.: σκῶμμα γερόντων· ἐκ τοῦ τορὸς, σορὸς, γίγνεται: Hesychius: σορέλλη· σκῶμμά τι ἐπιχωριάζον εἰς τοὺς γέροντας· ἀπὸ τοῦ σοροῦ: unde post τορὸς inserui σορός. **B**: τοὺς γεγηρακότας ἔσκωπτον οἱ περὶ τὸν σορὸν σορέλλη καὶ τορέλλη· ἔστι δὲ κυρίως σορέλλη καὶ τορέλλη ἐπιφώνημα θρηνητικὸν σὺν αὐλῷ.

χοίντων ibiq. Macarius: Margo Vat. B. Liban. Epistol. 191. Usurpat Liban. l. c.

55. B. 176; Macar. 31, qui addit: Αἴγυπτον γὰρ καταλιπόντα τὴν γαμετὴν δι' αἰσχρότητα, ὁ κηδιστὴς ἀνεῖλε Λαναός.

56. Vat. App. I, 6. B. 179. C. 8. K. I, 86: Greg. Cypr. I, 31. Apost. IV, 3. Arsen. 39. 72: Suid., Zonar. p. 135. Phavorinus.

57. B. 181. Apost. II, 45. 80. Arsen. 40. De re cf. Muellerus Dorr. I, 424. II, 472 sqq.

58. B. 182. Apost. II, 81. Arsen. 42: Hesych. s. σορέλλη, s. τορέλλη, Phot. s. σορέλλη: qui quae afferunt, e Pausaniae Lexico rhetorico ducta sunt, uti patet ex Eustath. ad Hom. Il. Ψ, 91 p. 1289, 15: σορὸς δὲ, φασὶ, παρὰ τὸ ἔσω ὁρᾶν ἢ ἐρύειν, ἃ ἐστι φυλάσσειν τὸν τεθέντα. ἅπαξ δὲ, φασὶν, ἐνταῦθα ἡ λέξις εἴρηται τῷ ποιητῇ, ἀφ' ἧς καὶ σορέλλην παρὰ Ἀριστοφάνει σκῶμμα εἰς γέροντα, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ. ἐξ αὐτῆς δὲ καὶ σοροπηγὸς πρὸς ὁμοιότητα τοῦ ναυπηγός, δηλοῖ δὲ ἡ σορὸς καὶ αὐτὴ καθ' αὑτὴν γέροντα σκωπτικῶς, ὡς δῆλον ἐκ τοῦ γράψαντος τὸ, γηράσασα καὶ ἤδη οὖσα σορός. τοῦ δὲ σορελληνός σαφέστερον εἰς σκῶμμα τὸ τυμβογέρων παρὰ τῷ κωμικῷ. Proverbio Aristoph. Daetal. fr.

59 Ἄκουε τἀπὸ καρδίας: ἐπὶ τῶν ἀπαρακαλύπτως ἃ φρονοῦσι διεξιόντων.

60 Ἀλλότρια βάλλειν: ἐπὶ τῶν ἀποτυγχανόντων ἢ ἐν τῷ κυβεύειν, ἢ ἐν ἄλλῳ τινί.

61 Ἄλλως ἀναλίσκεις ὕδωρ: ἐπὶ τῶν ματαιολογούντων. Ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις πρὸς ὕδωρ λεγόντων.

62 Ἄλλοι μὲν σπείρουσιν, ἄλλοι δὲ ἀμήσονται: φανερόν.

---

1. τἀπὸ B: vulgo τὰ ἀπό. ἀπαρακαλύπτως B om., ἀπαρακάπτως g. 3. B: τοῦτο λέγεται, ἐπάν τις ἐν τῷ κυβεύειν ἁμάρτῃ: C: ἐπὶ τῶν ἐν τῷ κυβεύειν διαμαρτανόντων, ἢ ἐπὶ τῶν ἀμελούντων. 5. ἀναλίσκει τὸ K. ἀπὸ τῶν κτλ.] K om. VB: ἐπὶ τῶν ματ.· μετενήνεκται δὲ ἀπὸ τοῦ ἐν δικαστηρίῳ ὕδατος: C: ἐπὶ τῶν μάτην ἐν λόγοις πονούντων. Μετήνεκται δὲ ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις πρὸς ὕδωρ λεγόντων· πεποσωμένον γὰρ ὕδωρ ἐδίδοτο ἑκάστῳ τῶν ἀντικρινομένων ἐν τῷ λέγειν. 8. μὲν K om. ἀμήσονται gCK Apostolius cum filio: vulgo ἀμήσουσι. 9. φανερὸν K om.: C addit: ἐπὶ τῶν οὐχ ἑαυτοῖς, ἀλλ' ἑτέροις πονούντων.

1 usus est: comp. ejusdem Plut. 277. Simili modo comicis senes σοροδαίμονες, σοροπλῆγες, σοροπληκτοί, dicebantur, homines capulares: cf. Suidam, Lexx.: add. *silicernium* Terentii Adelph. IV, 2, 48. Vocis significatio primitiva recte mihi videtur a B indicata: sonos enim instrumentorum imitatur, ut τήνελλα Archilochi, θριττανέλο Aristophanis: Boeckh. ad Pind. Expll. p. 187: add. Hesych. v. τορελλῆ: ἐπιφώνημα θρηνητικὸν σὺν αὐλῷ. Θρᾳκικόν: postea demum comici novum ex etymologia festiva derivarunt significatum.

59. B. 184. Apost. II, 29. Arsen. 36 ibiq. Macar.: Schol. ad Lucian. Imp. Tragoed. §. 19. Auct. Iphig. Aul. 475: κατόμνυμ' — ἢ μήν ἐρεῖν σοι τἀπὸ καρδίας σαφῶς: poet. inc. ap. Plutarch. discrim. adul. et amic. c. 31 p. 63. A., Lucian. l. c.: add. Elsnerus ad Marc. Evang. 12, 30.

60. B. 183. C. 19. Apost. II, 66. Arsen. 44. 45.: Suidas. Ductum videtur ex Homeri Odyss. Λ, 234: νῦν δ' ἑτέρως ἐβάλοντο θεοὶ κατὰ μητιόωντες: ubi Eustathius p. 1414, 2: ἐβάλλετο ἀντὶ τοῦ ἔῤῥιψεν, ὡς ἐκ μεταφορᾶς τῶν κύβων. ἀστείως Ὁμήρου ἐνταῦθα εἰπόντος τὸ, ἑτέρως ἐβ. θ., ἤγουν οὐκ εὖ. κατὰ τὸ, τρὶς ἓξ βαλούσης τῆς Διὸς φρυκτωρίας [Aesch. Agam. 32: v. Zenob. IV, 23]· οὐδὲ κατὰ τὸ, αἰεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι [v. supr. I, 58.], ἀλλὰ δηλονότι, κατὰ τύχην, ὡς εἰπεῖν παλίμβολον: add. Pind. Ol. XII, 10: πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν: Terent. Adelph. IV, 7, 21: *ita vita 'st hominum, quasi cum ludas tesseris: Si illud, quod maxime opus est iactu, non cadit; Illud quod cecidit forte, id arte ut corrigas:* vid. Dissenius ad Pind Ol. VII, 69. Stallbaumius ad Plat. Reip. X, 604 C.

61. Vat. App. I, 8. B. 188. C. 17. K. I, 74. Apost. II, 84. Arsen. 48 ibiq. cod. Laur.: Suidas. De re vid. Suid. s. διαμεμετρημένη, Matthiaeus de judic. p. 269, Meierus et Schoemannus *Attischer Process* p. 713 sqq.

62. C. 13. K. I, 83. Greg Cypr.

63 Ἀκαρπότερος ἀγρίππου: ἐπὶ τῶν ἀνωφελῶν. Φυτὸν γάρ ἐστιν ἡ ἄγριππος ἄκαρπον.

64 Ἄρτι μῦς πίσσης γεύεται: ἐπὶ τῶν νεωστὶ πεῖραν τῶν κακῶν λαμβανόντων. Τὸ γὰρ ζῶον εἰς πίσσαν πίπτον δεινὰ πάσχει.

65 Ἀσκῷ μορμολύττεσθαι: ἐπὶ τῶν μάτην φοβούντων.

66 Ἄστροις σημαίνεσθαι: ἐπὶ τῶν ἐκ μακροῦ τι ὑπονοούντων. Ἀπὸ τῶν πλοϊζομένων ἡ παραβολή.

---

1. K: ἐπὶ τῶν μάτην πενομένων· λάκωνες τὴν ἀγρίαν ἐλαίαν ἄγριππον καλοῦσι λεπτόφυλλον οὖσαν καὶ μὴ πλεῖον αὐξανομένην πηγάνου: vide Zenobium ibiq. B. 2. ἡ b: legebatur ὁ. 3. ἄρτι V B C om. πίττης V B. γεύει B: μῦς ἄρτι π. γευόμενος Suidas: ὡς μῦς ἐν πίσσῃ Hesychius: Eustathius: ἔνιοι μῦς ἐν ἅλμῃ μεταγράφουσι. V B: ἐπὶ τῶν νεωστὶ κακῶς πραττόντων· τινὲς δὲ οὕτω γράφουσι Ὅσα Μῦς ἐν πίττῃ: C: ἐπὶ τῶν νεωστὶ ἀπαλλαοσόντων κατὰ τὴν Τηλέφου ἀποδημίαν. 6. μορμύττεσθαι P b. μάτην] B εἰκῇ. 8. σημαίνεσθαι] σημειοῦσθαι Eustathius, τεκμαίρεσθαι Suidas. 9. εἴρηται δὲ ἀπὸ B. ἀπὸ] g ἐπί. ἡ παραβολή B om.

I, 55. Apost. II, 55. Arsen. 43 ibiq. Macarius. Praeivit Hesiod. Theog. 599 οἱ δ' — ἀλλότριον κάματον σφετέρην ἐς γαστέρ' ἀμῶνται: vid. Spanhemius ad Callim. h. in Cerer. 138, sup. II, 13, infr. II, 75.

63. K. II, 10: Zenob. I, 60.

64. Vat. App. II, 68. B. 636. C. 344: infr. VI, 41. Apost. IV, 32. XIII, 47. Arsen. 76. 359 ibiq. Macar.: Schol. ad Theocr. XIV, 51. Eustath. ad Hom Od. *P*, 455 p. 1828, 17: Hesych. s. μῦς, Phot. s. μῦς πίσσης γεύει, Suid. s. μῦς, Bekk. Anecd. I, p. 208, 6.: Suid. s. ἄρτι μῦς: ἐπὶ τῶν ὀψὲ εἰς αἴσθησιν ἐρχομένων ἐν οἷς εἰσιν, quocum Macarius consentit: vid. ad Zenob. V, 46. Usurpat Demosth. c. Polycl. p. 1215, 10 R.: adde Theocrit., Liban. Ep. 192: ἀλλ' ἄρτι δὴ μῦς πίσσης: Nicet. Eugen. IV, 406: Οὕτως ἐρῶν πᾶς — ὡς ἄφυκτόν τι πόθος — Ἁλίσκεται γὰρ τοῖς Ἔρωτος δικτύοις, Ὡς μῦς πρὸς ὑγρᾶς ἐμπεσὼν πίσσης χύτραν: Manuel. Palaeol. in *Manuscr. de la Bibl. du Roi* T. VIII, 2 p. 353.

65. B. 196, infr. II, 100. Apost. IV, 60. Arsen. 81 ibiq. Macar.: Hesych. s. ἄσκῳ φλαυρίζεις [quem recte Bernhardius ad Suid. emendavit], Suid. s. ἀσκὸς Κτησιφῶντος: cf. Append. s. οὐκ ἀσκίῳ. Ex nostro loco Theophr. Char. V, 2 explicandus videtur: καὶ τοῖς μὲν (sc. παισὶ) συμπαίζειν αὐτὸς, λέγων· ἀσκὸς· πέλεκυς.

66. B. 197. Apost. IV, 62. Arsen. 79 ibiq. Macar.: Eustath. ad Hom. Od. *E*, 276 p. 1535, 58: ὅτι δὲ οὐχ οἱ ποντοπορεῦντες μόνον ἀλλὰ καὶ οἱ πεζῇ βαδίζοντες πρὸς ἄστρα τοῦτο ἐποίουν, δηλοῖ καὶ Σοφοκλῆς· οὐ μὴν ἀλλὰ καὶ ἡ παροιμία, τὸ, ἄστροις σημειοῦσθαι ὁδόν, ἤγουν μακρὰν ὁδὸν βαδίζειν καὶ ἐρήμην, ὡς ἀπὸ τῶν πλεόντων: Schol. ad Aesch. Suppl. 395: οἱ γὰρ μακρὰν ὁδὸν φεύγοντες, δι' ἄστρων σημαίνεσθαι ἔλεγον: ad Soph. Oed. Tyr. 795, Schol. ined. ad Synes. ap. Boiss. Anecdd. II, 238: τὸ ἄστροις σημαίνεσθαι ἐπὶ τῶν μακρὰν ὁδὸν καὶ ἔρημον πορευομένων· οἱ γὰρ φεύγοντες ἀειφυγίαν τοῖς ἄστροις ἐσημειοῦντο τὴν

67 Ἄτλας τὸν οὐρανόν: ἐπὶ τῶν μεγάλοις τισὶ πράγμασιν ἐπιβαλλομένων καὶ κακῷ τινι περιπιπτόντων.

68 Ἁρμοδίου μέλος: ἐπὶ τῶν σκολιῶν. Σκολιὰ γὰρ μέλη ἦδε.** Ταυτὸ δὲ καὶ τὸ, Ἀδμήτου μέλος.

69 Ἀρκαδίην μ' αἰτεῖς: ἐπὶ τῶν μεγάλα ἢ ἀσύμφορα αἰτούντων.

70 Ἄρκτου παρούσης τὰ ἴχνη ζητεῖς: ἐπὶ τῶν δειλῶν κυνηγῶν.

71 Ἀρχαιότερος Ἰβύκου: ἐπὶ τῶν εὐηθῶν. Οὗτος γὰρ τυραννεῖν δυνάμενος ἀπεδήμησεν.

---

1. K: ὅταν τις μεγάλῳ ὑπελθὼν πράγματι, κακῷ τινι περιπίσοι: Macarius addit: Ἄτλας γὰρ Οὐρανῷ ἐπιβουλεύσας καὶ συλληφθεὶς εἰς τὸ Ἀτλαντικὸν πέλαγος ἀπερρίφη: B: Εὐήμερος ἐν ἱερῷ λόγῳ προσίθηκε τὸ ὑπεδέξω. Λέγεται δὲ ἐπὶ τῶν τινὶ κακῷ περιπεσόντων, ἐπιβαλλομένων μεγάλῳ πράγματι: de Euhemero vide Krahneri libellum: *Grundlinien zur Geschichte des Verfalls der römischen Staatsreligion* 1837 p. 22 sqq. 3. Ἁρμόδιον μέλος Arsenius. BV: Ἁρμοδίου μέλος, Ἀδμήτου μέλος: ἐπὶ τ. σκολιῶν· τοιαῦτα γὰρ [καὶ addit V] ἐστὶ [om. V] τὰ εἰς Ἁρμόδιον καὶ Ἄδμητον μέλη σκολιά· τινὲς δὲ κατ' ἀντίφρασιν εἰρῆσθαι λέγουσιν ὅτι ᾠδία καὶ ὀλιγόστιχα ὡς ἐπιγράμματα. Διὸ καὶ ἐπὶ τῶν [τῶν V om.] ᾠδίων εἰρῆσθαι λέγουσιν. τῶν ε om. 4. ἦδε] ἤδετο πρὸς Ἁρμόδιον recte Arsenius. Posui signa lacunae. 5. B: ἐπὶ τῶν μέγαλα [sic] ἀξιούντων λαβεῖν· γρ. δὲ· Ἀρκαδίην μ' αἰτεῖς· μίγα αἰτεῖς· οὗτι [lege οὕτοι] δώσω.ε 7. τὰ ἴχνη ζητεῖς] ἴχνη μὴ ζήτει Zenobius, ἴχνη ζητεῖς; K. 9. οὗτος κτλ.] B: Ἴβυκος γὰρ τυραννεῖν πολιτῶν δυνάμενος ἀπεδήμησεν εἰς Ἰωνίαν: vid. Schneidewinus in *Goetting. Gelehrte Anzeig.* 1837 p. 845.

ἑαυτῶν πατρίδα: Hesych. Suidas. Usurpatur etiam a Luciano Icaromen. §. 1.: aliis: vid. Jacobsius ad Aelian. Nat. An. II, 7. Boissonadus Anecdd. l. c.

67. B. 198. K. I, 87. Apost. IV, 76. Arsen. 83 ibiq. Macar.: Suidas. Eur. Ion. 1.

68. B. 199. V. ap. Schott. ad Zenob. I, 18: Apost. IV, 33. Arsen. 76 ibiq. Macar.: Hesych. s. Ἁρμοδίου, Suid. s. Ἀδμήτου, s. Ἁρμοδίου: cf. ad Zenob. I, 18.

69. B. 200. Apost. IV, 34. Arsen. 75: Suidas. Sumptum est ex oraculo, quod exstat apud Herod. I, 66. Diod. Exc. Vat. XXXII. Steph. Byz. s. Τιγέα. Eustath. ad Hom. Il. β, 607 p. 301, 45. Alludit Cic. Ep. ad Attic. X, 5, 2: *quod mihi mandas de Quinto regendo*, Ἀρκαδίαν: add. Liban. Ep. 572: δοκεῖς δέ μοι σὺ καὶ τὴν Ἀρκαδίαν αἰτηθεὶς παρ' ἐμοῦ, μὴ ἂν εἰπεῖν, οὗτοι δώσω, δοῦναι κύριος ἄν: ibid. 617. 725.

70. B. 201. K. I, 84. Plut. 94. Greg. Cypr. I, 56. Apost. IV, 40 ἐπὶ τῶν ἀδήλων: K, Arsen. 76 ibiq. Macarius: ἐπὶ τῶν προδήλων: Suid. s. ἄρκου παρ. τὰ ἴχνη ζ.: ἐπὶ τῶν τὰ παρόντα ζητεῖν προσποιουμένων: vid. Zenob. II, 36.

71. B. 203 Apost. IV, 35. Arsen. 78: cf. infr. V, 12. Compara ἀρχαιότερος Κόδρου apud Macarium p. 79: et vid. infr. V, 12: alia attulit Schneidewinus Ibyc. Rell. p. 15 sq.: alio sensu

72 Ἀεὶ γέροντι νέαν ἐπιβάλλειν κούρην: τοῖς πρεσβυτέροις νέαν συνευνάζειν.

73 Ἀλώπηξ τὸν βοῦν ἐλαύνει: ἐπὶ τῶν δολερῶν καὶ μικρῶν, ὅμως δὲ μεγάλους καταγωνιζομένων [ἄφρονας.]

74 Ἄκις ποταμός: ἐπὶ τῶν ἄγαν ψυχρῶν. Ψυχρὸς γάρ ἐστιν οὗτος.

75 Ἀλλότριον ἀμᾶς θέρος: ἐπὶ τῶν κατολιγωρούντων ἐν τοῖς ἀλλοτρίοις, ἢ τὰ ἀλλότρια καρπουμένων. Ἄλλοι κάμον, ἄλλοι ὤναντο, ὅμοιον.

76 Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ: ἐπὶ τῶν ποτὲ μὲν εὐημερούντων, ποτὲ δὲ δυσημερούντων.

77a Ἅμα δίδου καὶ λάμβανε: ὅταν πρὸς ἄπιστον συναλλάσσωμεν.

---

1. *αἰεὶ* Apostolius, Arsenius, *αἰεὶ δὲ* Macarius, Suidas; *νέα προβάλλει* Laur. Arsenii; *προβάλλει* Arsenius, *προεβάλλει* Apostolius, *ποτίβαλλε* Macarius, *ποτιβάλλειο* Suidas; *κόρην* Apost. Ars. Macarius: unde forma proverbii genuina haec videtur fuisse: *αἰεὶ δ' ἀνδρὶ γέροντι νέαν ποτίβαλλε κορώνην*: *κορώνη* est virgo: vid. Boeckhius ad Pind. II, 1 p. 330. 4. *μεγάλα* P b, Apostol., Arsenius. *ἄφρονας* cum Schotto et Gaisfordo uncis circumdedi: Fixius in Stephani Thes. I, 1613 e textu ejecit. 5. Ἄκτις ποτὸς K: vulgo Ἄκις. 6. K *οὗτος ἐστί*. 8. *ἢ τὰ*] *ἢ ἐπὶ τῶν τὰ* C. *καρποῦντων* P b: sequentia e b accedere jussi. 10. Legebatur *ἡμέρα*.

dicitur *Κρόνου καὶ Ἰαπετοῦ ἀρχαιότερος* apud Platon. Sympos. 195 B, ubi vid. interpp.

72. Apost. II, 18. Arsen. 30 ibiq. Macar.: *παρεγγυᾷ ὁ λόγος, πρεσβυτέροις τὰς ἀκμαζούσας συνευνάζειν*: Suidas. Proverbium ex oraculo, quod Ergino datum, est ortum: v. Paus. IX, 37, 2: *ἱστοβοῇ γέροντι νέαν ποτίβαλλε κορώνην*. De proverbio omnia occupaverunt Ruhnkenius Ep. Crit. II p. 221 Lugd., Valckenarius Diatr. Eur. p. 272 sqq. Lugd.

73. K. I, 90. Greg. Cypr. I, 61. Apost. II, 52. Arsen. 47: Suidas.

74. K. I, 91. Apost. II, 25. Arsen. 35. De Acide vid. Oberlinus ad Vib. Seq. p. 66.

75. C. 10. Apost. II, 82. Arsen. 44 ibiq. Macar.: Suidas. Utitur Arist. Eq. 393: comp. Liv. X, 24: *Fabius, quam arborem conseruisset, sub ea legere alium fructum, indignum esse, dicere*: cf. intt. ad Evang. Matth. XXV, 24 sqq: sup. II, 62.

76. Greg. Cypr. I, 63. Apost. II, 56. Arsen. 43 ibiq. Macar.: Stob. Flor. CV, 36: Suidas. Est versus Hesiodi: v. *ἐργ. κ. ἡμ.* 825.

77a. K. I, 93. Greg. Cypr. I, 64. Apost. III, 12. Arsen. 51 ibiq. Macar.: Suidas. Derivatum videtur ex Epicharmeo illo: *ἁ δὲ χεὶρ τὰν χεῖρα νίζει· δός τι καὶ τὸ λάμβανε*: fragm. inc. 7 Krus.: alludit Aristoph. fr. 709 Dind.: *εὐθὺς δὲ Φοινὶξ γίγνομαι· Τῇ μὲν δίδωμι χειρὶ, τῇ δὲ λαμβάνω.*

77b Ἀμφοῖν χεροῖν: ἐπὶ τῶν ἀφειδεῖ προσκειμένων.

78 Ἀξία ἡ κύων τοῦ θρόνου: ἐπὶ τῶν παρ' ἀξίαν τινὸς τυγχανόντων.

79 Ἀργεία φορά: ἐπὶ τῶν συκοφαντῶν. Οἱ γὰρ Ἀργεῖοι φιλόδικοι.

80 Ἀττικὴ πίστις: ἐπὶ τῶν πιθανῶν καὶ πιστῶν καὶ εἰ ὁρκων. Ἱδρύσαντο γὰρ οἱ Ἀττικοὶ ἱερὸν Πίστεως.

81 Ἀργυραῖς λόγχαις μάχου, καὶ πάντων κρατήσεις: ἀντὶ τοῦ, διὰ χρυσοῦ πάντας νικήσεις. Φιλίππῳ δὲ ἐδόθη οὗτος ὁ χρησμὸς, αἰνιττομένου τοῦ θεοῦ, ὡς διὰ προδοσίας πάντων κρατήσει.
52. Zenob. I, 46. *Αἰθίοψ οὐ λευκαίνεται: ἐπὶ τῶν ἀμεταβλήτων* afferunt Apost. I, 95. Atsen. 28.

ΠΑΡΟΙΜΙΑΙ

ΣΥΛΛΕΓΕΙΣΑΙ ΠΑΡΑ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΚΥΡΟΥ

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ

ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ.

---

1 Αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν: ἀπὸ τῶν ἁλιευτῶν τῶν μηδὲν ἑλκυσάντων εἴρηται.

2 Ἀφροδίσιος ὅρκος: οὐκ ἐμποίνιμος.

3 Ἀγορὰ Κερκώπων: ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Κέρκωπες γάρ τινες ἀπατεῶνες ἐγίνοντο ἐν Ἐφέσῳ.

4 Ἀετοῦ γῆρας, κορύδου νεότης.

5 Ἀγαθὰ Κιλίκων: ἐπὶ τῶν οὐ καλῶς πλουτούντων· προδότης γὰρ Κίλιξ τις Μίλητον προδοὺς εὐπόρησεν.

6 Ἀγροίκου μὴ καταφρόνει ῥήτορος.

---

1. Diogen. III, 35.
2. Diogen. III, 37: add. Append. s. ὅρκος Ἀφροδίσιος.
3. Zenob. I, 5. Ipsa ἀγορὰ Κερκώπων a Diog. Laert. IX, 114 memoratur.
4. Zenob. II, 38, ubi v. nott.: addo Menandri versum in Cram. Anecdd. IV, 254: γῆρας λέοντος κρεῖσσον ἀκμαίων νεβρῶν.
5. Diogen. I, 9.
6 Zenob. I, 15. Diogen. IV, 48.

7 Ἀδώνιδος κῆπος: ἐπὶ τῶν ὀλιγοχρονίων καὶ ἀώρων.

8 Ἄλλοτε δ' ἀλλοῖον τελέθειν καὶ χώρᾳ ἕπεσθαι: ὅτι προσήκει ἐξομοιοῦν ἑαυτὸν τοῖς ἤθεσι τῶν πόλεων καὶ τόπων, ἐν οἷς ἂν γένοιτο· εἴρηται δὲ ἀπὸ τῶν πολυπόδων.

9 Ἄλλην δρῦν βαλάνιζε: ἐπὶ τῶν ἀπαγορευόντων δώσειν ἔτι τὴν αἴτησιν εἰώθασι λαμβάνειν.

10 Ἄιδεις ὥσπερ εἰς Δῆλον πλέων: ἐπὶ τῶν ἀφροντίστως καὶ φιληδόνως βιούντων.

11 Ἄλα καὶ κύαμον: ἐπὶ τῶν μὴ εἰδότων καὶ προσποιουμένων· οἱ γὰρ μάντεις ἅλα καὶ κύαμον τιθέασι.

12 Ἄἴρειν μασχάλην: ἀντὶ τοῦ εὐωχεῖσθαι· εἴρηται ἀπὸ τῶν ἀγροικικῶς ὀρχουμένων.

13 Αἴξ τὴν μάχαιραν.

14 Ἄδακρυς πόλεμος, καὶ Καθεύδοντος τροπαῖον: ἐπὶ τῶν ῥᾷστα καὶ παρ' ἐλπίδα κατορθούντων.

15 Ἀεὶ κολοιὸς πρὸς κολοιόν: καὶ· Ἀεὶ τὸν ὁμοῖον ἄγει θεὸς πρὸς ὁμοῖον.

---

4. Legebatur ὅτι προσήκει τὶ γὰρ. 13. αἴρειν] αἶρε Suidas. B: οὕτως εἰώθασι λέγειν ἀντὶ τοῦ εὐωχεῖσθαι· οἱ δὲ ἀγροικικὸν ὀρχεῖσθαι. 16. Καθεύδοντος τροπαί K. 17. ἐλπίδα τὰ πράγματα κατορθούντων Arsenius. 18. αἰεὶ recte K. 19. πρὸς] εἰς τὸν K.

7. Diogen. I, 14.
8. Diogen. I, 23.
9. Zenob. II, 41.
10. Zenob. II, 37.
11. Zenob. I, 25.
12. B. 37. Apost. II, 2. Arsen. 28: Hesych. Suid. Bekker. Anecd. I, 356, 30. Bachmann. Anecd. I, 45, 10: vid. Zenob. V, 7.
13. Zenob. I, 27. Simile: ὅις τὴν μάχαιραν in Append. affertur.
14. K. I, 26: Zenob. I, 28. Καθ. τρ.] Similiter: ἀναίμακτον ἔστησε τροπαῖον: ἐπὶ τῶν ἄνευ κινδύνων καὶ φόνων μέγα τι κατωρθωκότων: Apost. III, 64. Arsen. 54 ibiq. v. Walzius.
15. Zenob. II, 47. Ἀεὶ τὸν κτλ.] Diogen. V, 16: est versus Hom. Odyss. P, 218: ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον: K. I, 28. Schol. Plat. 375 Bekk.: Hesych. s. ὡς. Usurpat saepius Aristoteles: Rhet. I, 11: καὶ ἐπεὶ τὸ κατὰ φύσιν ἡδύ, τὰ συγγενῆ δὲ κατὰ φύσιν ἀλλήλοις ἐστίν, πάντα τὰ συγγενῆ καὶ ὅμοια ἡδέα ὡς ἐπὶ τὸ πολύ, οἷον ἄνθρωπος ἀνθρώπῳ καὶ ἵππος ἵππῳ καὶ νέος νέῳ· ὅθεν καὶ αἱ παροιμίαι εἰρηνται, ὡς ἦλιξ ἥλικα τέρπει [Diogen. V, 16] καὶ ὡς αἰεὶ τὸν ὁμοῖον καὶ ἔγνω δὲ θὴρ θῆρα καὶ ἀεὶ κολοιὸς παρὰ κολοιὸν καὶ ὅσα ἄλλα τοιοῦτα: Ethic. Magn. II, 11: πότερον ἔστιν ἡ φιλία ἐν τοῖς ὁμοίοις ὥσπερ δοκεῖ καὶ λέγεται; καὶ γὰρ κολοιὸς

6 Ἀμαλθείας κέρας: ὅτι τῇ τροφῷ αὐτοῦ Ἀμαλθείᾳ ὁ Ζεὺς ἐξ αἰγὸς τρεφούσης αὐτὸν παρέσχε κέρας, δι' οὗ ἐπέβλυζεν αὐτῇ πᾶν ὃ ἂν ἠτήσατο.

7 Ἀετὸν ἵπτασθαι διδάσκεις.

8 Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι: ἐπὶ τῶν ἀξίως τιμωμένων.

9 Ἀγὼν πρόφασιν οὐκ ἐπιδέχεται οὐδὲ φιλία.

0 Ἀετὸς ἐν νεφέλαις: ἐπὶ τῶν δυσαλώτων.

1 Ἀληλεσμένος βίος: ἐπὶ τοῦ ἑτοίμου καὶ ἀπόνου.

2 Ἀνάγυρον κινεῖς: ἐπὶ τῶν προξενούντων ἑαυτοῖς κακά· Ἀνάγυρος γάρ τις ἥρως ἐκάκου τοὺς γείτονας.

3 Ἀεί με τοιοῦτοι πολέμιοι διώκοιεν: ἐπὶ τῶν καταπεφρονημένων καὶ οὐδενὸς ἀξίων.

1 Ἀετὸς θρίπας ὁρᾷ: ἐπὶ τῶν καταφρονούντων τινῶν.

5 Ἄλμη οὐκ ἔστιν ἐν αὐτῷ: ἐπὶ τοῦ ἀηδοῦς.

5 Ἀλώπηξ οὐ δωροδοκεῖται: ἐπὶ τῶν οὐ ῥᾳδίως ἁλισκομένων.

Ἀεί φέρει τι Λιβύη κακόν: ἐπὶ τῶν ἀεὶ ἐξευρισκόντων τι νέον κακόν.

Ἄνω ποταμῶν χωροῦσι πηγαί: ἐπὶ τῶν ἐναντίως λεγομένων.

---

2. Legebatur *παρίσχε κέρας αἰγός*: v. αἰγός delevi. 13. *πόλεμοι* Zenobius. 16. *τινῶν*] *τῶν μικρῶν* Zenobius. 22. Scribebatur *ἐναντίων*.

φασι παρὰ κολοιὸν ἰζάνει καὶ αἰεί τοι τὸν ὅμοιον ἄγει κτλ.: vid. intt. ad Aristaen. Ep. I, 10, p. 354 Boiss., Stallbaumius ad Plat. Gorg. 510 B. Breviores ejusdem proverbii formae sunt: *ὅμοιον ὁμοίῳ* Apost. XIV, 41. Arsen. 382, et *ὅμοιον ὁμοίῳ δεῖ πλησιάζειν* Apost. XIV, 46. Cf. infr. II, 70.

16. Zenob. II, 48.

17. Zenob. II, 49: Diogen. V, 33.

18. Zenob. II, 44.

19. Zenob. II, 45.

20. Zenob. II, 50.

21. Zenob. I, 21. Plut. Provv. II, 8.

22. Zenob. II, 55.

23. Zenob. II, 52.

24. Zenob. II, 53.

25. Zenob. I, 63.

26. Zenob. I, 71.

27. Zenob. II, 51.

28. Diogen. I, 27.

29 Ἀεὶ ὁ πόρνος λέγει τὸν σώφρονα πόρνον.

30 Ἀργύρου κρῆναι λαλοῦσιν: ἐπὶ τῶν διὰ πλοῦτον ἐμφανιζομένων ἢ εὐημερούντων.

31 Ἄλευ' ἀπὸ μείζονος ἀνδρός: ἤτοι φυλάττου, ἰωνικῶς.

32 Ἀράβιος αὐλητής: ὃς ηὔλει μὲν δραχμῆς, ἐπαύετο δὲ τεττάρων.

33 Ἄϊδος κυνῆ.

34 Ἄκρῳ ἅψασθαι δακτύλῳ.

35 Αἵματι κλαίειν: καθ' ὑπερβολὴν ἐπὶ τῶν σφόδρα δακρυόντων.

36 Αἱ χάριτες γυμναί: ὅτι δεῖ [τὴν] δωρεὰν [ἀκενοδόξως] εὐεργετεῖν.

37 Ἀκόνην σιτίζεις: ἐπὶ τῶν τρεφομένων καὶ οὐκ ἐπιδιδόντων.

38 Ἄλλοι κάμον, ἄλλοι ὤναντο: ἐπὶ τῶν παρ' ἐλπίδα τὰ ἀλλότρια κληρονομούντων.

39 Ἄλλο γλαὺξ ἄλλο κορώνη φθέγγεται: ἐπὶ τῶν μὴ συμφωνούντων ἀλλήλοις.

40 Ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα: ἐπὶ τῶν ἐξαπατᾶν βουλομένων τοὺς ὁμοίους.

---

4. Vulgo ἀπὸ μ. ἀ. ἄλευ'. 6. Scribebatur Ἀβράβιος. C: τίθεται ἐπὶ τῶν ἀπαυστί λεγόντων. Οἱ γὰρ Ἀράβιοι κατὰ συσκηνείαν καὶ συγγίνειαν τὰς φυλακὰς ἐποιοῦντο· καὶ ὁ τεταγμένος φυλάττειν, σπιθαμιαῖον αὐλὸν ἔχων τῷ μήκει, δι' ὅλης ἠδε τῆς νυκτὸς μέλος ἔντονον, τὴν παῦσιν τοῦ μέλους οὐκ ἀγαθὸν τιθεμένοις σημεῖον. Ἀπὸ τούτου ἐλήφθη ἡ παροιμία, ἣν μεταλλάξας Μένανδρος, Ἀράβιον, φησίν, ἐξεύρηκα σύμβουλον, καὶ Ἀράβιον ἐγὼ κεκίνηκ' ἄγγελον· οἱ δέ φασιν, τὸ παλαιὸν μὴ μανθάνειν αὐλεῖν διὰ τὸ βάναυσον, τῶν δὲ ἀνδραπόδων τὰ πολλὰ εἶναι βάρβαρα καὶ Ἀράβια· τούτους αὐλῷ ᾄδοντας μύλις καταπαύειν. Ἐφ' ὧν ἐλέχθη παροιμία, Ἀραχμῆς μὲν αὐλεῖ, τεττάρων δὲ παύεται: a v. Suidas. 9. τῷ δακτύλῳ Zenobius. 12. τὴν et ἀκενοδόξως e Zenobio adjeci.

29. Zenob. II, 56.
30. Diogen. II, 93.
31. Diogen. II, 56.
32. C. 40: Zenob. II, 39 coll. II, 58.
33. Zenob. I, 41.
34. Zenob. I, 61.
35. Zenob. I, 34.
36. Zenob. I, 36.
37. Zenob. I, 58.
38. Zenob. I, 65.
39. Zenob. I, 69.
40. Zenob. I, 70.

41 Ἄλλοισι μὲν γλῶσσα, ἄλλοισι δὲ γόμφιοι: ἐπὶ τῶν λάλων καὶ φάγων.

42 Ἀνδρὸς γέροντος σταφὶς τὸ κράνιον: ἐπὶ τῶν εἰς οὐδὲν χρησιμευόντων.

43 Ἄλλα μὲν Λεύκων, ἄλλα δὲ Λεύκωνος ὄνος [φέρει]: ἐπὶ τῶν ἐχόντων τοῖς λόγοις ἀσύμφωνα τὰ ἔργα.

44 Ἄλλην μὲν ἐξηντλοῦμεν, ἣ δ' ἐπειρρέει: ἐπὶ τῶν μάτην πονούντων.

45 Ἄμας ἀπήτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας.

46 Ἀμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις: ἐπὶ τῶν ἀχαρίστων.

47 Ἂν μὴ παρῇ κρέας, ταρίχῳ στερκτέον: ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.

48 Ἄμμες ποτ' ἦμεν· ἀεὶ τὰ πέρυσι βελτίω.

49a Ἀνὴρ ὁ φεύγων οὐ μένει κτύπον λύρας: ἐπὶ τῶν ταχέως ὀφειλόντων ἕκαστα πράττειν.

49b Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν, ἀλλ' αὐτὸς ἐλθὼν ἐπρίατο: ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων.

50 Ἄπληστος πίθος.

51 Ἀνέμους γεωργεῖν: ἐπὶ τῶν πονούντων καὶ μηδενὸς μεταλαγχανόντων.

---

6. *φέρει* e Zenobio, aliis adjeci. 8. Scribebatur *ἐξαντλοῦμεν*. 15. Eodem modo haec duo proverbia Arsenius conjungit, addens: *ταπεινούμενοι οἱ Ἀθηναῖοι τοῦτ' ἔλεγον*. C haec habet: *ἄμις* [sic] *ποχ' ἄμες: παροιμία Λακωνικὴ, ἀντὶ τοῦ ἡμεῖς ποτὲ ἦμεν· τοῦτο δὲ ἔλεγον οἱ ἐν Λακεδαίμονι χορεύοντες γέροντες.* 16. *λύρας κτύπον* Zenobius. Legebatur *ὀφειλούντων*. 19. *ἐλθὼν*] *ἐξελθὼν* Zenobius. 20. B: *ἐπὶ τῶν γαστριμάργων. Μετενήνεκται δὲ ἀπὸ τοῦ πίθου τῶν Δαναΐδων*: cf. Diogen. I, 95.

41. Zenob. I, 73.
42. Zenob. I, 96.
43. Zenob. I, 74.
44. Zenob. I, 75.
45. Zenob. I, 83. Similia sunt Zenob. I, 83. 92. 100. Diogen. VI, 60. VII, 100.
46. Zenob. I, 81.
47. Zenob. I, 84.
48. C. 25. Arsen. 51 ibiq. Macar.: v. Zenob. I, 82. Diogen. II, 54.
49a. Zenob. I, 86.
49b. Zenob. I, 87.
50. B. 134: Zenob. II, 6. Plut. Boisson. 4. 46.
51. Zenob. I, 99.

52 Ἀνάγκῃ οὐδὲ θεοὶ μάχονται.

53 Ἀντὶ πέρκης σκορπίον: ἐπὶ τῶν τὰ χείρω αἱρουμένων.

54 Ἁλιεὺς πληγεὶς νοῦν οἴσει: Παθὼν δέ τε νήπιος ἔγνω.

55 Ἄλλοι σπείρουσι, ἄλλοι δὲ ἀμήσονται.

56 Ἄρκτου παρούσης ἴχνη ζητεῖς: ἐπὶ τῶν προδήλων.

57 Ἀετὸν κάνθαρος μαιεύεται: ἐπὶ τῶν ὑπό τινων εὐτελῶν πασχόντων· ὁ γὰρ κάνθαρος τὰ τοῦ ἀετοῦ ὠὰ ἀφανίζει κυλίων.

58 Ἀνδρὸς γέροντος αἱ γνάθοι βακτηρία.

59 Ἀνδρὸς καλῶς πράσσοντος ἔγγιστα φίλοι.

60 Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.

61 Ἀλώπηξ τὸν βοῦν ἐλαύνει: ἐπὶ τῶν δολερῶν καὶ μικρῶν, ὅμως δὲ μεγάλους καταγωνιζομένων ἄρρονας.

62 Ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ: ἐπὶ τῶν ποτὲ μὲν εὐημερούντων, ἄλλοτε δὲ δυσημερούντων.

63 Ἅμα δίδου καὶ λάμβανε: ὅταν πρὸς ἄπιστον συναλλάσσωμεν.

64 Ἄνθρακες ὁ θησαυρὸς γέγονεν: ἐπὶ τῶν ἐφ' οἷς ἤλπισαν διαψευσθέντων.

65 Ἀπὸ τῶν βραδυσκελῶν ὄνων ἵππος ὥρουσεν.

66 Ἅπαντα τοῖς σοφοῖς εὔκολα: ἐπὶ τῶν διὰ φρόνησιν καὶ τῶν δυσκόλων περιγινομένων.

---

4. Ὁ ἁλιεὺς Apost. Arsenius. 15. βοῦν] scribebatur νοῦν. 17. Vulgo ἡμέρα. 25. σοφοῖσιν Zenobius.

52. Zenob. I, 85.
53. Zenob. I, 88. Diogen. VI. 60.
54. Apost. XIII, 98. Arsen. 377. Zenob. II, 14: v. Greg. Cypr. III, 61.
55. Diogen. II, 62.
56. Zenob. II, 36.
57. Zenob. I, 20.
58. Diogen. I, 78.
59. Menand. Sent. Singg. 38: Ἅπαντας εὖ πράττοντας ἴδωμεν φίλους.
60. Zenob. I, 90.
61. Diogen. II, 73.
62. Diogen. II, 76.
63. Diogen. II, 77a.
64. Zenob. II, 1.
65. Zenob. II, 5.
66. Zenob. II, 9.

67 Ἀργυρέαις λόγχαισι μάχου καὶ πάντα κρατήσεις.

68 Ἅπας ἐχῖνος τραχύς.

69 Ἀσκὸν δέρεις: ἐπὶ τῶν ἀνοήτως τι πραττόντων.

70 Αὐλητοῦ βίον ζῇς: ἐπὶ τῶν ἐξ ἀλλοτρίων βιούντων.

71 Ἀποτίσεις χοῖρε γίγαρτα: ἤτοι ἃ ἔφαγες ἀποδώσεις.

72 Ἀπήντησε κακοῦ βουλὴ πρὸς ὑπερτάτην ἄτην: ἐπὶ τῶν πασχόντων ἄξια ὧν ἔδρασαν.

73 Ἄθως καλύπτει πλευρὰ Λημνίας βοός.

74 Ἀπὸ κώπης ἐπὶ βῆμα: ἐπὶ τῶν ἀθρόως μεγίστοις ἐγχειρούντων.

---

1. Legebatur ἀργυραῖς, λόγχαις, πάντων. 9. και βολή K. 11. καλύψει Plutarchus, σκιάζει ὦτα Scholia Veneta, σκιάζει νῶτα Eustathius, Schol. ad Theocritum, Zonaras. πλευρὰν B. βοός] ἁλός Schol. ad Theocritum, quam lectionem pro germana habet Piersonus ad Moerin p. 268: v. Ruhnkenium Epist. Crit. II, 197 bene v. βοός tuentem. B: [λέγεται δὲ ἐπὶ K.] ἐπὶ τῶν τινας λυπούντων ἢ βλαπτόντων· ἐπειδὴ [ἐπεὶ K] τὴν ἐν Λήμνῳ βοῦν λευκοῦ πεποιημένην λίθου ὁ Ἄθως τὸ ὄρος ἐπισκιάζει: K verba ἐπειδὴ . . ἐπισκιάζει praeponit verbis ἐπὶ . . βλαπτόντων.

67. Diogen. II, 81.
68. Diogen. II, 87.
69. Diogen. III, 3.
70. Diogen. III, 14.
71. Diogen. III, 32.
72. K. II, 8: Zenob. II, 8.
73. B. 166. K. II, 9. Apost. I, 76. Arsen. 25 ibiq. Macarius, qui explicat: ἐπὶ τῶν βλαπτόντων ἐκ γειτνιάσεως, ἐπειδὴ τὴν ἐν Λήμνῳ ἐκ μαρμάρου βοῦν ὀρθὸς ὁ Ἄθως ἐπικαλύπτει: Plutarch. de facie in orbe lunae p. 935 F: ἐν Λήμνῳ μὲν οὐδέτερος ἡμῶν εὖ οἶδ' ὅτι γέγονε, τουτὶ μέντοι τὸ θρυλλούμενον ἰαμβεῖον ἀμφότεροι πολλάκις ἀκηκόαμεν· Ἄθως κτλ. . . ἐπιβάλλει γὰρ ἡ σκιὰ τοῦ ὄρους ὡς ἔοικε χαλκέῳ τινὶ βοιδίῳ, μῆκος ἀποτείνουσα διὰ τῆς θαλάττης οὐκ ἔλαττον ἑπτακοσίων σταδίων: Schol. Ven. et Eustath. ad Hom. Il. Ξ, 229 p. 980, 44: τριακοσίους δέ, φασί, σταδίους Λήμνου ἀπέχων ὁ Ἄθως ὅμως σκιάζει αὐτήν· ὅθεν καὶ παροιμία, Ἄθως σκ. ν. Λ. βοός· δόξειε δ' ἂν τεθῆναι ἡ παροιμία ἐπὶ τῶν ἐχόντων καὶ πόρρωθεν ἐφικνεῖσθαι ἢ καθικνεῖσθαι τῶν ταπεινοτέρων δι' ὑπεροχήν τινα, ἐπεὶ καὶ ὁ Ἄθως ὑψηλότατος ὢν εἶχεν ἐν καιρῷ περὶ δείλην σκιὰν ἀποτελεῖν ἐκνουμένην ἕως καὶ εἰς ἄγαλμα Λημνίας βοός: Schol. ad Theocr. VII, 76: Suid., Zonar. 58. Adhibuit Sophocles in Lemniis: Etym. M. 26, 16: Σοφοκλῆς [fr. 348 Dindorf.], Ἄθως σκιάζει νῶτα Λ. β.: ἐν γὰρ τῇ Λήμνῳ βοῦς χαλκῆ ἵδρυται, ἐφ' ἣν τοῦ Ἄθω ἡ σκιὰ φθάνει. De bucula, quae in foro Myrinae urbis stabat, vid. Schol. ad Apoll. Rhod. Argon. I, 601. Plin. N. H IV, 12, 73. Rhodius Rerr. Lemnicc. p. 11 sqq. Aliud proverbium, ab

75 *Αὐτὸν οὐ τρέφων κύνας τρέφεις*: *ἐπὶ τῶν ἀπορούντων μὲν ἑαυτοὺς τρέφειν, ἄλλους δὲ ἐπαγγελλομένων.*

76 *Ἁλῶν μέδιμνον ἀποφαγών*: *ἐπὶ τῶν ἀχαρίστων.*

77 *Ἄμαξα τὸν βοῦν ἕλκει*: *ἐπὶ τῶν ἀντιστρόφως τι ποιούντων.*

78 *Ἁμαξιαῖα ῥήματα*: *ἐπὶ τῶν μεγάλων λόγων.*

79 *Ἄνθρωπος εὔριπος καὶ ψυχὴ καὶ διάνοια καὶ τρόπος*: *ἐπὶ τῶν ῥᾳστα μεταβαλλομένων.*

80 *Ἀπόλωλεν ἡ ὗς καὶ τὸ τάλαντον καὶ ἡ γνάθος.*

81 *Ἀκλητὶ κωμάζουσιν ἐς φίλους φίλοι*: *ὅμοιον καὶ τό· Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτα ἵασι.*

82 *Ἀνεῳγμέναι Μουσῶν θύραι.*

83 *Ἀρχὴ ἄνδρα δείκνυσιν.*

84 *Ἁλῶν δὲ φόρτος ἔνθεν ἦλθεν, ἔνθ' ἔβη*: *ἐπὶ τῶν κακῶς κτηθέντων καὶ ἀποκτηθέντων· ἔμπορος γὰρ ἅλας ἐπιφερόμενος ἐν νηῒ κλύδωνος ἐπιγενομένου τοὺς ἅλας ἐν τῇ θαλάττῃ ἀπέβαλεν.*

---

8. C: *Εὔριπος: πέλαγος, ὃ ἑπτάκις τῆς ἡμέρας τρέπεται. Ἀφ' οὗ καὶ παροιμία, Εὐρίπου μεταβολαί· ἀπὸ τοῦ εὖ καὶ τοῦ ῥιπίζω, ὁ εὐρίπιστος*: v. Etym. M. 395, 25. 10. Erasmus: *ἀπόλωλεν ἡ ὗς καὶ τάλαντον καὶ γάμον.* Addit K: *ἐπὶ τῶν μὴ τυχόντων ὧν ἤλπισαν ἐπὶ γάμου δὲ εὑρέθη μὴ γενομένου.* 14. δαῖτα: Gregorius cum Apostolio, Arsenio: δαῖτας Zenobius.

Atho monte derivatum, Apost. XIV, 37. Arsen. 381 afferunt, quod usurpavit Theod. Prod. in *Manuscript de la Biblioth. du Roi* T. VIII, 113: *οὐδ' ἂν ὅλους Ἄθως, ὦ λῷστε, τῆς κορυφῆς μοι καταλαξεύοις* [*κατατοξεύεις*, Arsenius]: dicitur *ἐπὶ τῶν πασχόντων ἀνύποιστα.*

74. Diogen. I, 98.

75. Diogen. III, 17.

76. K. II, 15. Apost. II, 60. Arsen. 48 ibiq. Macarius: *ἐπὶ τῶν ἀμνημονούντων φίλων.* Aristot. Ethic. ad Nicomach. VIII, 3. ad Eudem. VII, 2: *διὸ εἰς παροιμίαν ἐλήλυθεν ὁ μέδιμνος τῶν ἁλῶν*: vid. Wyttenbachius ad Plutarch. *περὶ πολυφιλίας* c. 5 p. 645 T. VI.

77. Diogen. III, 30.

78. Diogen. III, 48: add. *τὰ ἐκ τῶν ἁμαξῶν* in Append.

79. C. 225: Diogen. III, 39: add. Blomfield. ad Aesch. Agam. gl. 183.

80. . KII, 24. Apost. IV, 18. Arsen. 71: *ἐπὶ τοῦ μὴ τυχόντος ὧν ἤλπισεν ἐπὶ γάμου δὲ εὑρέθη μὴ γενομένου.*

81. Zenob II, 46. *Αὐτόματοι κτλ.*] Zenob. II, 19.

82. Zenob. I, 89.

83. Diogen. II, 94.

84. Zenob. II, 20.

85 [Ἀρίγνωτος σμάραγδος] ἐν μὲν τῷ φάει σκοτεινός, ἐν δὲ τῷ σκότει φωτεινός.

86 Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν.

87 Ἂν ἡ λεοντῇ μὴ ἐξίκηται, τὴν ἀλωπεκῆν πρόσαψον: ἐπὶ τῶν φανερῶς μὲν βλάπτειν μὴ δυναμένων, πανουργίᾳ δὲ χρωμένων.

88 Ἀρότρῳ ἀκοντίζεις: ἐπὶ τῶν ἀσκέπτως τι ποιούντων.

89 Αὐτὰρ ἡ πάγη ἔοικε λήψεσθαι πάγην.

90 Αὐτοῦ Ῥόδος, αὐτοῦ πήδημα.

91 Βοιώτιος νοῦς: ἐπὶ τῶν ἀπαιδεύτων· εἰς τοῦτο γὰρ ἀεὶ ὠνειδίζοντο οἱ Βοιωτοί.

92 Βοιώτιος νόμος: ἐπὶ τῶν κατ' ἀρχὰς ἡρεμούντων, ὕστερον δὲ ταρασσόντων.

93 Βάσανος λίθος: ἐπὶ τῶν ἐξεταζομένων ἐν λόγοις, παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει.

---

1. Verba uncis inclusa ex Apostolio, Arsenio et Macario adjeci. *μὲν* Apost., Macarius om. Verba *ἐν δὲ .. φωτεινός* Apostolius cum filio om. *δὲ* Macarius om. 2. *φωτεινός*] Macarius *φαεινός*: idem verba *ἐν τ σκ. φ.* vv. *ἐν μὲν .. σκοτεινός* praeponit. Addunt explicationem: *πρὸς τοὺς ἀποκρύπτοντας ἑαυτοὺς ὅπου οὐ χρή.* 5. Scribebatur *ἂν τῇ λεοντῇ* et *τῇ ἀλωπικῇ.* 10. Ἀτὰρ K, Apostolius, Arsenius. Addit K: *ὡς μοιχὸς ἐπὶ μοιχῷ.* 12. *Βοιωτιος* K. *ἀεὶ* K om. *ὠνειδίζοντο*] K *ἐσκωπτοντο.* Fortasse natum est ex *Βοιώτιον οἶς*: cf. Apost. V, 80. 89. 16. C: *παροιμία, ἐπὶ τῶν καλῶς ἐξεταζόντων καὶ τὸ ζητούμενον φανερούντων.* Deerat *δοκιμάζει*: e K adjeci. Habent etiam Apostolius, Arsenius.

85. Apost. IV, 55. Arsen. 74 ibiq. Macarius. Similiter *ἐν νυκτὶ λαμπρὸς, ἐν φάει δ' ἀνωφελής: ἐπὶ τῶν ἀνωφελῶν ἐν οἷς οὐ χρή· ἀπὸ μεταφορᾶς τῆς νυκτερίδος*: Apost. VIII, 54. Arsen. 233 ibiq. Macarius.

86. Diogen. II, 90.

87. Zenob. I, 93.

88. Diogen. III, 33.

89. K. II, 33. Apost. IV, 75. Arsen. 82 ibiq. Macar. 406: *πάγην ἱστὰς ἐν πάγῃ ληφθήσῃ.*

90. Macar. 85: *ἐπὶ τῶν ἀλαζονευομένων ἐπί τινι εἴρηται, ἀπὸ Ῥοδίου πεντάθλου, ἀλαζονευομένου ἐπὶ τῷ ἄλλεσθαι*: cf. Diogen. V, 18.

91. K. II, 40. Plutarchus de esu carnium Orat. 1 c. 6 p. 995: *τοὺς γὰρ Βοιωτοὺς ἡμεῖς οἱ Ἀττικοὶ καὶ παχεῖς καὶ ἀναισθήτους καὶ ἠλιθίους μάλιστα διὰ τὰς ἀδηφαγίας προσηγόρευον*: vid. Schmidius ad Horat. Epist. II, 1, 244 et nott. ad Diogen. III, 46.

92. Zenob. II, 65.

93. C. 46. K. II, 43. Apost.

94 *Βοιώτια αἰνίγματα: ἐπὶ τῶν ἀσυνέτων· Βοιωτὴ γὰρ ἡ Σφίγξ.*

95 *Βοῦς ἐπὶ γλώσσης: ἐπὶ τῶν δωροδοκουμένων· διὰ τὸ τῶν Ἀθηναίων νόμισμα βοῦν ἔχειν.*

96 *Γόνυ κνήμης ἔγγιον: ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἑτέρων ἀγαπώντων.*

97 *Γέροντα δ' ὀρθοῦν φλαῦρον, ὃς νέος πέσῃ.*

98 *Γλυκεῖ' ὀπώρα φύλακος ἐκλελοιπότος: ἐπὶ τῶν ἄνευ μόχθου τὰ ἀλλότρια καρπουμένων.*

99 *Γραῦς βακχεύει: ἐπὶ τῶν παρ' ὥραν τι διαπραττομένων.*

100 *Γραῶν ὕθλοι.*

1 *Γαστέρα μοι προφέρεις κάλλιστον ὄνειδος ἁπάντων, Ἡ πλήρης μὲν ἐλαφροτέρα, κενεὰ δὲ βαρεῖα.*

2 *Γῆς βάρος: ἐπὶ τῶν ἀχρήστων.*

3 *Γλυκὺς ἀπείρῳ πόλεμος.*

4 *Γραῦς ἀνακροτήσασα πολὺν κονιορτὸν ἐγείρει: ἐπὶ τῶν δι' ἐμπειρίαν πολλὰ πράγματα κινούντων.*

5 *Γύγου δακτύλιος: ἐπὶ τῶν πολυμηχάνων.*

6 *Γυμνότερος παττάλου.*

7 *Γυνὴ στρατηγεῖ, καὶ, Γυνὴ στρατοπεδεύεται: ἐπὶ τῶν παραδόξων.*

---

7. *πίσοι* Apostolius Arsenius. Diogenianus *ἐλαφροτέρη, κενή.* Diogenianus. 8. Scribebatur *γλυκεῖα.* 14. 22. *στρατοπεδεύεται*] *στρατεύεται* Diogenianus.

V, 47. Arsen. 138: Hesych. s. *βαλανιστής.* Suidas. Compara *Αὐδία ἐλέγξει τὸ κίβδηλον: λείπει ἡ λίθος* [errat: vid. Schol. ad Plat. Gorg. 350 Bekk.] *ἐπὶ τῶν δοκιμαζομένων, εἰ εἰσὶν ἀληθῶς οἷοι λέγουσιν εἶναι,* Apost. XII, 36: vid. Walzius ad Arsen. l. c. et Tittmannus ad Zonar. I, 373.

94. Zenob. II, 68.
85. Zenob. II, 70.
96. Zenob. III, 2.
97. Apostol. VI, 15. Arsen. 160.
98. Diogen. III, 95.
99. Zenob. II, 96.
100. Zenob. III, 5.
1. Diogen. III, 85.
2. Diogen. III, 90.
3. Diogen. III, 94.
4. Diogen. III, 97.
5. Diogen. III, 99. Dicitur etiam *σφενδόνη Γύγου*: cf. Apost. XVII, 83. Arsen. 432.
6. Diogen. III, 98.
7. Diogen. IV, 1.

8 *Γυναικὶ μὴ πίστευε, μηδ' ὅταν θάνῃ.*

9 *Γέλως Ἰωνικός: ἐπὶ τῶν ἐκλελυμένων· εἰς τοῦτο γὰρ Ἴωνες διεβάλλοντο.*

10 *Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται.*

11 *Γλαῦκα εἰς Ἀθήνας: ἐπὶ τῶν ἐπιδεικνυμένων πρὸς τοὺς εἰδότας, ἅπερ ἄμεινον αὐτοῦ ἴσασιν· ὅτι πολλαὶ εἰς Ἀθήνας γλαῦκες.*

12 *Γέρων βοῦς ἀπένθητος ἐν δόμοισιν.*

13 *Δίκην ὑφέξει κἂν ὄνος δάκῃ κύνα: ἐπὶ τῶν ἐπὶ μικρῷ συκοφαντουμένων.*

14 *Δίκη δίκην ἔτικτε καὶ βλάβη βλάβην: ἐπὶ τῶν φιλοδίκων καὶ συνειρόντων δίκαις δίκας· καὶ ἐπὶ τῶν πυκναῖς προσπιπτόντων συμφοραῖς.*

15 *Δὶς πρὸς τὸν αὐτὸν αἰσχρὸν προσκρούειν λίθον.*

16 *Δωδωναῖον χαλκεῖον: ἐπὶ λάλου.*

17 *Διὰ δακτυλίου δεῖ σε ἕλκυσθῆναι: ἐπὶ τῶν διὰ νόσον ἢ λύπην ἰσχνῶν γενομένων.*

18 *Δῶρα θεοὺς πείθει καὶ αἰδοίους βασιλῆας.*

19 *Δεινοὶ πλέκειν μηχανὰς Αἰγύπτιοι.*

20 *Δέδοται καὶ κακοῖς ἄγρα.*

21 *Δεύτερος πλοῦς.*

---

1. *μηδ' ἂν ἀποθάνῃ* Diogenianus. 4. *ἁλίσκεται πάγῃ* Zenobius. 5. Legebatur *ἐπιδεδεικνυμένων.* 6. *αὐτοῦ*] fortasse *αὐτῶν.* 11. *βλάβην βλάβῃ* K. 12. Legebatur *συναιρούντων.* 13. *πιπτόντων* K. 16. Legebatur *Δωδονεῖον.* 17. *διὰ δακτ.*] legebatur *δακτύλῳ*: correxi e Zenobio. 20. *πλέκειν τοι* Zenobius. 21. *κακοῖσιν* Zenobius.

8. Diogen. IV, 4: add. Menand. Sentt. Sing. 161 Mein.: *ἐν γὰρ γυναιξὶ πίστιν οὐκ ἔνεστ' ἰδεῖν.*
9. Diogen. III, 87.
10. Zenob. II, 90.
11. Zenob. III, 6: v. Diogen. VII, 68. Append. II, 33.
12. Zenob. II, 97.
13. Zenob. III, 20.
14. K. II, 82: Zenob. III, 28.
15. Zenob. III, 29.
16. Zenob. VI, 5.
17. Zenob. III, 18.
18. Diogen. IV, 21. Eurip Med. 964 citatur in Append. Arsen. 502.
19. Zenob. III, 37.
20. Zenob. III, 31.
21. Apost. VI, 97. Arsen. 178 ibiq. Macarius, qui explicat: *ἐπὶ τῶν ἀσφαλῶς τι πραττόντων παρόσον οἱ διαμαρτόντες κατὰ τὸν πρότερον πλοῦν ἀσφαλίζονται περὶ τὸν δεύτερον*: Schol. Bachmanni ad Hom. Il. H, 4, s. Eustath. ad Hom. Il. H, p. 661, 43: *ἰστέον*

22 *Δελφῖνα λεκάνη οὐ χωρεῖ.*

23 *Ἐπιμενίδου ὕπνος: ἐπὶ τῶν πολλὰ κοιμωμένων· πεντήκοντα γὰρ ἔτη ἐκάθευδεν.*

24 *Ἐς Τροφωνίου μεμάντευσαι: ἐπὶ τῶν σκυθρωπῶν καὶ ὠχρῶν.*

25 *Ἐν ἄλῳ δρασκάζεις: ἤγουν κρύπτῃ· ἐπὶ τῶν μὴ δυναμένων λαθεῖν.*

26 *Ἔστω ταμίας, τἄλλα δ' εἰ βούλει κύων: ἐπὶ τῶν παρ' ἀξίαν εὐημερούντων καὶ μάλιστα εὐνούχων.*

27 *Ἐκ παντὸς ξύλου κύφων ἂν γένοιτο: λέγεται ἐπὶ τῶν τὸ εἶδος εὐτελῶν, εἰς χρείας δὲ ἀναγκαίων.*

28 *Εἰς ἀρχαίας φάτνας: ἐπὶ τῶν ἐλθόντων εἰς ἅπερ πρότερον ὄντες ἐξέπεσον.*

---

2. C: *Ἐπιμενίδειος ὕπνος: ἐπὶ τῶν λίαν ὑπνηλῶν· ἐξ γὰρ οὗτος ἐκάθευδε. Λέγεται δὲ καὶ Ἐπιμενίδειον δέρμα* [Diogen. VIII, 28.]· *ἐπὶ τῶν γηραιῶν· ἔζησε γὰρ οὗτος ἔτη ρν.* 4. *μεμάντευμαι* Zenobius. 6. *Ἐναλ δρ. ἢ κρ.* Heinsius: cortexi e K: v. Zenobius. *ἤγουν*] *τοῦτ' ἐστι* K. 8. *τὰ δ' ἄλλ'* Apost., Arsenius. 12. K: *ἐπὶ τ. ἐλ. πάλιν εἰς ἐκεῖνα, ἀφ' ὧν ἐξέπεσον.*

δὲ καὶ ὅτι ὁ τῶν κωπηλατούντων πλοῦς δ. κατὰ τὴν παροιμίαν λέγεται πλοῦς ὡς πρώτου ὄντος τοῦ πλέειν πρὸς ἄνεμον: ad Odyss. *B*, 434 p. 1453, 18: *δ. π. λέγεται, ὅτε ἀποτυχών τις οὐρίου, κώπαις πλέει· κατὰ Παυσανίαν*: Schol. ad Plat. Phaedon. 99 D. p. 381 Bekk.: — — *ἐμνήσθη δὲ ταύτης καὶ Ἀριστοτέλης ἐν τῷ δευτέρῳ τῶν Ἠθικῶν* [c. 9.] *καὶ Μένανδρος Κεκρυφάλῳ* [p. 95 Mein.] *καὶ Ἱλοκίῳ* [148] *καὶ Θεοφορουμένῃ* [80.]: Basilius ad Gregor. Nazianz. apud Boissonad. ad Nicet. Eugen. VI, 346 T. II. 310: *παροιμία ἐπὶ τῶν τῆς προτέρας βουλῆς ἢ πράξεως ἐκπιπτόντων καὶ πρὸς δευτέραν ὁρμώντων*: Suidas, Bachmanni Anecd. I, 191, 31. Adhibuerunt plurimi: Plat. Phileb. 19. C. Politic. 300 B: Menand. Thrasyleon. 84 Mein.: *Ὁ δεύτερος πλοῦς ἐστι δήπου λεγόμενος, Ἂν ἀποτύχῃ τις πρῶτον, ἐν κώπαισι πλεῖν*: Aristotel. Polit. III, 8, 6. Liban. Epist. 81: *ἐπεὶ δὲ πολλαχόθεν ἠνάγκασμαι μένειν, οὐ παρῆκα τὸν δεύτερον πλοῦν, ἀλλ' ἐπιστέλλω*: ib. 93 et saepius: Heliodor. Aethiop. I, 15. Schol. ad Theon. Progymn. T. I. Rhett. Graecc. 262: alios larga manu apposuerunt Gatackerus ad M. Antonin. IX, 2 p. 263. Wyttenbachius ad Plat. Phaedon. 263 sq. Boissonadus Anecd. II, 445, id. ad Naumachium in Syll. Poett. Graec. T. III, 290. Walzius ad Arsen. l. cit.

22. Apostol. VI, 98. Arsen. 179. Usurpavit Amphicrates rhetor Atheniensis: v. Plutarch. Lucull. 22.

23. C. 209: Arsen. 459: *ὑπὲρ τὸν Ἐπιμενίδην κεκοίμησαι.* Vide Lucian. Tim. §. 6 ibiq. Hemsterhusium, Heinrichium Epimen. 38 et Diogen. VIII, 28, Zenob. III, 76.

24. Zenob. III, 61.

25. K. III, 26: Zenob. III, 74.

26. Apostol. IX, 23. Arsen. 213.

27. Zenob. IV, 7.

28. K. II, 95: Zenob. III, 50.

29 Ἐν δυοῖν τρία βλέπεις: ἐπὶ τῶν ἄλλα ἀντ' ἄλλων ὁρώντων.

30 Ἐκπερδικίσαι: ἤτοι ἐκκλῖναι. ἐπὶ τῶν διαδιδρασκόντων τοὺς θηρευτάς.

31 Ἐλέφαντα ἐκ μυίας ποιεῖς: ἐπὶ τῶν τὰ μικρὰ ἐπαιρόντων τῷ λόγῳ.

32 Ἐμαυτῷ βαλανεύσω: ἐμαυτῷ διακονήσω.

33 Εἰς ἀσθενοῦντας ἀσθενῶν ἐλήλυθας: ἐπὶ τῶν ὅμοια πασχόντων.

34 Εὔδοντι κύρτος αἱρεῖ: ἐπὶ τῶν εὐτυχούντων.

35 Ἔνεστι καὶ μύρμηκι χολή: ὅτι μηδὲ τοῦ μικροῦ δεῖ καταφρονεῖν.

36 Ἑρμῆς ἀμύητος.

37 Ἐκ τετρημένης κύλικος πιεῖν: ἐπὶ τῶν ἐψευσμένων φίλων.

38 Ἐν μέλιτι σαυτὸν κατακρύπτεις: ἐπὶ τῶν συζώντων ἡδυπαθείαις.

---

1. ἐν] ἐκ B, Apost., Arsenius, lexicographi: ἐν K et Erasmus III, 1. 6. ex antiquis quibusdam exemplaribus. Ἐκ vera lectio est. δυεῖν Suidas. ἀντὶ K. B: ἐπὶ τῶν διὰ γῆρας ἢ ἄλλο τι πάθος οὐκ ὀξυδορκούντων, quibus addunt Apost., Arsenius, lexicographi: οὐδὲ ἰλλικρινεῖς ἐχόντων τὰς αἰσθήσεις: ὁράσεις pro αἰσθ. Suidas. 3. ἤτοι ἐκκλ.] legebatur καὶ ἐκκλίνεσαι. KB: ἐκπερδικῆσαι: ἀντὶ [ἀντὶ K om.] τοῦ [τὸ K.] διολισθῆσαι καὶ διαδρᾶναι [ἀποδρᾶναι, μεταφορικῶς K.], ἀπὸ τῶν περδίκων πανοῦργον γὰρ τὸ ζῷον καὶ διαδιδράσκον τοὺς θηρῶντας [θηρευτάς, ἐπὶ τῶν μάτην ποιούντων K: scr. πονούντων et vide Hesychium]. 5. ποιεῖν Zenobius. 8. Legebatur ἀσθενῶς: ἀσθενὴς K. 11. καὶ] κἂν Zenobius. 14. Legebatur ἐκτετρυμένης: v. Plut. Boiss. 46. κίλικος K.

29. B. 391. K. II, 96. Apost. VII, 97. Arsen. 224: Hesychius, Suidas, ubi Bernhardius apposuit Schol. Basilii in Gregor. Nazianzen. ed. Boissonad. pag. 112.

30. B. 392. K II, 98. Apost. VIII, 6. Arsen. 225: Schol. ad Arist. Av. 768: Hesych. s. διαπερδικίσαι, s. ἐκπερδικίσαι, Suid. s. ἐκπερδικῆσαι, Etym. M. 269, 37. 323, 52. Zonar. 672. Bekk. Anecd. I, 97, 14. Aristophanes l. c. alludit ad Perdicem cauponem, de quo v. Plut. Provv. II, 24.

31. Zenob. III, 68.

32. Zenob. III, 58.

33. K. II, 100: Zenob. III, 56.

34. Diogen IV, 65.

35. Zenob. III, 70. Simile est, quod affertur ab Apost. IX, 48. Arsen. 249: ἔχει καὶ ἡ μυῖα σπλῆνα καὶ χολὴν ὁ μύρμηξ.

36. Diogen. IV, 63.

37. K. III, 24. Apost. VII, 96. Arsen. 225: Suidas.

38. Diogen. IV, 53.

39 Ἐνδύεται τὴν λεοντῆν.

30 Ἐνδυμίωνος ὕπνον ὑπνώττει: ἐπὶ τῶν πολλὰ κοιμωμένων.

41 Εἵληφεν ἡ παγὶς τὸν μῦν: ἐπὶ τῶν ἀξίως ἁλισκομένων.

42 Ἐν τριόδῳ εἰμὶ λογισμῶν: ἐπὶ τῶν ἀπορούντων.

43 Ἐν φρέατι κυσὶ μάχεσθαι.

44 Ἐκδεδαρμένον δέρεις: ἐπὶ τῶν μάτην πονούντων· βέλτιον δὲ ἐπὶ τῶν κακούντων τοὺς ἐν συμφοραῖς.

45 Ἔπειτα πλουτῶν οὐκέθ' ἥδεται φακῇ. Πρὸ τοῦ δ' ὑπὸ τῆς πενίας ἅπαντ' ἐπήσθιεν.

46 Ἐν θέρει τὴν χλαῖναν κατατρίβεις: ἐπὶ τῶν μὴ καθ' ὥραν τοῖς ἀναγκαίοις χρωμένων.

47 Ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτ' ἐκπλεῖν ἐᾷ: ἐπὶ τῶν δυσχρήστοις περιπεσόντων.

48 Ἐλέφας μυὸς οὐκ ἀλεγίζει.

49 Ἐκτὸς πηλοῦ πόδα ἔχεις: ἐπὶ τῶν ἔξω κινδύνων ὄντων.

50 Ἐκ τριχὸς κρέμαται: ἐπὶ τῶν κινδυνευόντων. ὅμοιον τῷ Ἐπὶ ξυροῦ.

51 Εὐγενὴς ἐκ βαλαντίου: ἐπὶ τῶν διὰ πλούτου τιμωμένων.

---

1. ἐνδύεταί μοι Zenobius. 4. ὀξίως Heinsius: ἀξίως ἁλωκότων K cum Apostolio et reliquis. 8. K addit: ἐπὶ τῶν πολεμούντων τισὶν ἀποφυγεῖν μὴ δυναμένοις. 9. δαίρεις K. 10. βέλτιον sqq. om. BK. 12. Legebatur παγίας πάντ' ἤσθιεν. 15. vulgo: ὃ. οὔτε πλεῖν ἄνεμος οὔτε μίμνειν ἐᾷ. 18. ἔξω C, ἐκ τοῦ K. τὸν πόδα C, πόδας K, Zenobius. κινδύνου K. C explicat: ἐπὶ τοῦ ἀκινδύνου. 22. K: διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων, et sic Apost., Arsenius.

39. Zenob. III, 75.
40. Zenob. III, 76.
41. K. III, 8. Apost. VII, 93. Arsen. 224: Suidas.
42. Zenob. III, 78.
43. K. III, 12: Zenob. III, 45.
44. B. 403. K. III, 14. Apost. VII, 94. Arsen. 224. Suidas: v. Diogen. V, 85.
45. Suid. s. φακαί: —— ἐπὶ τῶν πλουσίων γεγονότων ἀπὸ πενήτων. Versiculi ex Aristophanis Plut. 1004 desumpti sunt.
46. Zenob. III, 72.
47. Diogen. IV, 88.
48. Zenob. III, 67.
49. C. 199. K. III, 19: Schol. ad Aesch. Coeph. 685: cf. Zenob. III, 62.
50. Zenob. III, 47. Ἐπὶ ξ.] Diogen. IV, 41.
51. K. III, 21. Apost. IX, 36. Arsen. 445: v. Zenob. II, 88.

52 Ἔγχος ἐπὶ τῷ ἔγχει: γραῦν φασι τοῦτο εἰπεῖν καπήλῳ ἐνεχυράζουσαν ἔγχος.

53 Ἐλεύθεραι αἶγες ἀρότρου: ἐπὶ τῶν βάρους ἀπηλλαγμένων.

54 Εἰς κόλπον πτύεις: ἀντὶ τοῦ, οὐ μεγαλορρημονεῖς.

55 Ἐν πίθῳ τὴν κεραμείαν: ἐπὶ τῶν μὴ κατὰ τρόπον τοῖς μαθήμασι προβαινόντων.

56 Ἐν σκότει ὀρχεῖσθαι: ἐπὶ τῶν ἀμαρτύρως μοχθούντων.

57 Ζωὸς γενήσῃ κρομμύου μοῖραν λαβών: ἐπὶ τῶν ἐκ μικρᾶς αἰτίας μεγάλην δόξαν καρπουμένων.

58 Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα.

59 Ζητῶν γὰρ ὄψον θοιμάτιον ἀπώλεσα: ἐπὶ τῶν ἀτυχεστάτων.

60 Ἥλος τὸν ἦλον, πάτταλος τὸν πάτταλον ἐξέκρουεν: ἐπὶ ἰωμένων δι' ἁμαρτημάτων ἁμαρτήματα.

61 Ἡ κύων ἐν τῇ φάτνῃ: πρὸς τοὺς μήτε ἑαυτοῖς χρωμένους, μήτε ἄλλους ἐῶντας· παρόσον ἡ κύων κριθὴν οὐκ ἐσθίει μένουσα ἐν φάτνῃ, καὶ τὸν ἵππον οὐκ ἐᾷ.

---

3. ἀρότρων Zenobius. 5. πτύειν Diogenianus. 7. κιραμίαν μανθάνεις Zenobius. 9. σκότῳ Zenobius. 11. μοῖραν] vid. vv. ll. ad Zenobium. 15. Inserui γὰρ e Menandro. θυμάτιον conjecit Walzius ad Arsen. 261. 18. ἐξέκρουσεν Arsenius. Legebatur διαμαρτημένων. 19. κύων ἐπὶ φάτνην Phot. et Suid. s. κύων. ἐπὶ τῆς Phot., Suidas. 20. BK: π. ἡ κύων οὔτε αὐτὴ [vv. οὔτε αὐτὴ K om.] κριθὰς ἐσθίει καὶ τὸν ἵππον οὐκ ἐᾷ. 21. ἐσθίει] legebatur ἐᾷ μένουσαν: correxi ex Arsenio.

52. Comp. Zenob. V, 69.
53. Zenob. III, 69.
54. Diogen. IV, 82.
55. Zenob. III, 65.
56. Zenob. III, 71.
57. Zenob. IV, 15.
58. Zenob. IV, 16.
59. Zenob. IV, 13.
60. Diogen. V, 17.
61. B. 468. K. III, 36. Apost. IX, 71. Arsen. 275 ibiq. et 324 Macar.: Schol. Ven. et Bachm., Eustath. ad Hom. Il. N, 623 p. 950, 57: Hesych., Photius et Suid. s. ἡ κύων, s. κύων, s. οὐδὲν πρὸς Διόνυσον, Bekk. Anecd. I, 276, 6. Zonar. 983. Lucian. advers. Indoct. §. 30: καίτοι οὐδὲ ἔχρησας οὐδενὶ βιβλίον πώποτε, ἀλλὰ τὸ τῆς κυνὸς ποιεῖς τῆς ἐν τῇ φάτνῃ κατακειμένης, ἣ οὔτε αὐτὴ τῶν κριθῶν ἐσθίει οὔτε τῷ ἵππῳ δυναμένῳ φαγεῖν ἐπιτρέπει: quae sumpta sunt ex Aesopo: v. fab. CDIV Fur.: add. Lucian. Timone §. 14. Straton. Anth.

62 Ἦσαν ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

63 Ἠλιθιώτερος Ἀδώνιδος τοῦ Πραξιτέλους: Ἄδωνις γάρ τις Πραξιτέλους υἱὸς ἀποθανὼν καὶ ἐρωτηθεὶς πρὸς τῶν ἐν Ἅιδου, τί κάλλιστον ἄνω κατέλιπεν, ἀπεκρίνατο Ἴλιον, Σελήνην, σῦκα, μῆλα. ἔδοξε γοῦν ἠλίθιος ταῦτα ἐξισῶν Ἡλίῳ.

64 Ἡρακλέους θυσία: ἐπὶ τῶν εἰκῇ ταῖς θυσίαις χρωμένων.

65 Ἡ ἀφύη τὸ πῦρ: ἐπὶ τῶν ταχέως λαμβανόντων τέλος· παρόσον ἡ ἀφύη ταχέως ἑψεῖται.

66 Θυμὸς ἔσχατον γηράσκει: λέγεται διὰ τοὺς πρεσβυτέρους· ὅσον γὰρ γηράσκουσι, τὸν θυμὸν ἐρρωμενέστερον ἔχουσι.

67 Θαλάττη ἐκ χαράδρας ὕδωρ: ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσφιλοτιμουμένων.

68 Θάσος ἀγαθῶν: ἐπὶ τῶν εὐδαίμονα καὶ λαμπρὸν ἀποδεῖξαί τινα ἐπαγγελλομένων.

---

2. *Πραξίλλης* Apostolius, *Πραξέλλης* Arsenius: vid Zenobius. K: *υἱὸς Πρ. μετὰ θάνατον ἐρωτώμενος ὑπὸ τῶν κάτω.* 4. *ἄνω* K om. *κατέλιπεν*] K *κατέλειψεν.* 5. *ἀπεκρίνατο*] K *ἔλεγεν.* *καὶ μῆλα* K. *ἔδοξεν οὖν* recte K. 6. *τῷ ἡλίῳ* K. 7. *θυσίαι* VB. *εἰκῇ* om. V. 9. *τὸ* om. VB, Zenobius. *τέλος* adjeci e B, Zenobio. B: *παρόσον ἡ ἀφύη ἰδοῦσα τὸ πῦρ ἑψεῖται.* V: *ἡ δ' ἀφύη πῦρ: ὁμοία τῇ ἅμ' ἔπος ἅμ' ἔργον*: vid. Zenobius 1, 77. 12. Legebatur *εὐρωμενέστερον.* 14. Erat *θαλάττης*: correxi e Suida: *θαλάττιον* Apost., Arsenius. *ἐν χαράδραις* Arsenius. 15. *προφιλοτ.* Arsenius. 17. *ἀποδεῖξαι τι γάρ* Heinsius.

Palat. XII, 236, 3. Auctor incertus ap. Suid. s. *οὐδὲν πρὸς Διόνυσον*: v. nott. ad Diogen. V, 67*a*.

62. Diogen. V, 3.

63. K. III, 39: cf. Diogen. V, 12: ibi notatis adde Aelian. V. H. XIII, 15, qui praeter Melitidem et Coroebum in stultorum numerum Polydorum quendam, Coecylionem et Sannyrionem refert: v. ibi Perizonius: Tzetzae Epist. in Bibl. Crit. Nov. Nov. 1828 p. 379: *Βεκκεσίληνοί τινες καὶ βλιτομάμμαντες, φρονοῦντες ὅσα Μελιτίδης τε καὶ Μαμμάκυθος*: Anonymum Crameri Anecdd. III, 227: *οὐχ οὕτως ἀνοητοῦσιν οἱ ἄνθρωποι· οὐχ οὕτως ὁ Πηλεὺς Μελιτίδης, ὡς ἀντὶ Χείρωνος χοίρῳ τὸν ἑαυτοῦ ἐμπιστεύσασθαι Ἀχιλλέα· οὐχ οὕτω Κόροιβος ὁ Ἀλέξανδρος, ὡς τῷ παντάπασιν ἀτελεῖ ἀντ' Ἀριστοτέλους μαθητιᾶν*: cf. Walzius ad Arsen. 157.

64. V. II, 5. B. 470. Hesychius. Decimas Herculi pollicebantur: Plaut. Stich. I, 3, 80.

65. V. II, 13. B. 487: vid. Zenob. IV, 25.

66. Apost. X, 35. Arsen. 290.

67. Apost. X, 14. Arsen. 286. Suidas. Similia v. in nott. ad Diogen. VII, 67.

68. Zenob. IV, 34.

69 Ἱερὰ ἄγκυρα: ἡ μεγάλη βοήθεια.

70 Ἰσότης φιλότης.

71 Ἴσος πόλεμον οὐ ποιεῖ.

72 Ἰλιὰς κακῶν.

73 Ἱππόλυτον μιμήσομαι: ἐπὶ τῶν σωφρόνως βιούντων.

74 Ἱππέας εἰς πεδίον προκαλεῖ: ὅπερ ἔστι τοὺς εὐδοκιμοῦντας εἰς ἅπερ εὐδοκιμοῦσιν ἔργα.

75 Κακοῦ κόρακος κακὸν ὠόν.

76 Κόσμει Σπάρταν ἣν ἔλαχες: ὅτι δεῖ στέργειν τῇ δεδομένῃ τύχῃ καὶ ἀνέχεσθαι.

77 Καδμεία νίκη: ἡ ἐπὶ κακῷ τῶν νενικηκότων.

78 Κύκνειον ᾆσμα: ἐπὶ τῶν ἐγγὺς θανάτῳ ὄντων· οἱ γὰρ κύκνοι θνήσκοντες ᾄδουσιν.

79 Κορώνη τὸν σκορπίον: ἐπὶ τῶν βλαβεροῖς ἐπιχειρούντων.

80 Κιλίκιοι τράγοι: οἱ δασεῖς· ὅθεν καὶ τὰ ἐκ τριχῶν ἱμάτια κιλίκια λέγονται.

81 Κρητίζειν: ἀντὶ τοῦ ψεύδεσθαι καὶ ἀπατᾶν. τοιοῦτοι γὰρ οἱ Κρῆτες.

82 Καθώσπερ αἱ τίτθαι σιτίζεις κακῶς.

---

3. C: Ἴσα πόλιμον οὐ ποιεῖ: ὁμοία τῇ· Ἰσότης φιλότης: ἴσα etiam K Apostolius. Recte. 10. Σπάρταν ἔλαχες κείναν κόσμει Diogenianus. K eadem affert, quae infra ex Arsenio adscripsi. 21. καθώσπερ, quod codd. Suid. s. τίτθαι, codd. Apostolii et Arsenii servant, e perversa lectione vocum Aristophanearum κᾆθ' ὥσπερ ortum est. K καθαπερ. τίτθαι γε K. Explicat K: ἐπὶ

69. Diogen. V, 29: add. Tzetz. Chiliad. XI, hist. 363.

70. K. III, 45. Apost. X, 60. Arsen. 305: Aristot. Ethic. ad Nicomach. IX, 8, 2: Hesych. Suidas. Adhibet Plat. Legg. VI, 757 A: παλαιὸς γὰρ λόγος ἀληθὴς ὤν, ὡς ἰσότης φιλότητα ἀπεργάζεται, μάλα μὲν ὀρθῶς εἰρήσεται κτλ.: vid. sup. I, 15. ad Zenob. V, 23.

71. C. 276. K. III, 44. Apost. X, 59.

72. Zenob. IV, 43.

73. Diogen. V, 32.

74. Diogen. V, 28.

75. Zenob. IV, 82.

76. K. III, 53. Apost. XI, 49. Arsen. 320: ἐπὶ τῶν κοσμούντων τὸ κληρονομιαῖον γήδιον· σπαρτίῳ γὰρ ἐκληροδοτοῦντο: Suidas, ubi v. Bernhardy. Cf. Diogen. VIII, 16.

77. Zenob. IV, 45.

78. Diogen. V, 37.

79. Zenob. IV, 60.

80. Diogen. V, 54.

81. Zenob. IV, 62.

82. K. III, 61. Apost. XI, 16.

83 *Κύων ἐπὶ τὸν ἴδιον ἔμετον.*

84 *Κἂν ἐπὶ τοῦ νεκροῦ κερδαίνειν.*

85 *Κατόπιν ἑορτῆς ἥκεις: ἐπὶ τῶν καλοῦ πράγματος ἀπολιμπανομένων.*

86 *Κολοφῶνα ἐπέθηκας: ἤτοι τὸ τέλειον καὶ πλῆρες.*

87 *Κατὰ ῥοῦν φέρεται.*

88 *Καρκίνος λαγωὸν αἱρεῖ: ἐπὶ τῶν ἀδυνάτων.*

89 *Κενοὶ κενὰ βουλεύονται.*

90 *Κεστρεὺς νηστεύει: ἐπὶ τῶν λαιμάργων· ἄπληστον δὲ τὸ ζῶον.*

κλίωνος ἐῤῥίθη, ὃς ὀλίγα τῷ δήμῳ χαριζόμενος, τὰ πλείω ἐκέρδαινε· λέγεται δὲ ὅταν προφάσει τινὸς λαμβάνων τις χρήματα καθεσθίῃ ταὐτά· αἱ γὰρ τίτθαι διαμασώμεναι τὰς τροφὰς ἐξαίρουσι τοῦ στόματος καὶ τοῖς τῶν παιδίων ἐντιθέασιν· εἶτα συμβαίνει αὐτὰς ὀλίγας μὲν τοῖς παιδίοις διδόναι, τὰ πλείω δὲ κατεσθίειν: similiter Arsenius. 1. εἰς τὸν Arsenius. 2. τοῦ om. Arsenius. 5. τὸν *Κολοφ.* Diogenianus. *κακῶν ἐπίθ.* recte Arsenius. 7. Legebatur *κατὰ νοῦν.* 8. *λαγωὸν*] *λαιμὸν* Heinsius.

Arsen. 316. — Natum ex Aristoph. Equitt. 721, ubi vid. Scholl. et Suidas s. *τίτθαι.* Similiter *ὁ Λαμοκράτης εἴκασε τοὺς ῥήτορας ταῖς τίτθαις, αἳ τὸ ψώμισμα καταπίνουσαι τῷ σιάλῳ τὰ παιδία παραλείφουσιν*: Aristot. Rhet III, 4.

83. Apost. XI, 67. Arsen. 324: *ἐπὶ τῶν ἀπὸ τῶν ἀγαθῶν εἰς τὰ κακὰ ἐπανακαμπτόντων.* Usurpatur Epist. Petri II, 2, 22.

84. Arsen. 316: *ἐπὶ τῶν κερδαινόντων ἐκ πενήτων ἢ τιθνεώτων*: eandem expositionem Apostolius X, 95 proverbio *κἂν ἀπὸ νεκροῦ φέρῃ* apposuit: vid. Diogen. I, 9. III, 12. V, 84.

85. Diogen. V, 73.

86. Apost. XI, 53. Arsen. 321. Duae proverbii explicationes exstant, quarum una ab urbe Colophone proficiscitur: v. Diogen. VIII, 36: altera a proprio vocis *κολοφὼν* significatu, de quo v. Schol. ad Plat. 431 Bekk.: hanc Gregorius cum aliis secutus est. Eadem via alia proverbialis, ut videtur, locutio explicatur, *κολοφὼν κακῶν*, quo respiciunt Hesych. Suid. v. *κολοφών*, Etym. M. 525, 37. Zonar. 1230; similiter *κορωνίδας κακῶν* dicunt: v. Hesychius. Etiam aliae ductae sunt dicendi formulae ex nostro proverbio: *τὸν κολοφῶνα τῇ σοφίᾳ, τῷ λόγῳ ἐπιτιθέναι, ἐπάγειν*: Plat. Euthyd. 301, E. Legg. II, 674. C, *προσβιβάζων* Theaet 153 C: cf. Ruhnkenius ap. Heusdium Specim. Crit. 33. Wyttenbachius ad Plut. de sera num. vindicta p. 21 sq. Astius ad Plat. Legg. II, c 14: add. *κεφάλην τῷ λόγῳ ἐπιθεῖναι*: Plat. Tim. A, Aristid. *περὶ ῥητορ.* p. 73, 8 et Latinos quoque v. *κολοφὼν* eodem sensu usos esse: v. Fest. p. 37 Muell.: *Colophon dixerunt, quum aliquid finitum significaretur*: cf. Append. s *εἰμι.*

87. Diogen. V, 82.

88. Diogen. V, 96.

89. Diogen. V, 100.

90. Zenob. IV, 52.

91 *Κριὸς τὰ τροφεῖα ἀπέτισεν: ἐπὶ τῶν ἀχαρίστων· οἱ γὰρ κριοὶ καὶ τὰς φάτνας πλήττουσι καὶ τοὺς θρέψαντας.*

92 *Κακὰ μὲν θρίπες, κακὰ δ' ἵπες: ἄμφω γὰρ λυμαντικοί· καὶ οἱ μὲν τὰ ξύλα, οἱ δὲ κέρατα ἐσθίουσιν.*

93 *Λήμνια κακά: ἀπὸ τῶν ἐν Λήμνῳ γυναικῶν, αἳ τοὺς ἄνδρας αὐτῶν ἀπέκτειναν.*

94 *Λαγωὸς περὶ κρεῶν: ἐπὶ τῶν κινδυνευόντων καὶ [πρὸς τοῦτο] ἀγωνιζομένων, ἐπειδὴ κἀκεῖνος περὶ τῶν ἑαυτοῦ κρεῶν τρέχει.*

95 *Λύκος χανών· καὶ, ἡ λύκος περὶ φρέαρ χορεύει: ἐπὶ τῶν μάτην πονούντων.*

96 *Λύκου πτερὸν ζητεῖς: ἐπὶ τῶν ἀδυνάτων.*

97 *Λίνον λίνῳ κλώθεις: ἐπὶ τῶν τὰ αὐτὰ [διὰ τῶν αὐτῶν] πραττόντων ἢ λεγόντων, ἢ τῶν κατάλληλα.*

98 *Λύκος ἀετὸν φεύγει: ἐπὶ τῶν ἀφύκτων.*

99 *Λύδιον ἅρμα: ἐπὶ τῶν ταχυτάτων. Καὶ, παρὰ Λύδιον θέεις.*

---

5. *κέρατα*] v. n. ad Diogen. 6. *Λήμνιον κακόν* Zenobius. 9. *πρὸς τοῦτο* ex Arsenio adjeci. Ceterum Zenobius, alii proverbium plenius afferunt: *λαγωὸς τὸν περὶ κρεῶν τρέχει.* 11. Legebatur *Λύκος μάτην χανών ἡ λύκος κτλ.* 14. *κλωθεις*] συνάπτεις Zenobius. *διὰ τῶν αὐτῶν* ex Arsenio apposui. 17. Legebatur *τραχυτάτων*: correxit Boissonadus Anecd. II, 413. K: *λύδιον ἅρμα: ἐπὶ τῶν ἐριζόντων ἐν ἀγῶσι καὶ πολὺ ἀπολιμπανομένων· ὁ γὰρ Πέλοψ Λυδὸς ὢν ἐνίκησε τὸν Οἰνόμαον τῷ ἰδίῳ ἅρματι· καὶ ἔκτοτε ἡ παροιμία παρὰ λυδίον ἅρμα θέειν ἀντὶ τοῦ ἔξω καὶ μακρὰν τοῦ λυδικοῦ* [sic] *ἅρματος.*

91. Zenob. IV, 63.
92. Diogen. V, 78.
93. Zenob. IV, 91.
94. Zenob. IV, 85.
95. Diogen. VI, 20. *ἡ λύκος κτλ*.] Zenob. IV, 100.
96. Diogen. VI, 4. Similia v. infr. III, 39.
97. Zenob. IV, 96.
98. Diogen. VI, 19.
99. Diogen. VI, 28. *παρὰ Λ. θ.*] K. III, 82. Apost. XII, 38. Arsen. 340: Eustath. ad Hom. Il. K, 430 p 816, 39: *Λυδοὶ ἐπρώτευον κατὰ τὸ ἱππεύειν, ὅθεν καὶ παροιμία τὸ παρὰ Λύδιον ἅρμα ἐπὶ τῶν πολὺ ὀπίσω λειπομένων*: plenius affert Nonnus Creuzeri Melet. I, 81 *παρὰ Λύδων ἅρμα θέειν*: cf. Creuzerus l. c. et Wyttenbachius ad Plutarch. de discern. adul. ab amico 65 B. Usurpavit Pindarus: Plut. Nic. 1 [fr. 222 Boeckh.]: add. Greg. Nazianz. Oratt. XX, p. 331: *εἰ καὶ πιζοὶ παρὰ Λύδιον ἅρμα ἐθέομεν*: Anna Comnena Alex. VI, p. 147. ed. Venetae: »illud tantum addam, sic et Latinos loqui: Horat. Art. Poet. 417:

100 *Λευκῷ λίθῳ λευκὴ στάθμη.*

1 *Μία λίχμη δύο ἐριθάκους οὐ τρέφει.*

2 *Μηδικὴ τράπεζα.*

3 *Μέλιτος μύελον: ἐπὶ τοῦ ἄγαν ἡδέος.*

4 *Μηδὲ μέλι μηδὲ μελίσσας: ἐπὶ τῶν παραιτουμένων ἀγαθόν τι παθεῖν διὰ τὸν κίνδυνον τὸν ἐν αὐτῷ.*

5 *Μὴ πρὸς λέοντα δορκὰς ἄψωμαι μάχης.*

6 *Μυσῶν λεία: οἱ γὰρ περίοικοι τοὺς Μυσοὺς ἐλήϊζον.*

7 *Μὴ κίνει Καμάριναν: λίμνη, ἣν ἀπηγόρευεν ὁ χρησμὸς μετοχετεῦσαι· οἱ δὲ χρησάμενοι παρακούσαντες ἐβλάβησαν.*

8 *Μωμήσεται μᾶλλον ἢ μιμήσεται: ἐπὶ τῶν ἀπαιδεύτων.*

9 *Μὴ παιδὶ μάχαιραν.*

10 *Μὴ τοῖς ἀπείροις ἐγχειρίζειν πράγματα.*

11 *Μία χελιδὼν ἔαρ οὐ ποιεῖ, οὐδὲ μέλισσα μέλι.*

12 *Νεκρῷ μῦθον εἰς οὓς ἔλεγεν: ἐπὶ τοῦ μὴ ἐπαΐοντος· καὶ ἐπὶ τῶν ἀναισθήτων.*

13 *Νεφέλας ξαίνεις: ἐπὶ τῶν ἀδυνάτων.*

---

1. *Λευκὴ στ. λ. λ.* Arsenius. 2. Scribebatur *ἐριθακοὺς*. 4. *μύελον*] vulgo *μύσθλον*. vulgo *ἡδέους*. 7. scribebatur *μάχη*. 10. K: *λ. ἣν, ἣν μετοχετεῦσαι βουλόμενοι χρησμὸν ἔλαβον μὴ κινεῖν· οἱ δὲ παρακούσαντες ἐβλάβησαν*. 13. *τις μᾶλλον* Diogenianus. 16. Est explicatio proverbii antecedentis: v. Diogen. VI, 46. 17. *οὐδὲ μ. μ.* K om. K addit: *ἐν μιᾷ ἡμέρᾳ οὐκ ἔστι γνῶσιν ἐμβαλεῖν*. 19. *καὶ ἐπὶ κτλ.* Diogenianus om.

mihi turpe relinqui est: ducta a stadii curriculo translatione: Harpocratio: *Ἀπολειποπότις; ἀντὶ τοῦ νενικηκότις· ἡ μεταφορὰ ἀπὸ τῶν δρομέων κτλ.* Schottus ad Diog. l. c.

100. Phot. Suid. Philem. Lexic. v. *στάθμη*: Zenob. IV, 89, Diogen. VI, 8. Utitur Aristaen. Epist. I, 28, ubi cf. Interpp. p. 602 Boisson.

1. Zenob. V, II.

2. Diogen. VI, 37.

3. Diogen. VI, 51.

4. Diogen. VI, 58.

5. Diogen. VI, 59: cf. infr. 56.

6. Zenob. V, 15.

7. K. III, 94: Zenob. V, 18.

8. Diogen. VI, 74.

9. Diogen. VI, 46.

10. Diogen. VI, 46.

11. K. III, 97: Zenob. V, 12.

12. Diogen. VI, 82.

13. Diogen. VI, 83.

14 *Ναῦς ἱκετεύει πέτραν: ἐπὶ τῶν σφόδρα ἀναισθήτων.*

15 *Ξυρὸς εἰς ἀκόνην.*

16 *Ξύλον ἀγκύλον οὐδέποτ' ὀρθόν: ἐπὶ τῶν ἀδιορθώτων.*

17 *Οὐ παρὰ βωμὸν δεῖ τὰς ἐπινοίας: ὅτι πρὸ τῶν πραγμάτων δεῖ βουλεύεσθαι καὶ μὴ ἐν αὐτοῖς· ὥσπερ καὶ οἱ τὰ ἱερὰ προσάγοντες οὐ μετὰ τὸ θῦσαι βουλεύονται περὶ αὐτῶν.*

18 *Οὐκ ἂν αὖθις ἀλώπηξ: λείπει τὸ ἁλώσεται· αὕτη γὰρ ἅπαξ διαφυγοῦσα τὰς πάγας, οὐ δεύτερον ἁλίσκεται.*

19 *Ὄνος ἄγει μυστήρια: ἐπὶ τῶν ἀναξίως τι ἐμπεπιστευμένων.*

20 *Ὄνου γνάθοι: εἰς πολυφάγον.*

21 *Ὅπου ἔλαφοι τὰ κέρατα ἀποβάλλουσι: τόποι δύσβατοι. Ἐπὶ τῶν ἐργώδεις εὑρεῖν τὰς διατριβὰς ποιουμένων.*

22*a* *Οἱ μὲν γὰρ οὐκέτ' εἰσὶν, οἱ δ' ὄντες κακοί.*

22*b* *Οἶκοι τὰ Μιλήσια· μὴ γὰρ ἐνθάδε: ἐπὶ τῶν ὅπου μὴ προσήκει ἐπιδεικνυμένων τὰ ἤθη, ἢ ἐπιτηδεύματα διαβεβλημένα. Μιλήσιος γὰρ παρὰ Λακεδαιμονίοις δημηγορῶν καὶ τὴν οἴκοι τρυφὴν ἐπαινῶν ἤκουσε ταῦτα.*

23 *Οἶνος, ὦ παῖδες, ἀλήθεια.*

---

1. *πέτρας* Diogenianus. 6. Vide nott. critt. ad Zenobium. 9. *περὶ αὐτῶν* Apostolius et Arsenius om. 10. *Ἀλλ' οὐκ κτλ.* Zenobius. *τὸ* K om. 11. *τὰς* K deest. 15. *γνάθος* Diogenianus. 16. *αἱ ἔλαφοι* Zenobius. 17. *εὑρεῖν* Zenobius om. 19. Hic versus cum proverbio antecedenti conjunctus erat. 21. *προσήκει*] K *προσείκει*. *τὰ ἤθη*] *τὴν τρυφήν* K. 21. *ἢ ἐπ. δ.*] K om. 22. K: *γάρ τις ἐλθὼν εἰς Α. ἐδημηγόρει πολλὰς τρυφὰς ἔχων.*

14. Diogen. VI, 79.
15. Diogen. VI, 91.
16. Diogen. VI, 92.
17. Zenob. I, 66, qui paulo aliter proverbium affert conformatum: cum Gregorio Apost. XV, 45. Arsen. 397 consentiunt.
18. K. IV, 2: Zenob. I, 67.
19. Diogen. VI, 98.
20. Diogen. VI, 100.
21. Zenob. V, 52.
22*a*. Suidas, qui explicat: *ἐπὶ τῶν διὰ σπάνιν ἐπιζητουμένων*. Est versus ex Euripidis Oeneo, quem usurpavit Aristophanes Ran. 72, ubi cf. Scholl.
22*b*. K. IV, 5: Zenob. V, 57.
23. Diogen. VII, 28.

24 *Ὄνος εἰς ἄχυρα.*

25 *Οὔθ' ὕεται οὔθ' ἡλιοῦται: ἐπὶ τῶν ἀναισθήτων.*

26 *Οὐκ ἐπαινεθείης οὐδ' ἐν περιδείπνῳ: ἐπὶ τῶν φαυλοτάτων καὶ οὐδενὸς ἀξίων· εἰώθασι γὰρ ἐν τοῖς ἀπὸ τῶν ἀποθανόντων δείπνοις αὐτοὺς ἐπαινεῖν, κἂν ἔτυχον ὄντες φαυλότατοι.*

27 *Οἴχοθεν ὁ μάρτυρ: ἐπὶ τῶν καθ' ἑαυτῶν φερόντων μάρτυρας.*

25 *Ὄνος ἐν μελίσσαις: ἐπὶ τῶν ἐν κακοῖς περιπεσόντων.*

29 *Ὄνος λίρας ἀκούων: ἐπὶ τῶν ἀξυνέτων.*

30 *Ὄνῳ τις ἔλεγε μῦθον, ὁ δὲ τὰ ὦτα ἐπέσειεν.*

31 *Πολλῶν ἀχύρων ὀλίγον καρπὸν ἀνήγαγον.*

32 *Παρὰ κωφῷ διαλέγῃ.*

33 *Πρὸς σῆμα μητρυιᾶς κλαίει: ἐπὶ τῶν προσποιουμένων.*

34 *Πολλαῖσι πληγαῖς δρῦς δαμάζεται: ἐπὶ τῶν δυσαλώτων.*

35 *Πρὶν τοὺς ἰχθῦς λαβεῖν, τὴν ἅλμην κυκᾷς: ἐπὶ τῶν τοὺς καιροὺς προλαμβανόντων.*

---

4. Vulgo *οὐδὲ παρὰ δεῖπνα*: v. Zenobius. 6. Scribe *ἐπὶ τῶν*. 13. *ἐπίσιιν*] *ἐκίνει* Zenobius. K addit: *ἐπὶ τῶν ἀνοήτων*. 15. K addit: *ἐπὶ τῶν πολλὰ ποιούντων, ὀλίγα δὲ καρπουμένων*. 17. *κλαίειν* Diogenianus.

24. Diogen. VI, 91.
25. Zenob. V, 53.
26. Zenob. V, 28.
27. Diogen. VII, 29.
28. Diogen. VII, 32.
29. Diogen. VII, 33.
30. K. IV, 15: Zenob. V, 42.
31. K. IV, 16. Apost. XVI, 24. Arsen. 410.
32. V. Diogen. VII, 43. Comparari potest Aeschyl. Sept. c. Theb. 202: *ἤκουσας ἢ οὐκ ἤκουσας, ἢ κωφῇ λέγω;* similia sunt *ψιθυρίζειν εἰς κωφόν*: Theodor. Hyrtac. in Boisson. Anecdd. II, 437: d. Libanius ibid. I, 167: *ἀλλ' ἦδον, τὸ τῆς παροιμίας, ἐπὶ κωφῷ· ἀλλ' αἰγιαλοῖς ἐδόκουν προσομιλεῖν* [v. Zenob. I, 38] *κτλ.*: Phot. Epist. : *κωφῶν δὲ ἄρα θύρας, τὴν παροιμίαν ἀπέδειξας κόπτοντας*: v. Boissonadus ad Aristaen. Epist. I, 28 p. 609 et comp. Diogen. VII, 30. 33. Plutarch. in Boiss. Anecdd. I, 396. 398.
33. Diogen. VII, 66.
34. Diogen. VII, 77.
35. Diogen. VII, 93.

36 *Πολλαὶ κυνὸς ἄῤῥενος εὐναί: ἐπὶ τῶν κατωφερῶν εἰς τὰ τῆς Ἀφροδίτης ἔργα.*

37 *Πολλάκι μωρὸς ἀνὴρ καταχαίριον εἶπε.*

38 *Πολλὰ μεταξὺ κύλικος καὶ χείλεος ἄκρου.*

39 *Πλίνθον πλύνεις: ἐπὶ τῶν ἀδυνάτων.*

40 *Πτωχοῦ πήρα οὐ πίμπλαται: ἐπὶ τῶν ἀπλήστων.*

41 *Ποικιλότης ὕδρας: ἐπὶ τῶν δολερῶν.*

42 *Πολλοί σε μισήσουσιν, ἂν σαυτὸν φιλῇς.*

43 *Πῦρ ἐπὶ δαλὸν ἐλθόν.*

44 *Πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα.*

45 *Πολλοί τοι ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι.*

46 *Πρὸς κέντρα λακτίζειν.*

47 *Προφάσεως δεῖται μόνον ἡ πονηρία.*

48 *Πρὸ τῆς νίκης ᾄδεις ἐγκώμιον.*

49 *Πολλὰ ψεύδονται ἀοιδοί.*

50 *Ποταμὸς πρὸς θάλατταν ἐρίζει: ἐπὶ τῶν ἀδυνάτων.*

---

3. *πολλάκι τοι καὶ* Diogenianus. 4. *μεταξὺ πέλει* Zenobius. 9. *ἐὰν αὐτὸν* Bothius Vindic. Ovid. 29. VBK: *τοῦτό φασι Νύμφας πρὸς τὸν* [*τὸν* K om.], *Νάρκισσον* [K *Νάρκισον*] *εἰπεῖν* [sqq. K om.] *ἀποβλέποντα εἰς τὴν πηγὴν καὶ τὴν οἰκείαν ποθοῦντα μορφήν.* 17. *ψεύδονθ'* K. 18. *π. θαλάττῃ ἐρίζεις* Diogenianus.

36. Diogen. VII, 79.
37. Diogen. VII, 81.
38. Zenob. V, 71.
39. Diogen. VII, 50. V. Diogen. I, 45. VII, 67. Greg. Cypr. II, 96. Plutarch. Boiss. 31.
40. Zenob. V, 66.
41. Diogen. VII, 69.
42. V. III, 59. B. 807. K. IV, 26. Apost. XVI, 44. Macar. 412: Suidas. Similiter Menand. Sentent. Singul. 310: *λίαν φιλῶν σεαυτὸν, οὐχ ἕξεις φίλον.*
43. Diogen. VII, 82.
44. Zenob. V, 68.
45. Zenob. V, 77.
46. Zenob. V, 70.
47. Diogen. VII, 87.
48. Diogen. VII, 56.
49. K. IV, 29. Macar. 412: Schol. ad Plat. 465 Bekk.: *παροιμία ἐπὶ τῶν κέρδους ἕνεκα καὶ ψυχαγωγίας ψευδῆ λεγόντων. φασὶ γὰρ τοὺς ποιητὰς πάλαι λέγοντας τἀληθῆ, ἄθλων ὕστερον αὐτοῖς ἐν τοῖς ἀγῶσι τιθεμένων ψευδῆ καὶ πεπλασμένα λέγειν αἱρεῖσθαι, ἵνα διὰ τούτων ψυχαγωγοῦντες τοὺς ἀκροωμένους τῶν ἄθλων τυγχάνωσιν· ἐμνήσθη ταύτης καὶ Φιλόχορος ἐν Ἀτθίδος ά. καὶ Σόλων Ἐλεγείαις καὶ Πλάτων ἐνταῦθα*, Dial. de iusto p. 374 A. Vide Schneidew. Delect. p. 28.
50. Diogen. VII, 47.

51 *Πολλῶν ἐγὼ θριων ἀκήκοα ψόφους.*

52 *Πεινῶσαν ἀλώπεκα ὕπνος ἐπέρχεται.*

53 *Πενίη σοφίην ἔλαχεν.*

54 *Πάντα πέτρον κινήσω.*

55 *Πάντα κάλων.*

50 *Πρὸς λέοντα δορκάδες συνάπτουσι μάχας.*

57 *Ῥόδιοι τὴν θυσίαν: ἐπὶ τῶν ἐν ἱεροῖς βλασφημούντων.*

58 *Ῥαχίας λαλίστερος: ἐπὶ τῶν ἀδολέσχων· ψύφον γὰρ ἀποτελεῖ βαλλομένη τοῖς κύμασιν.*

59 *Ῥαδαμάνθυος κρίσις: ἡ δικαιοτάτη.*

60 *Ῥόδον παρελθὼν μηκέτι ζήτει πάλιν.*

61 *Ῥεχθὲν δέ τε νήπιος ἔγνω.*

62 *Ῥηγίνων δειλότερος.*

63 *Σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει.*

64 *Συνῆλθεν ἀτταγᾶς νουμηνίῳ.*

65 *Σύμβουλός ἐστιν ὁ χρόνος τῶν πραγμάτων.*

66 *Συγγνώμη πρωτοπείρῳ: ἐπὶ τῶν ἐν πρώτοις ἁμαρτανόντων.*

---

1. Scribebatur *θηρίων*. 2. Vulgo *ἔρχεται*. 3. *Πενία* et *σοφίαν* Zenobius. K: *ἐπειδὴ οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσι*. 5. Cave addas *κινεῖν*: proverbium enim cum antecedenti conjunctum erat: cf. cod. K in nott. critt. ad Diogen. VII, 42. 6. *δορκὰς ἅπτεται μάχης* Macarius. *ἐπὶ τῶν ἐριζόντων πρὸς κρείττονας* K, *ἐπὶ τῶν πρὸς τοὺς κρείττονας ἐριζόντων* Macarius. 11. Scribebatur *Ῥαδαμάνθιος*. 13. VB: *καὶ Πλάτων ὥσπερ νήπιον* [V *ὡς παρνήδιον*] *παθόντα γνῶναι*: Plat. Sympos. 222 B.

51. Diogen. VII, 92.
52. Diogen. VII, 91.
53. K. IV, 36: Zenob. V, 72.
54. Diogen. VII, 42.
55. K. IV, 35: Zenob. V, 62.
56. K. IV, 39. Apost. XVI, 87. Arsen. 413 ibiq. Macar.: Suidas. Cf. Greg. Cypr. III, 5.
57. Diogen. VII, 96.
58. Diogen. VII, 99.
59. Diogen. VII, 98.
60. Diogen. VIII, 2.
61. V. III, 72. B. 626. Apost. XVII, 12. Arsen. 421: Suidas: *εἴρηται παρ' Ὁμήρῳ* [Il. *P*, 32.], *ὅτι ὁ μωρὸς μετὰ τὸ γενέσθαι τὸ πρᾶγμα ἐπιγινώσκει*: cf. Zenob. II, 14, nott. critt. ad Diog. VI, 90. Greg. Cypr. I, 54.
62. Zenob. V, 83.
63. Zenob. V, 93.
64. Diogen. VIII, 18.
65. Similiter Menand. Sentent. Singul. 479 Mein.: *σύμβουλος οὐδεὶς ἐστι βελτίων χρόνου.*
66. Diogen. VI, 93.

67 *Σαρδώνιος γέλως*: *ὁ προσποιητὸς καὶ μὴ ἐκ χαιρούσης καρδίας.*

68 *Σικελικὴ τράπεζα, καὶ, Συβαριτική.*

69 *Σοφία μωροῦ*: *ἐπὶ τῶν ἀσύνετα λαλούντων.*

70 *Σὲ δ' οἰωνίσαιτ' ἄν τις ἰδών*: *καὶ τό, Τὸν δὲ ἡ νεότης ἐμίσουν τε καὶ οἰωνίζοντο.*

71 *Τοιοῦτον Θεμιστοκλῆς οὔποτ' ἐνόησε*: *σοφίας γὰρ δόξαν οὗτος ἀπηνέγκατο.*

72 *Τυφῶνος πολυπλοκώτερον.*

73 *Ταντάλου τάλαντα*: *ἐπὶ τῶν σφόδρα πλουσίων.*

74 *Τὸν Κολοφῶνα ἐπέθηκας*: *ἐπὶ μεγάλων πραγμάτων· καὶ ἐπὶ βεβαίου ψήφου.*

75 *Τὸ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος ἐν τῇ γλώσσῃ τοῦ μεθύοντος.*

---

4. KB explicant: *ἀδιεξέταστοι* [Suidas *ἀδιεξόδευτοι*] *λόγοι*. 5. *Σὲ — ἰδών*] Apostolius et Arsenius explicationis causa haec afferunt: *ἐπὶ τῶν εἰδεχθῶν· παρόσον οἱ παλαιοὶ οἰωνίζοντο ἐκ τοῦ συναντῆσαι πρώτοις ἐν τῇ ὁδῷ εἰδεχθεῖ ἢ εὐειδεῖ καὶ σκοτεινδύτῃ ἢ λευχειμονοῦντι. καὶ τὸ κτλ.*] K om. 6. *ἡ μὲν* Suidas, qui addit in fine: *οἱ δὲ πρεσβύτεροι κατησπάζοντο καὶ ἐπῄνουν.* 7. Recte Suidas ex Aristophane: *τοιουτονὶ Θεμιστοκλῆς οὐπώποτ' ἐπενόησεν.* K *ἐπενόησε*: *διὰ τὸ τειχίσαι τὸν Πειρεᾶ* [sic] *ἢ ὅτι σ. δ. Θεμιστοκλῆς ἀπηνέγκατο.* 9. *πολυπλοκώτερος* K. 10. *Ταντάλου*] scribebatur *Ταλαντου*.

67. Zenob. V, 85.

68. Diogen. VIII, 7: Zenob. V, 87. Append. III, 14.

69. B. 850. K. IV, 47: Suidas. Nam *μωρὸς σιωπᾶν οὐ δύναται* Apost. XIII, 51. Arsen. 360, et *μωρὸς μωρὰ λέγει* Arsen. l. c.

70. K. IV, 49. Apost. XVII, 35. Arsen. 428. *καὶ τό κτλ.*] haec a Suida afferuntur s. *οἰωνίζοντο*: adnotat ibi Gaisfordus, Valckenarium haec verba tribuisse Aeliano.

71. K. IV, 50. Apost. XIX, 2. Arsen. 449: Suidas. Proverbium ductum est ex Aristoph. Equitt. 891, ubi melius quam Suidas Scholiasta de Themistoclis sapientia exponit: *ὅτι σοφίας δόξαν ἀπηνέγκατο ὁ Θεμιστοκλῆς, σαφηνίσας Ἀθηναίοις τὸν δοθέντα χρησμὸν τεῖχος τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς* [integrum oraculum affertur a Scholiasta ad Equitt. vs. 1049.] *ἄλλων δὲ ἄλλα λεγόντων Θεμιστοκλῆς ἔφη, τὰς τριήρεις λέγειν ξύλινον τεῖχος· καὶ τὸν Πειραιᾶ δὲ τειχίσας* [v. Arist. Equitt. 821], *ὡς εἴρηται, καὶ τὰ μακρὰ τείχη ποιήσας τὰ διήκοντα ἀπὸ τῆς πόλεως μέχρι τοῦ Πειραιῶς, ἐπὶ πλέον ἔδοξε σοφός.*

72. K. IV, 51. Apost. XVIII, 66: Hermias ad Plat. Phaedr. 230 A ap. Ruhnkenium ad Tim. Lex. Plat. 260 Lugd., Timaeus l. c., Phot. Suidas. Adhibuit Plat. l. c., quem multi imitati sunt; v. Ruhnkenius l. c., interpp. ad Plat. l. c.: add. Suidas s. *Σαραπίων* fin.

73. Zenob. VI, 4.

74. Diogen. VIII, 36.

75. Diogen. VIII, 43.

76 *Τὸν καπνὸν φεύγων εἰς τὸ πῦρ ἐνέπεσεν.*

77 *Τὸ κυνὸς κακὸν ὗς ἀπέτισεν: ἐπὶ τῶν ἄλλων ἁμαρτόντων, ἄλλων δὲ δόντων δίκην.*

78 *Τὸν ξύοντα ἀντιξύειν: ἀπὸ μεταφορᾶς τῶν ὄνων· ἀλλήλους γὰρ ἀντικνήθουσιν. Ἐπὶ ὠφελούντων ἢ ἀντιβλαπτόντων ἀλλήλους.*

79 *Τοῦ Κροίσου παιδὸς σιγηλότερος.*

80 *Τί οὐκ ἀπήγξω, ἵνα Θήβησιν ἥρως·γένῃ: οἱ γὰρ ἑαυτοὺς διαχειρίζοντες ἐν Θήβαις ἐτιμῶντο.*

81 *Τὸ Ἱππάρχου τειχίον: Ἵππαρχος ὁ Πεισιστράτου παρὰ τὴν Πυθίαν τεῖχος ᾠκοδόμησε, πολλὰ τοὺς Ἀθηναίους εἰς τἀναλώματα ἀναγκάσας.*

82 *Τὸν ἐγκέφαλον κατασεσεῖσθαί μοι δοκεῖς.*

83 *Τὸ μὲν νόημα τοῦ θεοῦ, τὸ δὲ κλέμμ' ἐμόν: οὕτω γὰρ οἱ δημαγωγοὶ ἀστεϊζόμενοι ἔλεγον· ὁ μὲν θεὸς ὑπέβαλεν, ὁ ἐργασάμενος δὲ ἐγώ.*

---

12. C. 132. Aristot. Eth. ad Nicomach. V, 5 (8), 3. Schol. ad Aesch. Suppl. 444. Suid. s. *αἴκε.* De versus auctore dubitatur; Rhadamanthum nominat Aristot. l. c., Apollinem Pythium Julianus in Caesar. p. 314, Hesiodum Michael Ephesius et Scholiastes Parisinus apud Zellium ad Arist. l. c. T. II. p. 177. Retulerunt inter Hesiodi fragmenta: 69 Dind., 150 Goettl. Sententia notissima: Aeschyl. apud Stobaeum Eclogg. Phys. I, 4, 24: *δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται*: v. Blomfieldus ad Aesch. Choeph. gl. 307. Welckerus ad Theogn. 169 [731]. Schneidew. Conject. Critt. 84.

13. C. 130: v. Diogen. IV, 75.

14. C. 131. Suidas. Pro auctore proverbii Themistocles habetur, quem, ut narrat Plutarchus V. Themist. 29, sub Artaxerxis tutela degentem *φασὶν θεραπευόμενον ὑπὸ πολλῶν λαμπρᾶς ποτε τραπέζης αὐτῷ παρατεθείσης πρὸς τοὺς παῖδας εἰπεῖν· Ὦ παῖδες, ἀπωλόμεθα ἄν, εἰ μὴ ἀπωλόμεθα*: adhibuerunt postea Polyb. XL, 5, alii, quos Wyttenbachius ad Plutarch. p. 185 F indicat: addo quod cum Themistoclis dicto componatur Democharis illud de Stratocle apud Plut. V. Demetr. 24: *μαίνοιτο μεντἂν, εἰ μὴ μαίνοιτο*, de quo v. Coraes.

15. K. III, 29: v. Greg. Cypr. II, 86.

κλησιαζουσῶν καὶ ψήφους καταβαλλομένων μηδὲν τέως ἰσχύειν αὐτὰς, εἰ μὴ καὶ ἡ τοῦ Κολοφῶνος καταβληθεῖσα τὸ κῦρος τοῖς ἐψηφισμένοις ἐδίδου.

16 Εἴπερ ἐκ πεύκης κἀγὼ ἐκ ξύλων ἐπηγνύμην: εἴπερ δηλαδὴ ἐξ ἀνθρώπων καὶ ἐγὼ ἄνθρωπός εἰμι. ἡ προσωποποιΐα δὲ ὡς ἀπὸ νηῶν μικρῶν πρὸς μεγάλας.

17 Εἰπὼν ἃ θέλεις, ἀντάκουε ἃ μὴ θέλεις: ἐπὶ τῶν ἀκουόντων κακὰ, εἰπόντων τοιαῦτα.

18 Εἰς ἀγρὸν Μάνης: παραβολὴ ἐπὶ τῶν εὐχρήστων.

19 Εἰς βόλον ἐλθεῖν: ἐπὶ τῶν εἰς καιρὸν ἐπί τι ἀφικνουμένων· ἐκ μεταφορᾶς τῶν ἰχθύων.

20 Εἰσὶ καὶ κυνῶν Ἐρινύες: παρεγγυᾷ, μηδὲ τῶν μικρῶν καταφρονεῖν.

21 Εἰς ἴχνια κυνῶν: ἐπὶ κατάρᾳ τίθεται.

---

4. κἀγὼ ἐκ] γε κἀγὼ καὶ Aristophanes. 7. Macarius: εἰπὼν ἃ θέλῃς, ἄκουε καὶ ἃ μὴ θέλῃς· Λήλη: concinit cod. Mosq., nisi quod καὶ ἀκούσεις exhibet; Schneidewinus Conjectt. Critt. 179: εἰπὼν γὰρ ἃ θ., ἀντάκουε ἃ μὴ θέλεις, ibique notat, sibi versum ex Alcaei loco infra allato ductum videri. 9. Pergit Hesychius: ἐμφαίνει γὰρ, ὡς ἐν ἀγρῷ χρήσιμον μᾶλλον ὄντος τοῦ οἰκέτου. 12. μηδὲ κτλ.] Macarius: μηδὲ κυνῶν ἀμελεῖν.

16. C. 134. Suidas. Est versus Aristoph. Equitt. 1310, ubi v. Scholiastam, ex quo sua Suidas deprompsit.

17. C. 133. Macar. 224. Cod. Mosquens. in Naekii et Welckeri Mus. Rhen. V, 331. Alcaeus fr. 62 Schneidew.: Αἴκ' εἴπῃς τὰ θέλεις, [ἦ κεν] ἀκούσαις τά κεν οὐ θέλοις, ibiq. v. notae: similiter Pythagoras apud Stobaeum Floril. Append. p. 76 Gaisf., Βέλτιον λίθον βαλεῖν εἰκῇ ἢ λόγον. Λάλει ἃ δεῖ καὶ ὅτε δεῖ, καὶ οὐκ ἀκούσεις ἃ μὴ δεῖ: cf. infr. III, 7: add. Hesiod. Ἔργ. 719: γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης. Εἰ δὲ κακὸν εἴπῃς, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις: Chilo apud Diog. Laert. I, 3, 2. Arsen. 479. 513: μὴ κακολογεῖν τοὺς πλησίον· εἰ δὲ μὴ, ἀκούσεσθαι ἐφ' οἷς λυπήσεσθαι: Sophocl. fr. 668 Dind.: φιλεῖ δὲ πολλὴν γλῶσσαν ἐχίας μάτην Ἄκων ἀκούειν οὓς ἑκὼν εἶπεν λόγους.

18. V. I, 77. B. 385. Hesychius. Μάνης] ὄνομα κύριον οἰκέτου, Suid. s. v., ubi v. Bernhardy.

19. C. 137. Eurip. Bacch. 847: γυναῖκες, ἀνὴρ ἐς βόλον καθίσταται: Tragicus Rhes. 730: ἴσως γὰρ εἰς βόλον τις ἔρχεται. μεταφορᾶς τ. ἰχ.] βόλος enim est τὸ βαλλόμενον εἰς ἄγραν ἰχθύων: Suid. s. βολίς: pluribus de vocabulo egit Jacobsius ad Aelian. N. Anim. VIII, 3.

20. C. 139. Macar. 224. Similiter Pollianus Anth. Palat. XI, 127: εἰσὶ καὶ ἐν Μούσῃσιν Ἐρινύες, αἵ σε ποιοῦσιν ποιητήν, ἀνθ' ὧν πολλὰ γράφεις ἀκρίτως.

21. C. 138.

22 *Εἰς κόπρον θυμιᾷς*: *ἐπὶ τῶν τὰ κακὰ μεταβαλεῖν ἐπιχειρούντων.*

23 *Εἰς Κορυβάντιον*: *ἐπὶ τῶν καθαρῶν καὶ ἔξω αἰτίας, ἐπείπερ οἱ εἰς Κορυβάντων εἰσιόντες παναγεῖς εἰσιν.*

24 *Εἰς Κυνόσαργες*: *εἴρηται ἐπὶ ὕβρει καὶ ἀρᾷ. Ὠνόμασται δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ. Λέγεται γὰρ ὅτι τῷ Ἡρακλεῖ θύοντι ἁρπάσαι κύνα λευκὸν ἢ ταχὺν κρέας τῶν θυομένων καὶ φαγεῖν, καὶ διὰ τοῦτο κολαζόμενον καὶ μὴ ἐώμενον, ἐλθεῖν τὸν Ἡρακλῆ εἰς τὸ χρηστήριον, τὸν δὲ, ἀνέδωκε τὸ μαντεῖον, ἐς Κυνόσαργες ἐλθεῖν καὶ κτίσαι ναὸν, ἤτοι ἔνθα ὁ ἀργὸς καὶ λευκὸς ἐκεῖνος κύων ἢ ὁ ταχὺς τὸ κρέας ἁρπάσας κατέθετο, ἐπὶ τούτῳ πολλὰ παθεῖν τὸν Ἡρακλέα τὸν τόπον εὑρεῖν καὶ τὴν παροιμίαν ἐκτεθῆναι. Ἐξ οὗ καὶ τοὺς νόθους ἐκεῖ συντελεῖν, ὅτι καὶ Ἡρακλῆς νόθος ἦν, ἴσα θεοῖς ἐτιμήθη.*

25 *Εἰς κυνὸς πυγὴν βλέπει καὶ τριῶν ἀλωπεκῶν*: *ἐπὶ τῶν ὀφθαλμιώντων καὶ αἰσχρῶν.*

26 *Εἰς λατομίας*: *παροιμία ἐπὶ τῶν προκρινόντων τοὺς χείρονας τόπους ἢ τοὺς καλοὺς οἰκεῖν, ἐπὶ τῷ ἐκφυγεῖν κακά· ὅτι Φιλόξενος ὁ διθυραμβοποιὸς μὴ ἀνεχόμενος τῶν Διονυσίου τοῦ τυράννου ποιημάτων ὡς φαύλων, εἰς λατομίας ἦλθε, φαυλότατον χωρίον.*

---

1. Suidas: *ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λίγηται ὑπὸ τῶν Ἀττικῶν.* 3. *Κορυβαντεῖον, ναὸς τῶν Κορυβάντων* affert Arcad. de Accent. 121, 19. 15. *ἐκτιθεῖναι* codex. 16. *ἴσα*] scr. *ὃς καὶ* vel simile quid. 20 Plenius Suidas: *Ἄπαγέ με εἰς τὰς λατομίας: παροιμία ἐπὶ τῶν μὴ ὑποφερόντων τὰ ἀνάξια. Φασὶ γὰρ ὅτι Φιλόξενος ὁ διθυραμβοποιὸς Διονυσίῳ τῷ τυράννῳ συνῆν· ἴσχλα δὲ αὐτοῦ ποιήματα ἀναγινώσκοντος οὐκ ἐπῄνει· ἐφ' οἷς ὀργισθεὶς ἐκέλευσεν αὐτὸν ἀπαχθῆναι εἰς τὰς λατομίας· εἶτα πάλιν μετεκαλέσατο αὐτὸν, ἐλπίζων ἐπαινέσαι αὐτοῦ τὰ ποιήματα· ὁ δὲ μὴ θέλων ἐπαινεῖν ἔλεγε τὸ προκείμενον.*

22. C. 140*b*. Suidas.

23. C. 144. Ad mysteria spectare videtur: v. Lobeckius Aglaoph. II, 1153.

24. C. 141: Diogen. IV, 86. De narratione cf. Fritzschium de Arist. Daetal. Comm. 27 sqq.

25. C. 145. Apost. VII, 90. Arsen. 222.

26. C. 146. Apost. VII, 70. Arsen. 220. Suidas. s. *εἰς λατ.* De re vide quos citat Wyttenbachius in Plutarch. de Alex. M. fort. Or. II, 334 C et nott. ad Diogen. VIII, 54,

27 *Εἰς μελίττας ἐκώμασεν*: *ἐπὶ τῶν κακουμένων ἀθρόως.*

28 *Εἴ σοι Μυσὸν ἥδιον καλεῖν*: *Μῦσός τις μυσὸς ἐβούλετο καλεῖσθαι· ἀπὸ τούτου ἡ παροιμία, ἐπὶ τῶν μὴ τὰ οἰκεῖα ἀλλὰ τὰ ἐπίθετα πρετιμώντων.*

29 *Εἰς ὄνου πόκους*: *πρὸς τοὺς εἰς τὰ ἀδύνατα ἀναβαλλομένους, παρόσον ἀπὸ ὄνου πόκοι οὐ γίνονται· οἱ δὲ ἐπὶ κατάρας τοῦτο λέγουσιν· ἤτοι ἄπιθι εἰς ὄνου πόκους, ἤγουν ἔνθα οἱ ὄνοι σήπονται καὶ τὰ αὐτῶν ἔρια ὡς πόκοι γίνονται.*

30 *Εἰς πάγας ὁ λύκος*: *ἐπὶ τῶν ἁρπαζόντων μέν, κατασχεθέντων δέ.*

31 *Εἰς τὴν ἀμίδα ἀπουρεῖν*: *ἐπὶ τῶν εἰς τοὺς ἀξίους ὑβριζόντων.*

32 *Εἰς τὴν πυγὴν ἐξερρύηκε ἡ σοφία*: *ἐπὶ τῶν μηδὲν χρηστὸν λεγόντων ἢ φρονούντων.*

33 *Εἴ τις ἐν Αἰγύπτῳ σῖτον ἄγοι καὶ ἐν Κιλικίᾳ κρόκον*: *λείπει, οὐ φρονεῖ ἤ τι ἄλλο τοιοῦτον· λέγεται γὰρ ἐπὶ τῶν κομιζόντων πρός τινας ἃ κέκτηναι, καὶ ὅμοιόν ἐστι τῷ, Γλαῦκα Ἀθήναζε.*

---

1. ἐκώμασας Zenobius. τῶν παρὰ δόξαν κακ. idem. 3. *Μῦσος*] est oxytonon: sed perspicuitatis causa accentum auctor mutasse videtur. *Μυσόν γε* Plato. 17. ἄγοι] ἐπαγάγῃ Schol. Aristoph.

27. K. II, 93: cf. Zenob. III, 53.

28. C. 150. Sunt verba Platonis, Gorg. 521 B, ad quae Stallbaumius ex codice Olympiodori Cizensi haec protulit: *ἡ παροιμία αὕτη ἐκ τοῦ Τηλέφου ἐστὶν Εὐριπίδου· ἐκεῖ γὰρ ἐρωτᾷ τις περὶ τοῦ Τηλέφου καὶ φησι τὸ, Μυσὸν Τήλεφον* [fortasse ex hoc loco factum, quod in codice C narratur, fictum est.]· *εἴτε δὲ Μυσὸς ἦν, εἴτε ἄλλοθέν ποθεν, πῶς ὅτι* [sic] *ὁ Τήλεφος γνωρίζεται. οὕτω καὶ ἐνταῦθα· εἴτε κόλακα θέλεις εἰπεῖν τὸν τοιοῦτον εἶναι περὶ τὴν πόλιν.* Natum est ex contemtu isto, quo habebatur Mysorum gens: cf. infr. II, 85.

29. C. 149: cf. Zenob. V, 38.

30. K. II, 92: cf. Zenob. III, 52.

31. C. 158. Apost. VII, 85. Arsen. 223. Proverbio lux affunditur Aristophani, Ran. 543: *εἶτ' ἤτησεν ἀμίδα*: Xanthias servus a domino superbiens postulat matulam. Cf. Diogen. VIII, 4.

32. C. 159. Simile est illud Zenonis apud Diogen. Laert. VII, 21: *νεανίσκου πολλὰ λαλοῦντος, ἔφη· τὰ ὦτά σου εἰς τὴν γλῶτταν συνερρύηκε*: add. Arist. Ran. 482 sqq.

33. C. 160. Schol. ad Arist. Av. 304. Suidas: cf. Zenob. III, 6. In Cilicia crocus frequens proveniebat: Plin. N. H. XXI, 6, 17: *prima nobilitas Cilicio et ibi in Coryco monte, dein Lycio, monte Olympo, mox Centuripino Siciliae*: v. Horat. Serm. II, 4, 68. interpp. ad Virg. Georg. I, 56.

34 *Εἰς τὸν ἀγρὸν ἀποβλέπει: ἐπὶ τῶν ἄνεσιν ζητούντων καὶ ἀμελῶν. Οἱ γὰρ πολεμούμενοι καὶ πολιορκούμενοι ἐπὶ τὸν ἀγρὸν ἀποβλέπουσιν, ἐπιθυμοῦντες ἐν αὐτῷ εἶναι.*

35 *Εἰς τὴν Ἡροδότου σκιάν: ἐπὶ τῶν μὴ τελεσιουργούντων ἃ προείλοντο. Φασὶ γὰρ Ἡρόδοτον τὸν λογογράφον Ὀλυμπίασι δεῖξαι βουληθέντα τὴν ἑαυτοῦ ἱστορίαν, ἀναβάλλεσθαι ἡμέραν ἐξ ἡμέρας, φάσκοντα σκιᾶς εἰ ἐπιλάβοιτο ἐν τῷ τεμένει τοῦ Ὀλυμπίου, δεῖξειν τὴν ἱστορίαν· ἐστὶ γὰρ δεινῶς προσήλιον τὸ χωρίον· ἔλαθεν οὖν αὐτὸν διαλυθεῖσα ἡ πανήγυρις οὐκ ἐπιδειξάμενον τὰς ἱστορίας.*

36 *Εἰς Τροιζῆνα δεῖ σε βαδίζειν: ἐπὶ τῶν κακογενειῶν καὶ σπανοπωγώνων εἴρηται. Πώγων γάρ ἐστι λιμὴν Τροιζήνιος. Ἐπισκώπτοντες οὖν τοὺς κακογενείους ἔλεγον· Βάδιζε εἰς Τροιζῆνα.*

37 *Ἕκαστος τὸν ἑαυτοῦ ὀβελίσκον τρέφει: ἐπὶ τῶν φροντίδα τῶν οἰκείων ποιουμένων.*

38 *Ἐκ βορβόρου φιλολογεῖς: ἐπὶ τῶν ὠφελείας πειρωμένων λαμβάνειν, οὐκ ἐκ δικαίων.*

39 *Ἐκ κοινοῦ πλείστη δὲ χάρις δαπάνη τ' ὀλιγίστη: ἐπὶ τῶν ἐρανιζόντων.*

40 *Ἐκ μητρὸς αὐλεῖς: ἐπὶ τῶν εἰς μητέρα ἁμαρ-*

---

1. Post lemma Suidas intulit *Ἀριστοφάνης*. 5. *εἰς τὴν*] *εἰς τὸν* C. 13. *Εἰς Τροιζῆνα βαδίζεις* K cum Apostolio et Arsenio. *ἐπὶ εἴρηται*] *ἐπὶ τῶν ἐχόντων σπάνιν γενειῶν* K. 15. B *Πωγών. ἐπισκώπτοντες κτλ.*] K omittit. 21. *Ἐκ κοινοῦ* in Hesiodo ad antecedentia pertinet. *δὲ*] adjeci ex Hesiodo: *μὲν* Macarius. *τ'*] *δ'* Macarius.

34. C. 154. Suidas. Aristoph. Acharn. 30: *στένω, κέχηνα . . λογίζομαι, Ἀποβλέπων εἰς τὸν ἀγρὸν, εἰρήνης ἐρῶν, Στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν κτλ.*, ubi v. Scholia.

35. C. 157. Edidit Montefalconius Bibl. Coisl. p. 609, unde innotuit Nitzschio Catal. Praelectt. univ. Kilon. $18^{28}/_{29}$ et Kruegero *Epikritischer Nachtrag z. d. Leb. des Thucyd.* p. 19. Herodotum Olympiae nunquam recitasse, e nostro loco mea quidem sententia certissime colligitur.

36. B. 400. K. III, 4. Apost. VII, 92. Arsen. 223: Eustath. ad Hom. Il. *B*, p. 287, 17: *τῆς τε Τροιζῆνος ταύτης λιμὴν ἄδηται ὁ Πώγων, ὅθεν ἐπὶ τῶν ἀτρίχων τὸ γένειον καὶ ψευδομένων τὸν ἀνδρικὸν πώγωνα λέγεται παροιμιωδῶς τὸ, πλεύσειας εἰς Τροιζῆνα*: Suidas.

37. C. 162.

38. C. 163.

39. C. 165. Macar. 226. Est versus Hesiodi Opp. et D. 723.

40. C. 166.

τανόντων, ἢ εἰς οἰκεῖόν τινα, ἢ ἐπὶ τοῦ κατὰ ζῆλον τὶ ποιοῦντος.

41 Ἐκ παντὸς πρόφασις: ἐπὶ τῶν προφάσεως οὐκ ἀπορούντων.

42 Ἐκ πόντου κόνιν κυλινδεῖς: ἤτοι ἐπὶ τοῦ ἀδυνάτου, ἢ ἐπὶ τοῦ ἰσχυροῦ καὶ δυνατοῦ.

43 Ἐκποτέον καὶ τὴν τρύγα: ἐπὶ τῶν καὶ τὰ μὴ χρηστὰ λαμβανόντων· Φερεκράτης.

44 Ἐκποτέον τὴν τούτου: ἐπὶ τῶν ἐξ ἀνάγκης τὰ ἑτέρων κακὰ ὑπομενόντων.

45 Ἔκ τε φέρει γενεή τ' ἀγαθὴ καὶ πατρὶς ἄρουρα: εἴρηται ἐκ τοῦ Αἰθίοπος, ὃς οὐκ ἐβούλετο συνευνάζεσθαι τῇ τοῦ δεσπότου γυναικὶ, ὅμως δὲ ἀναγκασθεὶς ἔπραξε, καὶ ἀπέτεκεν ἡ γυνὴ ὅμοιον τῷ Αἰθιοπι· ἀγανακτῶν οὖν ὁ ἀνὴρ ἐπὶ τῷ γενομένῳ, ἐξεφώνησε τὸ προκείμενον, καὶ παρήχθη εἰς παροιμίαν.

46 Ἕκτη ἡμέρα: ἐπὶ τῶν ἀγαθῶν ἡμερῶν. Ἐν ταύτῃ γὰρ μυθεύεται τοὺς θεοὺς νενικηκέναι τοὺς Γίγαντας.

47 Ἐκ τῆς αὐτῆς ψιάθου γεγονώς: ἐπὶ τῶν παραπλησίων καὶ ὁμοίων.

48 Ἐκ τῆς πλησιεστάτης εἰς τὴν κενοτέραν: χρὴ μεταλαγχάνειν τοὺς οὐκ ἔχοντας παρὰ τῶν ἐχόντων. Πλάτων.

---

17. ἕκτη ἡμέρα Macarius. 22. ὅτι χρὴ Macarius.

41. C. 169.
42. C. 171.
43. C. 172.
44. C. 170.
45. C. 173. Ex epico poeta derivatum: Hom. Od. A, 407: ποῦ δέ νύ οἱ γυνὴ καὶ πατρὶς ἄρουρα: ibid. Y, 193. Res, qua effectum esse narratur, ut versus in proverbium abiret, revera facta esse potest: narrat Plinius N. H. VII, 12, 51, feminas quasdam viro similes semper parere.
46. C. 176. Macar. 226. Quod de Gigantibus h. l. narratur, aliunde mihi non notum. Sexto Thargelionis die Diana nata est: Diog. Laert. II, 44. BoeckhiusCorp.Inscr.Grr. I, 255. Bergkius Commentt. de Rell. Com. Att. Ant. 36.
47. C. 175. Similia affero haec: Plat. Gorg. 493 D: φέρε δὴ ἄλλην σοι εἰκόνα λέγω ἐκ τοῦ αὐτοῦ γυμνασίου τῇ νῦν: Aelianus Suidae v. Ἐπίκουρος: Μεσσήνιοι δὲ ἐν Ἀρκαδίᾳ τοὺς ἐκ τῆς αὐτῆς οἱονεὶ φάτνης ἐδηδοκότας ἐξήλασαν: cf. infr. 68.
48. C. 174. Macar. 227. Usurpat Plato Sympos. 175 D.

49 Ἐκ τοῦ βοὸς ἡ μάστιξ: ἐπὶ τῶν καθ' ἑαυτῶν πραγματευομένων.

50 Ἐκ τῶν περιττῶν καὶ ἵπποι ἐμπίπλανται.

51 Ἑκὼν ἀέκοντί γε θυμῷ: ἐπὶ τῶν κατ' ἀνάγκην ποιούντων τί.

52 Ἐλάφειος ἀνήρ: ὁ δειλός.

53 Ἐμαυτῷ βαλανεύσω: ἀντὶ τοῦ διακονήσω.

54 Ἔμβαρός εἰμι: ἐπὶ τῶν παραπαιόντων καὶ μεμηνότων. Λιμοῦ γάρ ποτε κατασχόντος τοὺς Ἀθηναίους προεῖπεν αὐτοῖς ὁ θεὸς ἔσεσθαι τούτου λύσιν, εἰ ἐπιδοίη τις εἰς σφαγὴν τὴν ἑαυτοῦ θυγατέρα τῇ Μουνιχίᾳ Ἀρτέμιδι. Ὁ Ἔμβαρος τοίνυν εἰς ἀμοιβὴν τὴν ἱερωσύνην τῆς θεοῦ ἑαυτῷ καὶ τοῖς ἐγγόνοις αἰτήσας, ὑπέσχετο δώσειν τὴν θυγατέρα. Ψηφισαμένων δὲ τῶν Ἀθηναίων τοῦτο, αἶγα ἀντὶ τῆς θυγατρὸς κοσμήσας εἰς θυσίαν ταύτην τῷ βωμῷ προσήγαγεν. Ἐχρήσαντο γοῦν τῇ παροιμίᾳ οἱ Ἀθηναῖοι ἐπὶ τῶν παραπαιόντων.

---

1. Macarii explicatio haec est: *λείπει καὶ βοῦν ἐρεῖ.* 8. Suidas: *νουνιχίς, φρόνιμος· ἦν πρότερον ὁ Πειραιὺς νῆσος· ὅθεν καὶ τοὔνομα εἴληφεν ἀπὸ τοῦ διαπεράν· οὗ τὰ ἄκρα Μούνιχος κατασχὼν Μουνιχίας Ἀρτέμιδος ἱερὸν ἱδρύσατο*: sequitur narratio ex Pausania infra apposita. Concinunt Apostolius et Arsenius. 12. *ἀμοιβὴν τὴν* B om. *ἱερωσύνην*] *δικαιοσύνην* V. 13. *τῆς*] B *τοῦ*. 14. *ψηφιζομένων* V. 16. *γοῦν*] *οὖν* V.

49. C. 178. Macar. 226. Eandem sententiam exprimunt Zenob. I, 27. Diog. V, 59.

50. C. 179.

51. C. 167. Eustath. ad Hom. Il. *A*, 443, 35: *τὸ δέ, ἑκὼν ἀ. γε θ., ἔπισε μὲν εἰς κοινὴν παροιμίαν τὴν, ἑκὼν ἀέκων τόδε τι πεποίηκα, δι' ἧς βοηθοῖτ' ἂν καὶ τὸ, ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος, ὃ δὴ πικρῶς λογιστεύει ὁ κωμικός* [Arist. Ran. 1471: cf. Valckenarius ad Eur. Hippol. p. 232 Lugd.]. *πάνυ δὲ ἀκριβῶς ἔχει τὸ Ὁμηρικὸν καὶ οὐ πάσχει ἀντίφασιν, ὡς δῆθεν ἀδύνατον ὂν συνυπάρχειν τὸ ἑκὼν καὶ τὸ ἀέκοντι θυμῷ· δῆλον γὰρ ὡς πολλάκις μὴ προηγησαμένης προαιρέσεως γίνεταί τι, ὃ πῇ μὲν ἐθέλομεν, πῇ δὲ οὔ· οὕτω καὶ οἱ τὰ φορτία ἐν κλύδωνι ἀποβάλλοντες πῶς μὲν ἀέκοντες δρῶσι· τῷ δέει γὰρ τοῦ κινδύνου· πῶς δὲ ἑκόντες, ἵνα γὰρ σωθῶσι· καὶ ἑκόντες μὲν ἀποβάλλουσιν, ἄκοντες δὲ ζημιοῦνται*: Suid. s. *ἑκόντι*, s. *ἑκών*. Hom. Il. *A*, 43: *καὶ γὰρ ἐγὼ σοὶ δῶκα ἑκὼν ἀέκοντί γε θυμῷ*: alludit Galenus de Natur. Facult. I, c. 15. T. II, p. 56 Kuehn.: *οὐχ ἑκόντες, ἀλλ' ὡς ἡ παροιμία φησὶ, μαινομένοις ἀναγκασθέντες συμμανῆναι* [v. inf. III. 97.]: Terent. Andr. IV, 1, 31: *scio: tu coactus tua voluntate es.*

52. K. III, 11: Zenob. III, 66.

53. K. II, 97: Zenob. III, 58.

54. V. I, 60. B. 357. Apost. VIII, 19. Arsen. 228: Eustath. ad Hom. Il. *B*, 331, 26: *ὁ δ' αὐτὸς Παυσανίας ἱστορεῖ καὶ τινα Ἔμβαρον ἐπὶ εὐχῇ σοφίσασθαι· ἱδρύσατο γάρ, φησί, Μουνιχίας Ἀρτέμιδος ἱερόν· ἄρκτου δὲ γενομένης*

55 *Ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις: βαρβάρων τινῶν στρατευομένων ἐπὶ Δελφοὺς ἐρωτώμενος ὁ θεὸς ταῦτα ἔφη. Ὕστερον δὲ ἐφάνη μετὰ Ἀθηνᾶς καὶ Ἀρτέμιδος, ὧν καὶ ἱερὰ ἐστὶν ἐν Δελφοῖς, προσιόντων ὑπαντῶν τοῖς πολεμίοις.*

---

4. *ὧν καὶ κτλ.*] V om. C: *τῶν Δελφῶν φοβουμένων Ἰάσωνα* [sic] *τὸν Θετταλῆς τύραννον μετὰ τὴν ἐν Λεύκτροις μάχην, μηπότε τὸ ἱερὸν ἐλθὼν διαρπάσῃ, καὶ πυνθανομένων τοῦ Ἀπόλλωνος, εἰπεῖν ἐμοὶ μ. τ. κ. λ. κ., κόρας ἴσως λέγων Ἀθηνᾶν καὶ Ἄρτεμιν*: Bibl. Coisl. 609: Xenoph. Hist. Gr. VI, 4, 30: *διενοεῖτο* [*Ἰάσων*] *γάρ, ὡς ἔφασαν, καὶ τὴν πανήγυριν τῷ θεῷ καὶ τοὺς ἀγῶνας αὐτὸς διατιθέναι· περὶ μέντοι τῶν ἱερῶν χρημάτων ὅπως μὲν διενοεῖτο, ἔτι καὶ νῦν ἄδηλον. λέγεται γάρ, ἐπιρομένων τῶν Δελφῶν, τί χρὴ ποιεῖν, ἐὰν λαμβάνῃ τῶν τοῦ θεοῦ χρημάτων, ἀποκρίνασθαι τὸν θεόν, ὅτι αὐτῷ μελήσει*: quamquam igitur de hoc Iasonis consilio non certo constat, hoc tamen constat, haud injuria ab eo tale facinus Graecos timuisse: v. Xenoph. Hist Gr. VI, 1, 12. Polyaen. VI, 1. coll. Wachsmuthio Antt. Graecc. I, 2, 327. Saepius igitur, ni fallor, hoc versu oraculum usum est: etiam Aristidi rhetori a Deo auxilium petenti, ut Oratt. Sacr. IV, 602 Cant., 338 Jebb. refert, his verbis oraculum respondit. *προσιόντων* Suid. om. 5. *ἀπαντῶν* Suidas.

ἐν αὐτῷ καὶ ὑπὸ Ἀθηναίων ἀναιρεθείσης, λοιμὸς ἐπεγίνετο, οὗ ἀπαλλαγὴν ὁ θεὸς ἐχρησμῴδησεν, εἴ τις τὴν θυγατέρα θύσει τῇ Ἀρτέμιδι, Βάρος [hinc nata est glossa Suidae: *Βάρος, ὄνομα κύριον κτλ.*, de qua non recte Bernhardius ad Suid. s. *Ἔμβαρος* judicavit.] *δὲ ἦ Ἔμβαρος ὑποσχόμενος οὕτω ποιήσειν ἐπὶ τῷ τὴν ἱερωσύνην τὸ γένος αὐτοῦ διὰ βίου ἔχειν, διακοσμήσας τὴν θυγατέρα, αὐτὴν μὲν ἀπέκρυψεν ἐν τῷ ἀδύτῳ, αἶγα δὲ ἐσθῆτι κοσμήσας ὡς τὴν θυγατέρα ἔθυσεν· ὅθεν εἰς παροιμίαν, φησὶ, περιέστη, Ἔμβαρος εἶ* [*Ἔμβαρός τις οὗτοσί* cod. 177 Suid.], *τοιτέστι νοσηλεύτης, φρόνιμος*: Hesych. Suid. Zonar. 697: Erasmus III, 10, 81: »*Fit et hujus mentio in Plutarchi Collectaneis.*« Usurpavit Menander Phasmate, ut refert Hesychius: v. Meinekii Menand. p. 175. Dicebatur etiam *οὐκ Ἔμβαρος εἶ*: v. Hesych. s. *οὐκ ἐμβαρεῖ* ibiq. interpp. Narratio spectat cultum Dianae humanis gaudentis victimis: cf. O Muellerus Dorr. I, 380. Boeckhius Corp. Inscr. II, 89.

55. V. I, 62. B. 361. C. 180. Cic. Divin. I, 37, 81: *quod contigisse Brenno dicitur ejusque Gallicis copiis, quum fano Apollinis Delphici nefarium bellum intulisset: tum enim ferunt ex oraculo effatam esse Pythiam, Ego providebo rem istam et albae virgines. Ex quo factum, ut et viderentur virgines ferre arma contra et nive Gallorum obrueretur exercitus*: Diod. Excerptt. Vat. p. 47 Mai., Pausan. X, 23 init. Tzetz., Chil. XI, hist. 372. Justin. Hist. XXIV, 8: Suidas: Erasmus III. 10, 83: »*Refertur in Plutarchi Collectaneis.*« Similiter Hom. Il. *E*, 430: *ταῦτα δ' Ἄρηϊ θοῷ καὶ Ἀθήνῃ πάντα μελήσει. λευκαῖς*] epitheton obscurum: Diodor. l. c.: *ὄντων δὲ ἐν τῷ τεμένει δυεῖν νεῶν παντελῶς ἀρχαίων Ἀθηνᾶς προναίου καὶ Ἀρτέμιδος, ταύτας τὰς θεοὺς ὑπέλαβον εἶναι τὰς διὰ τοῦ χρησμοῦ προσαγορευομένας λευκὰς κόρας*, de quo loco vide quae disputavit C. O. Muellerus in Erschii et Gruberi Encyclop. s. v. Pallas p. 101. Certa igitur ratione ne veteres quidem expedire poterant. Dissimile est *Λευκὸς Ἑρμῆς* Macar. 340,

56 *Ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί*: ὅτι οὐ δεῖ περὶ τῶν μελλόντων φροντίζειν ἢ δεδιέναι.

57 *Ἐν ἀνθ' ἑνός*: ἐπὶ τῶν ποιούντων κακῶς ἀνθ' ὧν ἔπαθον.

58 *Ἐν ἀοῖ τὰ σπουδαῖα*: ἐπὶ τῶν προδιαφθειρομένων διὰ τὸ ῥᾳθύμως ἔχειν πρὸς τὰς πράξεις. Λακεδαιμονίων γὰρ τὰς Θήβας φρουρᾷ κατασχόντων, καί τινος πρὸς Ἀρχίαν κομίσαντος ἐπιστολὴν τινὸς μηνύουσαν ἐπιβουλήν, ὑπερθέσθαι φασὶν τὴν ἐπιστολὴν ἀναγνῶναι, νυκτὸς οὔσης· καὶ εἰπεῖν, *Ἐν ἀοῖ τὰ σπουδαῖα*, ἀντὶ τοῦ εἰς ἡμέραν περὶ τῶν σπουδαίων διαληπτέον. Νυκτὸς δὲ τῆς ἐπιβουλῆς τελεσθείσης, αὐτὸν ἀναιρεθῆναι.

59 *Ἔνθα ἂν οἱ πόδες φέρωσιν, ἐκεῖσ' ἄπιμεν*: ἐπὶ τῶν ἀπεγνωκότων καὶ ὡς ἔτυχε τὶ ποιούντων.

---

1. Stobaeus addit: *οὐθὲν μέλει μοι· τἀμὰ γὰρ καλῶς ἔχει.* 5. Plut. de Socr. Gen.: *τὰ σπουδαῖα τοίνυν εἰς αὔριον*: Sympos.: *εἰς ἕω τὰ σπουδαῖα.*

quum dicatur *ἐπὶ τῶν ἄδικα μηχανωμένων καὶ λανθάνειν μὴ δυναμένων*. De narratione v. Droysenius histor. Gr. I, 658 et qui eam e Timaeo manasse conjecit Schmidtius de fontibus veterum auctorum in enarrandis expedit. a Gallis susceptis p. 45 sq.

56. C. 181. Stob. Eclog. II, c. 7 p. 252 sq. Heeren. Dio Cass. LVIII, 23 de Tiberio: *λίγεται γοῦν πολλάκις ἀναφθέγξασθαι τοῦτο δὴ τὸ ἀρχαῖον, Ἐμοῦ κτλ.*: Sueton. Ner. 38: *Sed nec populo aut moenibus patriae pepercit. Dicente quodam in sermone communi, Ἐμοῦ κτλ., immo, inquit, ἐμοῦ ζῶντος. Planeque ita fecit*: alludunt Cic. Fin. Bon. et M. III, 19, 64. Senec. de Clement. II, 2. Versum Sisyphi vel Bellerophontis Euripidei esse sine causa suspicabantur Fabricius ad Suet. l. c., Reimarus ad D. Cass., alii.

57. C. 183. Macar. 233. Usurpat Eurip. Orest. 651: *ἓν μὲν τόδ' ἡμῖν ἀνθ' ἑνὸς δοῦναί σε χρή*. Discernendus ab hoc formulae usu is, quo, ut *ἓν ἑνί*, *ἓν πρὸς ἕν*, idem valet quod *omnium maxime*: cf. C. Fr. Hermannus ad Lucian. q. hist. conscr. op. §. 2. init.

58. C. 182. Plutarch. V. Pelopid. 10: *ἐκέ τις ἐξ Ἀθηνῶν παρ' Ἀρχίου τοῦ ἱεροφαντου πρὸς Ἀρχίαν τὸν ὁμώνυμον, ξένον ὄντα καὶ φίλον, ἐπιστολὴν κομίζων, οὐ κενὴν ἔχουσαν οὐδὲ πεπλασμένην ὑπόνοιαν, ἀλλὰ σαφῶς ἅπαστα περὶ τῶν πρασσομένων φάσκουσαν, ὡς ὕστερον ἐπεγνώσθη. Τότε δὲ μεθύοντι τῷ Ἀρχίᾳ προσαχθεὶς ὁ γραμματοφόρος καὶ τὴν ἐπιστολὴν ἐπιδοὺς »Ὁ ταύτην,« ἔφη, »πέμψας ἐκέλευσεν εὐθὺς ἀναγνῶναι· περὶ σπουδαίων γάρ τινων γεγράφθαι.« Καὶ ὁ Ἀρχίας μειδιάσας »Οὐκοῦν εἰς αὔριον,« ἔφη, »τὰ σπουδαῖα.« καὶ τὴν ἐπιστολὴν δεξάμενος ὑπὸ τὸ προσκεφάλαιον ὑπέθηκεν, αὐτὸς δὲ πάλιν τῷ Φυλλίδᾳ περὶ ὧν ἐτύγχανον διαλεγόμενοι προσεῖχεν. Ὁ μὲν οὖν λόγος οὗτος ἐν παροιμίας τάξει περιφερόμενος μέχρι νῦν διασώζεται παρὰ τοῖς Ἕλλησι*: add. id. de Socrat. Genio p. 596 D., Sympos. 619 C: add. Cornel. Nep. Pelop. 3 ibiq. intt. Plaut. Poenul. II, 1, 51: *res serias Omnes extollo ex hoc die in alium diem.*

59. C. 186. Usurpant Lucia-

60 Ἐν Καρὸς μοίρᾳ: ἤγουν ἐν δούλου τάξει. Κᾶρες δὲ ἔθνος εὐτελές, αἰχμαλωτιζόμενον ἀεὶ καὶ δουλούμενον, ἐξ οὗ καὶ οἱ δοῦλοι Κᾶρες ἐλέγοντο.

61 Ἐν Κέῳ τίς ἡμέρα: ἐπὶ τῶν ἀγνώστων. Οὐδεὶς γὰρ οἶδεν ἐν Κέῳ τίς ἡ ἡμέρα, ὅτι οὐχ ἑστᾶσιν αἱ ἡμέραι, ἀλλ' ὡς ἕκαστοι θέλουσιν, ἄγουσιν. Ὅθεν λέγεται, Σαυτῷ νουμηνίαν κηρύσσεις.

62 Ἓν κηρίον: ἐπὶ πολλῶν ὁμοφωνούντων.

63 Ἐν λευκώμασιν ἐγράφης: ἔθος ἦν τὰ πιπρασκόμενα χωρία ἢ σώματα δημοσίᾳ ἐγγράφεσθαι ἐν σανίσι λευκαῖς ἢ πυξίναις κεχρισμέναις λευκῇ γῇ καὶ τὰ ὀνόματα

---

1. Ἐν Καρὸς αἴσῃ Argum. ad Arist. Plutum, cum nostro in explicatione consentiens: Hesych.: ἐν Καρὸς αἴσῃ: ἐν θανατηφόρῳ μοίρᾳ· Κῆρες γὰρ αἱ θανατηφόροι μοῖραι, Aristarchi et τῶν ἀκριβιστάτων rationem ille secutus. 6. ἄγουσιν Gaisfordus uncis inclusit: quum V om., adjecit verbum V. D. sine dubio ex Hesychio. 7. σαυτῷ] σατωνουμηνίαν V, σάτῳ νουμ B: correxit ex Hesychio Schottus. 8. Addit Suidas: ἢ στασιαστῶν ἢ συνωμοτῶν. 9. ἐγράφης Hesychio deest. ἔθος . . χωρία] ita edidit Gaisfordus, . . χειρώμενα χωρία Schottus. 11. πυξίνοις Gaisfordus. γῇ καὶ] copulam

nus Hermot. §. 28: οὐδὲ τοῦτο δὴ τὸ τοῦ λόγου ποιήσομεν, ἵνθα ἂν ἡμᾶς οἱ πόδες φέρωσιν, ἐκεῖσε ἅπιμεν, alii, quos indicant Mitscherlichius ad Horat. Carm. III, 11, 49. interpp. ad Virg. Bucol. IX, 1.

60. C. 187. Schol. Aristid. p. 81 Frommel., Auctor Argum. ad Aristoph Plut. c. fin. Ortum est proverbium ex Hom. Il. *I*, 378: ἐχθρὰ δέ μοι τοῦ δῶρα, τίω δέ μιν ἐν καρὸς αἴσῃ, ubi Eustathius 757, 18: τὸ δὲ, τίω δέ μ. ἐν Κ. α., ὡς Ἀμερίας καὶ Νεοπτόλεμος οἱ γλωσσογράφοι φασὶν, ἀντὶ τοῦ ἐν μισθοφόρου τίθεμαι τάξει καὶ ἴσον αὐτὸν ἔχω Καρὶ ἀνδρί: alii aliter: v. Eustath. et Scholia Ven. ad Hom. l. c, Schol. Plat. 322 Bekk., Etym. M. 492, 4. Zonar. 728. Hemsterhusius ad Arist. Plut. p. 7. Spitznerus ad Hom. l. cit. Scriptoris locum, in quo nostrum usurpatur, grammaticus a Prellero in Zimmermanni Diario phil. 1839. Nr. 53 editus p. 421 affert: οὐκ ἐν Καρῶν σχήματι καὶ μοίρᾳ θρέψειν αὐτοὺς ὑπελάμβανεν: qui locus et ipse documento est, voce μοῖρα hic i. q. τάξις, conditio, significari: cf. Demosth. c. Aristocr. 639, 25: τὸν ἄγοντα ἢ φέροντα βίᾳ τἀμὰ ἐν πολεμίου μοίρᾳ μὴ ἐξεῖναι ἐμοὶ ἀμύνεσθαι. Simile est, quod affert Suidas: ἐν Καρὸς εἵπετο τάξει: Aristid. ὑπὲρ τ. τετ. 414 Cant.: ἃ δ' εὖ φρονοῦντες ἔπραττον ἐν οὐδενὸς μοίρᾳ θήσομεν: add. ad Zenob. II, 4. III, 59.

61. V. I, 66. B. 365. Hesychius. Usurpat Crates apud Athen. III, 117 C, de quo cf. Fritzschius ad Arist. Thesm. p. 622 sq.

62. K. III, 10. Suidas.

63. V. I, 80. B. 399. Hesychius. Suidas: Λεύκωμα: τοῖχος γύψῳ ἀλειμμένος, πρὸς γραφὴν πολιτικῶν πραγμάτων ἐπιτήδειος: Demosth. Timocrat. 707, 11: ὁ δὲ τιθεὶς τὸν καινὸν νόμον, ἀναγράψας εἰς λεύκωμα, ἐκτιθέτω πρόσθε τῶν ἐπωνύμων ὀσημέραι, ἕως ἂν ἐκκλησία γένηται: cf.

καὶ τῶν κτημάτων καὶ τῶν ἀνδραπόδων καὶ τῶν πριαμένων αὐτὰ, ἵνα εἴ τις αἰτιάσασθαι βουληθείη ἐπ' ἀδείας ἔχῃ ἐντυχὼν τῷ λευκώματι.

64 Ἐν μύρτου κλαδὶ τὸ ξίφος κρατήσω: διὰ τὸ ἀνύποπτον καὶ ἐ τοῦ ὀμνύειν. Ἁρμόδιος γὰρ καὶ Ἀριστογείτων κτεῖναι θέλοντες Ἵππαρχον τὸν τύραννον, ἐν μύρτοις τὸ ξίφος ῥίψαντες, τὸν φόνον εἰργάσαντο.

65 Ἐν παντὶ μύθῳ καὶ τὸ Πέρδικος σκέλος: ἐπὶ τῶν κατὰ ἀπορίαν λόγου παρελκούσῃ χρωμένων τῇ προσθήκῃ. Πέρδιξ γὰρ ἦν τις Ἀθήνησι χωλὸς κάπηλος, οὗ διαβεβοημένου Ἡγήμων ὁ Θάσιος ὁπότε παρῳδῶν ἀπορήσειε, προσετίθει, Καὶ τὸ Πέρδικος σκέλος.

66 Ἐν Πυθίῳ κρεῖττον ἦν ἀποπατῆσαι: Πεισίστρατος ᾠκοδόμει τὸν ἐν Πυθίῳ ναόν: τῶν δὲ Ἀθηναίων παριόντων καὶ μισούντων αὐτὸν ἐπὶ τῇ τῆς δεκάτης εἰσφορᾷ, (εἰσέφερον γὰρ ἅπαντες δεκάτην τῶν ἐν τῇ χώρᾳ γινομένων,) οὐδὲν ἐχόντων ποιεῖν, ἐνίους προσουρεῖν καὶ πλησίον ἀφοδεύειν τοῦ περιφράγματος, ὥστε διοχλεῖσθαι τοὺς ἐργαζομένους. Ἔγραψε γοῦν ὁ Πεισίστρατος, ὡς ἐάν τις ἀλῷ θακεύων ἐν τῷ τεμένει τοῦ Ἀπόλλωνος ἑαυτὸν αἰτιάσεται. Τῶν δὲ οὐ παυομένων ἀλλὰ καὶ καταγελώντων τοῦ πράγματος καὶ πλειόνων ταῦτα ποιούντων, φύλακας κατέστησε. Ληφθέντος δέ τινος οὐ τῶν πολιτῶν ἀλλὰ τῶν μετοίκων ἐκέλευσε δήσαντας αὐτὸν μα-

---

Hemsterhusius ad Poll X, 59 et Gaisfordus inseruerunt. ἐντυχὼν V om. 4. κλαδὶ] κλωνὶ Apost. Arsenius. διὰ κτλ.] Apostolius, Arsenius: ἐπὶ τῶν ποιουμένων σύνθημά τι κατά τινος. κρατήσω] φορήσω Arist., Athen XV, 695 A, Suid. s. ἀγοράσω, s. φορήσω: κρατήσω paroemiographi. 5. καὶ τοῦ ὀμνύειν] his substituendum videtur: ἐπὶ τοῦ φονεύειν. 7. ῥίψαντας] H. Wolphius apud Pantinum ad Apostol. p. 310, Meursius Pisistrat. c. 13, Portus ad Suid. s. ἐν μύρτου reponi censebant κρύψαντες. Etiam Apostolius cum filio ῥίψαντες. Ceterum ad nostrum proverbium haec Hesychii glossa pertinere videtur: ἐν μύρτου κλάδῳ: ἐν μυρσίνης κλάδοις. 10. C. Ἀθήνησι. 11. C Ἡγιμὼν 19. ἔγραψεν οὖν V. 21. καὶ V om.

Meieri et Schoemanni librum *Attischer Process*, p. 605.

64. C. 188. Apost. VIII, 35. Arsen. 230: Suid. s. ἐν μύρτου. Est versus e Callistrati scolio desumptus: v. Schneidewini Delect. p. 456. Alludit Aristoph. Lysistr. 632.

65. C. 189. De Perdice cf. Plut. Provv. II, 24: de proverbii forma Zenob. IV, 6.

66. V. I, 82. B. 407. C. 190. Apost. VIII, 25. Arsen. 229: Hesych. Suidas. Πυθίῳ] Suid.

στιγοῦν, κηρύσσοντας, Ἀποθανεῖται ὃς κατολιγωρεῖ τοῦ γράμματος. Τοὺς γοῦν κακοπαθοῦντας διά τινα πλημμέλειαν ἔλεγον οἱ Ἀθηναῖοι, Κρεῖττον ἦν αὐτοῖς ἐν τῷ Πυθίῳ ἀποπατῆσαι.

67 *Ἐξ ἀξίου τοῦ ξύλου κἂν ἀπάγξασθαι: δεῖ ἐκ καλοῦ παθεῖν τὰ δεινά, ἢ ἐκ κακοῦ.*

68 *Ἐξ ἑνὸς πηλοῦ: ἐκ τοῦ ὁμοίου καὶ παραπλησίου, ὁμοία τῇ, Ἐκ τῆς αὐτῆς κεραμίας.*

69 *Ἐξ ἑνὸς τὰ πάνθ' ὁρᾶν: ἐπὶ τῶν ἐξ ἑνὸς πολλὰ καταλαμβανόντων.*

---

1. *κατολιγωρεῖ*] *κατηγορεῖ* V: plenius Suidas hanc *ἰδέαν* affert: *Ὅδ' ἀνὴρ κολασθεὶς ἀποθανεῖται, ὅτι ὀλιγωρεῖ τοῦ γράμματος.* 2. *Ταῖς γοῦν κακοπαθοῦσι* V, *τοὺς γοῦν κ.* Gaisfordus. *πλημμελίαν* V. Aliter C: *ἐν Πυθίῳ χέσαι* [Apostolius et Arsenius: *ἐν Πυθίου σχίσαι*] *ἢ ἐν Πυθίῳ ἀποπάτῆσαι: Πεισίστρατος τὸν ἐν Πυθίῳ* [sic] *ναὸν οἰκοδομῶν, τῶν μισούντων αὐτὸν διὰ τὴν τυραννίδα προσαποπατούντων ἐκεῖ καὶ προσουρούντων, προσέγραψε λέγων· ἑαυτὸν αἰτιάσεται ὁ ὅτι προσασχημονήσας: καταφρονουμένου δὲ τοῦ γράμματος, καταλαβὼν μέτοικον ἐπὶ πολλὰς ἡμέρας μαστιγώσας πρὸ τοῦ τειμένους ἀνεῖλεν. Ἐλήφθη δὲ ἡ παροιμία ἐπὶ τῶν τιμωρίας μεγάλας ὑφεσταμένων καὶ κακοπαθούντων*: Suidas: *καταφρονούντων γάρ τινων Ἀπόλλωνος καὶ ἐν τῷ τιμένει αὐτοῦ ἀποπατούντων* [impietatis summae hoc erat: v. Aristoph. Av. 1050. Ran. 359. Meieri et Schoemanni librum *Attischer Process* p. 300.], *Πεισίστρατος ἔγραψε νόμον, τὸν ἁλόντα ἐπὶ τοιτῳ θνήσκειν. Καταγιλώντων δὲ κτλ.* 5. Post *δεῖ* inserendum videtur *μᾶλλον*. 8. *κεραμίας* Apostolius: v. Heindorfius ad Plat. Gorg. 514 E: totum sic effert Macarius: *τῆς αὐτῆς κεραμίας: ἐπὶ τοῦ ὁμοίου καὶ παραπλησίου.* 9. *τὰ* Apost. Arsenius om. *ὁρᾷ* Suidas, qui explicat: *ἐπὶ τῶν παρορώντων.*

s. *Πύθιον: ἱερὸν Ἀπόλλωνος Ἀθήνησι, ὑπὸ Πεισιστράτου γεγονὸς, εἰς ὃ τοὺς τρίποδας ἐτίθεσαν οἱ τῷ κυκλίῳ χορῷ νικήσαντες τὰ Θαργήλια*: cf. Schoemannus ad Isaei Orr. p. 311. Leake Topograph. Athen. 210 ed. germ.

67. C. 193. Apost. III, 77. Arsen. 67. 235: Eustath. ad Hom. Il. *Λ*, 836, 25: *σημαίνει δέ ποτε ἡ λέξις* [*ἄξιος*] *καὶ τιμιότητα . . . τοιοῦτον δέ τι καὶ τὸ τῆς παροιμίας τὸ ἐξ ἀξίου ξύλου καὶ ἀπάγξασθαι*: Schol. ad Arist. Ran. 749: *ἐπὶ τῶν ἐθιλόντων σιμνῶς δυστυχεῖν*: Suid. s. *ἄξιον*, s. *ἀπὸ καλοῦ ξύλου κ. ἀπ.* Usurpavit Aristoph. l. c.: *κἄν τι σφαλῇτ', ἐξ ἀξίου γοῦν τοῦ ξύλου, Ἤν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε*, ubi Scholia: *θέλει οὖν λέγειν, ὅτι βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις ἢ τοῖς φαύλοις· κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπ' ἀγαθοῦ ἢ φαύλου πάσχειν*: quae exscripsit Suidas. Alludit Aristid. Oratt. p. 510 [286], 22: *ἀλλ' οὐκ τό γε τῆς παροιμίας ἐξ ἀξίου τοῦ ξύλου καὶ πάσχειν ὑπῆρχεν, εἴ τῳ συμβαίνοι.*

68. C. 195. Macar. 236. *ἐκ τῆς κτλ.*] Apost. XVIII, 49. Macar. 446. Usurpat Gregorius Palama ab Erasmo allatus: *ἀδελφά φασι καὶ ὁμόχρωμα καὶ τῆς αὐτῆς κεραμίας.* Cf. Zenob. III, 62.

69. C. 194. Apost. VIII, 58.

70 Ἐξηκεστίδης εἰς ὁδόν: παροιμία. Οὗτος εὐμήχανος ὁδοὺς ἐφευρίσκειν καὶ μὴ πλανᾶσθαι ὁδοιπορῶν, ὅθεν ἡ παροιμία ἐπὶ τῶν τὰς ὁδοὺς ἀκριβῶς εἰδότων.

71 Ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον: ὅταν τὸ σωζόμενον ὑπὸ τοῦ σώζοντος ἐξαπατηθῇ.

72 Ἔξω γλαῦκες: παροιμία ἐπὶ ἐαρινοῦ καιροῦ· οἱ γὰρ γλαῦκες χειμῶνα σημαίνουσιν οἱ θαλάττιοι.

73 Ἔοικα βοῦς ἐπὶ σφαγὴν μολεῖν.

74 Ἔοικασι τοῖς ἐκ Πύλου ληφθεῖσι τοῖς Λα-

---

4. χάραξ τὴν ἄμπελον Zenobius. Singulari modo Suidas: Ἡ χάραξ τὴν ἄμπελον: ἐπὶ τῶν ὑπὸ χεῖρα: sed vid. Kusterum. 6. Incorrupta forma proverbii est Ἔξω γλαῦκε: cf. Hesych.: ἔξω γλαῦκα male Bekk. Anecdota. In Suida explicationis loco nunc leguntur haec: χειμῶνα γὰρ σημαίνει ὁ θαλάττιος. 7. γλαῦκες] debebat γλαῦκοι.

Arsen. 234. Suidas. Virg. Aen. II, 65: *Accipe nunc Danaum insidias et crimine ab uno Disce omnis:* Terent. Phorm. II, 1, 35: *Unum cum noris, omnes noris.*

70. C. 196. Suid. s. Ἐξηκεστίδης: ... ἐπὶ τῶν ἀμηχάνων. τοῦτον γὰρ ὡς ξένον διαβάλλουσι καὶ πλάνον· οἱ δὲ ξένοι μᾶλλον ἴσασι τὰς ὁδούς· ἐξαπορήσαντες οὖν τῆς ὁδοῦ καὶ ἀποπλανηθέντες εἶπον· Οὐδ' ἂν Ἐξηκεστίδης εὕροι τὴν εὐθεῖαν ὁδόν [hoc Apostol. XIV, 94. Arsen. 390 afferunt.]· εἴρηται οὖν ἐπὶ τῶν ὁδοῦ ἀποπλανηθέντων, cui explicationi praefigendum est ni fallor ex Apostolio VIII, 66 et Arsenio 235: Ἐξηκεστίδης ἐγένου. Ceterum orta haec videntur ex Aristoph. Av. 10: Ἐ.: ἐντεῦθενὶ τὴν πατρίδ' ἂν ἐξεύροις σύ που; Π.: οὐδ' ἂν μὰ Δία γ' ἐντεῦθεν Ἐξηκεστίδης, ubi sine dubio olim in Scholiis etiam ea legebantur, quae e Suida apposui. De Execestida cf. Schol. ad Arist. l. c., Bergkius Commentt. de Rell. Com. Ant. Att. 373.

71. V. I, 100. B. 455. Apost. XX, 54. Macar. 236: Suidas: v. Zenob. VI, 40.

72. C. 198. Suidas. Explicatio plane falsa: nata est ex male intellecto v. χειμών, quod h. l. non anni partem significat, sed procellam. Recte omnino Hesychius: τοὺς χειμαζομένους ἐν θαλάσσῃ φασὶ λέγειν· παροιμιῶδες δέ· ἐπεὶ δοκεῖ ὁ γλαῦκος φανεὶς χειμῶνα σημαίνειν: add. Bekk. Anecdd. I, 97, 21. Quaeritur nunc, quis sit ille γλαῦκος. Et Apostolius quidem VIII, 69, cui Arsen. 236. Is. Vossius ad Hesych. l. c. adstipulantur, balaenam, Bernhardius vero ad Suid. Glaucum, Deum marinum, intelligit. Causa cur ego in Apostolii explicatione acquiescendum statuam, inest in loco e Nausicratis Ναυκλήρῳ ab Athen. VII, 296 A. allato: τοῦ ναυτίλοισι πολλάκις Ἤδη φανέντος πελαγίοις ἐν ἀγκάλαις, Ὃν καὶ τὰ θνητῶν φασιν ἀγγέλλειν πάθη. Β. γλαῦκον λέγεις. Α. ἔγνωκας: add. Eustath. ad Hom. Il. 369, 20: λέγεται δὲ καὶ ἰχθὺς γλαῦκος λόγου ἄξιος. De pisce egit Schneiderus Hist. Pisc. 68.

73. C. 200. Apost. VIII, 70. Arsen. 236. Hesych. s. *Βοῦς ἐπὶ δεσμά*, Suidas.

74. C. 201. Schol. ad Arist.

κωνικοῖς: παροιμία ἐπὶ τῶν ὠχριώντων καὶ ἰσχνῶν. Πύλος δὲ χωρίον τῆς Λακωνικῆς, ἔνθα Κλέων στρατηγήσας τοὺς αἰχμαλώτους ἀπὸ Σφακτηρίας ἔλαβεν, οἱ ἀπὸ τοῦ τῆς αἰχμαλωσίας φόβου καὶ τῆς πολυημέρου πολιορκίας καὶ τῆς τῶν ἐπιτηδείων πρὸς τροφὴν στερήσεως ἰσχνοὶ καὶ ὠχροὶ ἦσαν καὶ δυσειδεῖς.

75 *Ἔοικα τῷ τοὺς ἄλας καὶ τὸ ἕλος πριαμένῳ: ἐπὶ τῶν ἀμηχέπη δυοῖν ὄντοιν διὰ θατέρου βλαπτομένων. Ἀντίκεινται γὰρ ἀλλήλοις τὰ κτήματα, καὶ οὐδενὶ τῶν κεκτημένων λυσιτελεῖ ἑκάτερον· εἰ μὲν γάρ τις καρποῖτο ἐκ τοῦ ἕλους, οἱ ἅλες διατήκοιντο· εἰ δὲ ἐμπαλιν ἡλίῳ ὁ τόπος ἐκδιδοῖτο, ἐκ μὲν τῶν ἁλῶν πολὺ ἂν καρποῖτο, ἐκ δὲ θατέρου βλάπτοιτο τοῦ ἕλους αὐαινομένου.*

76 *Ἑορτὴ πολλὰ ἔχουσα: ἐπὶ τῶν πολλὰ ἀνατιθεμένων φορτία. Ἐπειδὴ οἱ πρὸς τὰς ἑορτὰς ἐπειγόμενοι φορτία πολλὰ ἐπιφέρονται.*

77 *Ἑορτὴ πόδας ἔχουσα: ἐπὶ τῶν ἅπαντα πρὸς τὴν ἑορτὴν ἀχθοφορούντων· ἵνα γὰρ μηδενὸς, φησὶν, ὑστερῶσιν ἅμασις[1], σκεύη, ἱερὰ, ἱμάτια, οἶνον, ἄρτους, ξύλα παρυρτώμενοι ἐβάδιζον, ὥστε τοὺς βλέποντας ἐπιφωνεῖν, Ἑορτὴ πόδας ἔχουσα.*

78 *Ἐπ' ἀμφότερα καθεύδει τὰ ὦτα: ἐπὶ τῶν ἔξω φροντίδος.*

---

7. In Aristotelis loco libri variant inter ἕλος, ἕλκος et ἔλαιαν: hinc Erasmus III, 6, 25 τοὔλαιον καὶ ἅλας πρίασθαι. 12. ἐκδιδοῖτο] Gaisfordus ἐκδίδοτο. 15. ἐπειγόμενοι] V ἐπαγόμενοι. 17. πόδας] huic voci male scriptae proverbium antecedens originem videtur debere. 18. φησὶν] Gaisfordus φη: eodem compendio scriba usus est infra III, 2. 19. ἅμασις] vox corrupta: fortasse ἅλας. 22. καθεύ-

Nub. 185. Suid. Zonar. p. 786. Adhibet Arist. l. c. De re cf. Thucyd. IV, 15 sqq.

75. C. 202. Aristot. Rhet. II, 23, p. 102, 14 ed. min., p. 1399 ed. maj. Bekk.: *οἷον ἱέρεια οὐκ εἶα τὸν υἱὸν δημηγορεῖν· ἐὰν μὲν γάρ, ἔφη, τὰ δίκαια λέγῃς, οἱ ἄνθρωποί σε μισήσουσιν, ἐὰν δὲ τὰ ἄδικα, οἱ θεοί. δεῖ μὲν οὖν δημηγορεῖν· ἐὰν μὲν γὰρ τὰ δίκαια λέγῃς, οἱ θεοί σε φιλήσουσιν, ἐὰν δὲ τὰ ἄδικα, οἱ ἄνθρωποι· τοῦτο δ' ἐστὶ ταὐτὸ τῷ λεγομένῳ τὸ ἕλος πρίασθαι καὶ τοὺς ἅλας· καὶ ἡ βλαίσωσις τοῦτ' ἐστὶν, ὅταν δυοῖν ἐναντίοιν ἑκατέρῳ ἀγαθὸν καὶ κακὸν ἕπηται, ἐναντία ἑκάτερα ἑκατέροις*: ad quem locum Victorius Comment. p. 492: *quae afferuntur ab interprete Graeco pro hujus proverbii explicatione, ficta et commenticia puto.*

76. V. I, 63. B. 362. Suid. Zonar. 786: »exstat in Plutarchi Collectaneis«: Erasmus III, 10, 83.

77. C. 204.

78. C. 205. Apost. VIII, 86. Arsen. 239. Poll. II, 84: *Αἰσχίνης δὲ ὁ Σωκρατικὸς καὶ ἐπ'*

79 Ἔπεσθε μητρὶ χοίροι: ἐπὶ τῶν κολακευτικῶς τισιν ἑπομένων τροφῆς ἕνεκα.

80 Ἐπὶ βύρσης ἐκαθέζετο: τοῦτο παρὰ Σκύθαις ἐτελεῖτο· ἐπειδὰν γὰρ ἠδικεῖτό τις πρὸς ἑτέρου, ἀμύνασθαι βουλόμενος, οὐκ ἀξιόμαχον μόνον ἑαυτὸν ᾤετο, ὅθεν καὶ βοῦν ἱερεύσας τὰ μὲν κρέατα κατακόψας ἥψει, ἐκπετάσας δὲ τὴν βύρσαν χαμαὶ, ἐκάθητο ἐπ᾽ αὐτῆς εἰς τοὐπίσω παραγαγὼν τὰς χεῖρας. Καὶ τοῦτό ἐστι Σκύθαις ἡ μεγίστη ἐκτηρία. Τῶν δὲ κρεῶν τοῦ βοὸς ὁ βουλόμενος μοῖραν λαμβάνων καὶ ἐπιβαίνων τῇ βύρσῃ τὸν δεξιὸν πόδα, ὑπισχνεῖτο κατὰ δύναμιν συμμαχήσειν. Καὶ ἦν αὐτοῖς τοῦτο ὅρκων ὁ βεβαιότατος.

81 Ἐπὶ κνάφου ἕλκων: διαφθείρων. Τὸ γὰρ πρά-

δεις Apost. Arsenius, qui addunt: ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ λαγωοῦ, παρόσον ἐκεῖνος θάτερον οὖς ἔχει ἀνατεταμένον ὡς ἐγρηγορώς. Aliter expediendum, quod dixit Plinius Epist. IV, 29: *nihil est, quod in dextram aurem fiducia mei dormias: nihil cessatur:* in primo enim somno eoque, ut medici observant, profundissimo, in aurem dextram incumbimus; v. Erasmus I, 8, 20. 3. C κάθηται: in narratione C cum Suida consentit. Post lemma Apostolius, cui convenit fere cum Suida in reliquis, addit: ἐπὶ τῶν διομόνων συμμαχίας. 4. ἀμύνασθαι δὲ Suidas. 5. Post v. ἀμύνασθαι in B exstat ἑαυτὸν, quod delevi; Suidas: ἀμυν., ἑαυτὸν οὐκ ἀξιόμαχον μόνον ᾤετο. ὅθεν καὶ Suidas om., βοῦν οὖν Apostolius. 6. κρέα Suidas, Apostolius. ἥψησεν Lucianus. αὐτὸς δὲ ἐκπετάσας Suidas. 8. τὸ χεῖρε Suidas. τοῦτο ἔστι Gaisfordus. 10. τῷ δεξιῷ ποδὶ Apostolius. 11. ὑπισχνεῖται Suidas. δύναμιν ἕκαστος Suidas. 12. ἦν] ἔστιν Suidas. Addit in fine C: λέγεται γοῦν ἡ παροιμία ἐπὶ τῶν βοηθείας ἀξίων. 13. ἕλκειε C. διαφθείρων] ante h. v. τουτέστι vel simile

ἀμφότερα τὰ ὦτα καθεύδειν λέγει: Donat. ad Terent. Heaut. II, 3, 101. Liban. Epist. 1279: ἐμοὶ μὲν οὖν ἐπ᾽ ἀμφότερα καθεύδειν δέδωκάς τε καὶ δίδως καὶ δώσεις: Basil. πρὸς τοὺς νέους κτλ. p. 229 ed. Basil. 1551: ἐπ᾽ ἀμφὼ καθεύδουσι: Plaut. Pseudol. I, 1, 121: *De ista re in oculum utrumvis conquiescito. Ca. Oculum utrum? anne in aurem? Ps. at hoc pervolgatum sit minus:* cf. Meinekius ad Menand. frr. p. 143.

79. C. 206. Macar. 240. Schol. ad Arist. Plut. 314: τοῦτο δὲ παροιμιῶδες εἶναί φασιν· οἱ γὰρ παῖδες τοῦτο εἰώθασι λέγειν, ἕπεσθε μητρὶ χοίροι· παροιμιακὸν οὖν ἐστι, καὶ ἐπὶ τῶν ἀπαιδεύτων φασὶ λέγεσθαι. Est versus Aristophanis: v. Plut. l. c.

80. B. 355. C. 207. Apost. VIII, 87. Suidas. Sumpta est narratio e Lucian. Toxar. 48, quem noster ut Suidas circa finem in brevius contraxit: appono igitur haec: παρακειμένων δὲ τῶν κρεῶν τοῦ βοός, προσιόντες οἱ οἰκεῖοι καὶ τῶν ἄλλων ὁ βουλόμενος, μοῖραν ἕκαστος . . . κατὰ δύναμιν, ὁ μὲν πέντε ἱππέας παρέξειν ἀσίτους καὶ ἀμίσθους, ὁ δὲ δέκα, ὁ δὲ πλείους, ὁ δὲ ὁπλίτας ἢ πεζούς, ὁπόσους ἂν δύνηται, ὁ δὲ μόνον ἑαυτὸν, ὃ πενέστατος, ἀθροίζεται οὖν ἐπὶ τῆς βύρσης πολὺ πλῆθος ἐνίοτε καὶ τὸ τοιοῦτον σύνταγμα βεβαιότατόν τε ἔστι συμμεῖναι καὶ ἀπρόσμαχον τοῖς ἐχθροῖς, ἅτε καὶ ἔνορκον ὄν· τὸ γὰρ ἐπιβῆναι κτλ.

81. V. I, 88. B. 425. C. 208. Hesych. Suidas. De Croeso v. Herod.

τερον οἱ κναφεῖς ἀκανθῶν σωρὸν συστρέψαντες τὰ ἱμάτια ἔκναφον. Ἐλέγετο δὲ ὁ σωρὸς κνάφος· οὗ Κροῖσος τῶν ἐχθρῶν ἔξαινε τὰς σάρκας καὶ οὕτως διέφθειρεν.

82 Ἐπὶ Χαριξένης: οἱ μὲν αὐτὴν ἐπὶ μωρίᾳ διαβεβλῆσθαί φασι, ἔνιοι δὲ ποιήτριαν ἐρωτικὴν λέγουσιν. Ἔστιν οὖν παροιμιῶδες Ἐπὶ Χαριξένης.

83 Ἔπος πρὸς ἔπος ἠρειδόμεθα: τουτέστιν ἀντεβάλομεν, ἐφιλονεικοῦμεν.

84 Ἔστι καὶ δούλων πόλις: ἐπὶ τῶν πονηρῶς πολιτευομένων. Μνασέας γὰρ γράφει εἶναι δούλων πόλιν ἐν Λιβύῃ.

85 Ἔσχατος Μυσῶν πλεῖν: ἐπὶ τῶν πορρωτάτω

---

quid deesse arbitrabatur Schottus: C: ἀντὶ τοῦ διαφθείρας. In sqq. C cum Suida consentire videtur, qui sic explicat: οἱ γὰρ κναφεῖς ἀκ. σ. σ., ἱμάτιον κνάφουσιν. Ὁ δὲ σωρὸς ἐλέγετο κνάφος. 1. γναφεῖς Hesychius: v. intt. ad Thucyd. III, 58. ἱματια] addit Hesychius: ἐπὶ τοὺς σωροὺς, quod in ἐπὶ τοῦ σωροῦ recte Salmasius mutavit. 2. ἔκναπτον Hesychius, Suid. s. κνάφος, quem vide. γνάφος Hesychius. οὗ κτλ.] Hesychius: οὗ Κροῖσος τὸν ἐχθρὸν περιξαίνει ταῖς ἀκάνθαις, καὶ οὕτως ἔφθειρεν: nbi bene Hemsterhusius: »bene τὸν ἐχθρόν: alios an Croesus supplicio tam saevo concideril, haud sane scio. Unum quidem hominem inimicum, qui Pantaleonti, Alyattis itidem filio, sed alia matre nato, adversum se studuerit, testis est Herodotus I, 92. Postquam enim ex patris urbitrio regnum fuit adeptus, τὸν ἄνθρωπον τὸν ἀντιπρήσσοντα ἐπὶ κνάφου εἶλκον διέφθειρε.« 5. ἐρωτικὴν devst V. Plenius Hesychius: ἐπὶ μωρίας ἡ Χαριξένη διεβεβόητο, ἀρχαία οὖσα· Ἔνιοι δὲ καὶ ποιήτριαν αὐτὴν Ἐρωτικῶν λέγουσιν. Ἔστι δὲ καὶ παροιμία, οἷα τὰ ἐπὶ Χαριξένης

I, 92, ubi Wesselingius apposite laudat Plat. Reip. X, 616, A: τὸν δὲ Ἀρδιαῖον καὶ ἄλλους συμποδίσαντας χεῖρας . . . εἷλκον παρὰ τὴν ὁδὸν ἐκτὸς ἐπ' ἀσπαλάθων κνάμπτοντες καὶ τοῖς ἀεὶ παριοῦσι σημαίνοντες, ὧν ἕνεκά τε ταῦτα ὑπομένοιεν. De cumulis carduorum, quibus fullones utebantur, cf. Salmasius Exercc. Plin. 280.

82. V. I, 89. B. 427. Eustath. ad Hom. Il. *B*, 326, 44: ἦν δὲ ποιήτρια κρουμάτων καὶ Χαριξένη, ὅθεν παροιμία παρὰ τῷ κωμικῷ ἐν Ἐκκλησιαζούσαις. ἐπὶ Χαριξένης τάδ' ἐστίν: Etym. M. 367, 21: αὐλητρὶς ἡ Χαριξένη ἀρχαία καὶ ποιήτρια κρουμάτων, οἱ δὲ, μελοποιόν. Θεόπομπος Σειρῆσιν· Αὐλεῖ γὰρ σαπρὰ αὕτη γε κρουμάτια τὰ ἐπὶ Χαριξένης: Κράτης [scr. Κρατῖνος] Ὀδυσσεῦσιν: Οὐκ ἰδίᾳ τάδ' οἰκετόν θοι τἀπὶ Χαριξένης [v. Schleussnerus ad h. l. ap. Sturzium p. 858]. Ἀριστοφάνης κτλ. Arist Eccles. 942: οὐ γὰρ τἀπὶ Χαριξένης τάδ' ἐστίν, ubi v. Scholia, quae Suidas exscripsit.

83. C. 212. Suid. Zonar. 817. Eustath. ad Hom. Il. ψ, 1327, 14. Est Aristophanis, Nub 1375.

84. C. 214: cf. Plut. Provv. I, 22. Append. III, 91.

85. V. I, 64. B. 363. C. 215: quis explicationis ab his allatae auctor fuerit, jam Demon videtur nescivisse. Aliam narrationem proverbio Hesychius

που κατοικούντων. Τήλεφος γὰρ ἀποκτείνας τοὺς τῆς μητρὸς ἀδελφοὺς νέος ὤν, ἔφυγεν ἐκ Τεγέας, χρόνῳ δὲ ὕστερον μὴ γνωρίζων ὧν ἐστιν ἦλθεν ἐρησόμενος τὸν θεὸν τίνων εἴη γεγεννημένος. Ἡ δὲ Πυθία ἐκέλευσε πλεῖν αὐτὸν πρὸς τὸν ἔσχατον Μυσῶν, καὶ ἐλθὼν εἰς Τευθρανίαν εὗρε τὴν μητέρα, καὶ τῆς χώρας ἐβασίλευσε. Λέγοιτο οὖν ἐπὶ τῶν ὑπερηφάνως τισὶ κεχρημένων. Καὶ εἰώθασι λέγειν, ὡς ἐσχάτῳ Μυσῶν κέχρηταί μοι.

86 Εὔδουσι λαγώ: πρὸς τοὺς νωθεῖς μὲν εἶναι δοκοῦντας, τοῖς δὲ ἔργοις δραστηρίους.

87 Εὖ μέν, ἀλλ' οὐδὲν πρὸς τὴν Παρμένοντος ὕν: ἐπὶ τῶν πειρωμένων τὶ μιμεῖσθαι, οὐκ ἐφικνουμένων δέ. Παρμένων γὰρ ὁ ζωγράφος ὗν γράψας ἀνέθηκεν, ἣν καὶ φωνὴν ἀφιέναι οἱ θεώμενοι ἐδόκουν.

---

12. VB: ἔσχατος Μυσῶν: μέμνηται ταύτης Μένανδρος φασὶ [φησὶ V.] γάρ ὅτι Τήλεφος κτείνας τοὺς τῆς μητρὸς ἀδελφοὺς ἐπύθετο τῆς Πυθίας ποῖ δεῖ σταλῆναι· τὴν δὲ εἰπεῖν, πρὸς ἔσχάτην Μυσῶν. Ἐλθὼν οὖν εἰς Τευθρανίαν τῆς Μυσίας ἐσχάτην ἐβασίλευσεν. Ἀφ' οὗ ἡ παροιμία ἐπὶ τῶν δυσχερῆ [δυσχερῶς V] ἐπιτασσομένων.

admovit Demonem secutus: παροιμία, ἣν ἐξηγοῦνται οὕτως· μετὰ Τρωϊκὰ λοιμοῦ καὶ ἀκαρπίας τὴν Ἑλλάδα κατασχόντων, μαντευομένων περὶ τούτων, χρῆσαι τὴν Πυθίαν, Ἐπὶ τὸν ἔσχατον Μυσῶν πλεῖν: quam una cum narratione e V B supra apposita afferunt Apost. IX, 22. Arsen. 243. Suid. s. ἔσχατος, ex utraque unum illum sensum derivantes, quem e BVC cognovimus. Antiquiores autem posteriore narratione usi sunt ad demonstrandum eo sensu, quem C in fine, λέγοιτο οὖν κτλ., indicat, proverbium solitum esse dici: v. Demon in Scholiis ad Eur. Rhes. 214, cujus disputationem super hoc adagio in praefationem rettulimus: h. l. appono Schol. ad Plat. Theaet. p. 366 Bekk.: ἐπὶ τῶν εὐτελεστάτων· Μάγνης Ποαστρίαις· οὐκ ἔστιν οὐδείς, οὐδ' ὁ Μυσῶν ἔσχατος, καὶ Μένανδρος Ἀνδρογύνῳ [v. Meinekii Men. 23.]. Μυσῶν ἔσχατος πολίμιος: cf. Zenob. V, 15. Usurpant Plat. Theaet. 209 B, Cicer. pro Flacc. 27, 65: *quid porro in Graeco sermone tam tritum atque celebratum est, quam, si quis despicatui ducitur, ut Mysorum ultimus esse dicatur:* v. sup. II, 28. Eodem sensu, quo nostrum usurpari solet, Plutarchus dixit ὁ ἔσχατος Καρῶν, de Herodoti Malign. 671 B.

86. C. 219. Cf. Zenob. IV, 84.

87. C. 220. Plut. Sympos. V, 1 p. 674 B: ἐπεὶ τί πάσχοντες ἢ τίνος ἔξωθεν γινομένου πάθους τὴν Παρμένοντος ὗν οὕτως ἐθαύμασαν, ὥστε παροιμιώδη γενέσθαι; καίτοι φασὶ τοῦ Παρμένοντος εὐδοκιμοῦντος ἐπὶ τῇ μιμήσει, ζηλοῦντας ἑτέρους ἀντεπιδείκνυσθαι· προκατειλημμένων δὲ τῶν ἀνθρώπων καὶ λεγόντων εὖ μὲν, ἀλλ' κτλ., ἕνα λαβόντα διλφάκιον ὑπὸ μάλης, προσελθεῖν· ἐπεὶ δὲ καὶ τῆς ἀληθινῆς φωνῆς ἀκούοντες, ὑπεφθίγγοντο, Τί οὖν αὕτη πρὸς τὴν Παρμένοντος; συναφεῖναι τὸ διλφάκιον εἰς τὸ μέ-

88 *Εὐορκότερος Τενεάτου, ἢ Γενεάτου: ἐπὶ τῶν εὐορκούντων.*

89 *Εὖ εἰπεῖν θάλατταν: ἐπὶ τῶν μάτην εὐεργετούντων.*

90 *Εὖ πράττε· τὰ φίλων δ' οὐδέν, ἢν σὺ δυστυχῇς: ἐπὶ τῶν παρὰ φίλων μὴ ὠφελουμένων.*

91 *Εὐριπίδειος ὅρκος: ἴσως ὁ κατὰ κυνὸς ἢ χηνός.*

92 *Ἐφ' ὕδωρ ἕλαχεν: ἐπὶ τῶν φαύλας καὶ εὐτελεῖς ἀρχὰς λαχόντων· ἐν γὰρ τοῖς δικαστηρίοις φαυλότατον ἦν τὸ ἔργον τὸ διαμετρεῖν ὕδωρ τοῖς δικαζομένοις, ὅθεν καὶ κλήρῳ τοῦτο ἐποίουν.*

93 *Ἐχενηΐς: ἡ κρατοῦσα τὴν ναῦν ἄγκυρα. Ἔστι δὲ καὶ εἶδος ἰχθύος, ὃς δύναμιν ἔχει ἐπέχειν τὰς ναῦς. Καλεῖται δὲ καὶ ναυκράτης· ὅθεν καὶ παροιμία· ἐχενηΐδος δίκην ἔχεται, πρὸς τὸν τινὸς ἐχόμενον.*

---

1. C *Τελιάτου*, quod correxi. 3. C *εὖ πεῖν*: correxit Gaisfordus in indice. Posset etiam *ποιεῖν*. 5. *τὰ*] *τὸ* Macarius. *σὺ*] *τις* Euripides. Macarius: *τοῦτο Εὐριπίδου ἐστὶ Φοινισσῶν* 14. *ὅθεν κτλ.*] haec C solus servavit.

cor, ἐξελίγχοντα τῆς κρίσεως τὸ πρὸς δόξαν, οὐ πρὸς ἀλήθειαν. Rem tangit idem de Audiend. poet. 18 B. Quando vixerit Parmeno, nescio: possem dicere, si, quod aliquando suspicatus sum, Parmeno certa via ac ratione reduci posset in hunc Jul. Valerii de reb. gest. Alexand. locum I, 35: *tunc Parmenioni architecto laborandi scilicet simulacra cura mandatur, ut ne illis Homeri versibus demutaret, qui sic elocuntur: Caerulea hinc olli Saturnius annuit arce Aurea caesaries quae signat mentibus almis. Et Parmenio quidem jussa complet, ipse quoque non inhonoris hoc labore. Quippe templum etiam nunc Serapion Parmenionis appelatur.*

88. C. 221. Cf. Zenob. III, 96.

89. C. 222. Nam *θάλασσα κλύζει πάντα τἀνθρώπων κακά*, ἡ παροιμία φησί, proverbium, quod ex Euripide commemorat Eustath. ad Hom. Il. *A*, 108, 30.

90. C. 223. Macar. 246. Est versus Euripidis, Phoeniss. 403, ubi Scholia comparant illud, *ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι*: cf. Zenob. I, 90 ibiq. v. notas. Cum similibus dictis nostrum composuit Sext. Empir. adv Mathem, I, §. 279.

91. C. 224. Macar. 246. Hesych. s. *χῆνα ὀμνύειν*: *ἔθος ἦν τὸ κατὰ τῶν τοιούτων ὀμνύειν τοῖς παλαιοῖς*: v. Zenob. V, 81: Euripides Socraticus hoc imitatus est.

92. C. 227. Hesychius: cf. Plut. Provv. II, 17.

93. C. 228. Hesych. Suid. Zonar. 939. *ἄγκυρα*] in hanc vocis significationem Suidas citat Anthol. Palat. VI, 27, 5. *ἰχθύος*] Aelian. Nat. Anim. II, 17: *πελάγιος ἰχθὺς τὴν νῆξιν, τὴν ὄψιν μέλας, τὸ μῆκος κατὰ τὴν μεμετρημένην ἔγχελυν, λαχὼν ἐξ ὧν δρᾷ τὸ ὄνομα, θυούσῃ νηῒ καὶ μάλα γε ἐξ οὐρίας καὶ τῶν ἱστίων κεκολπωμένων προσφθαρεὶς, καὶ τῆς πρύμνης τὸ ἄκρον δακών, ὥσπερ οὖν ἵππον*

91 *Ἐχθρὸς δὲ κἂν καλὰ ποιήσῃ, κακά ἐστιν.*

93 *Ἔχινος ἐν χειμῶνι: ἐπὶ τῶν παρ' ὥραν φαινομένων ἢ πραττομένων.*

96 *Ἔχω τὸ σχῆμα τοῦ τεθνεῶτος: ἐπὶ τῶν ἑαυτοὺς ἀπεγνωκότων.*

97 *Ζῇ καῖε πῦρ: ἐπὶ τῶν μόλις γινομένων.*

98a *Ζήνωνος ἐγκρατέστερος: οὗτος γὰρ ἀκριβῆ εἶχε δίαιταν καὶ λιτήν. Καὶ, Ζήνωνος ὑγιέστερος: οὗτος γὰρ ὀκτὼ πρὸς τοῖς ἐννενήκοντα ἔτη βιοὺς, οὐκ ἐνόσησεν.*

---

1. Macarius: *ἐχθρὸς κἂν χρηστὰ ποιήσει, κακὰ ἐστίν.* 6. *ζῇ· καῖε π.* Suidas; *ζῇ καὶ πῦρ* V, unde Toupius ad Suid. *ζῇ κἂν πυρὶ, vivit etiam in igne*, scribendum esse conjecit. Asyndeton h. l. optime habet: v. Sophocl. fr. 181 Dind.: *ζῇ, πῖνε, φέρβου.* 7. *ἀκριβῆ*] ita ex Apostolio et Arsenio scripsi: C et Suidas *ἄκραν*, quod in hunc locum non quadrat. *Ἀκριβὴς* quamquam raro, tamen dicitur de homine pecuniae tenace et parco: Alexis apud Stob. Floril. 63. 13: *οὐδεὶς γὰρ οὕτως ἐστὶ φιλοκλὴς σφόδρα Ἄνθρωπος, οὐδ' οὕτως ἀκριβὴς τοὺς τρόπους κτλ.*, Lucian. Timone §. 13.

στομίῳ ἀπειθῆ καὶ τραχὺν χαλινῷ σκληρῷ βιαιότατα ἀνακρούσας, ἀναστέλλει τῆς ὁρμῆς καὶ πηδήσας ἔχει· καὶ μάτην μὲν τὰ ἱστία μέσα πέπρηται, εἰς οὐδὲν δὲ φυσῶσιν οἱ ἄνεμοι, ἄχος δ' ἔχει τοὺς πλέοντας. Συνιᾶσι δὲ οἱ ταῦται, καὶ τῆς νεὼς γνωρίζουσι τὸ πάθος· καὶ ἐντεῦθεν ἐκτήσατο τὸ ὄνομα· ἐχενηΐδα γὰρ καλοῦσιν οἱ πιπιραρίνοι, ubi v. Schneideri et Jacobsii annotationes.

94. C. 230. Macar. 250. Similem sententiam exhibent versus inter Menandri Sent. Singul. relati, 164 Mein., *ἐχθροῖς ἀπιστῶν οὔποτ' ἂν πάθοις βλάβην*, et 166: *ἐχθροῦ παρ' ἀνδρὸς οὐδὲν ἐστὶ χρήσιμον*: v. Zenob. IV, 4. Diogen. IV, 82.

95. C. 231. Macar. 249. Videtur inde explicandum, quod tempore aestivo et auctumnali erinacei cibos hiemi praeparant, hieme igitur nihil agunt: cf. Plin. N. H. VIII, 56, 138. Schneiderus et Jacobsius ad Aelian. N. Anim. III, 10.

96. C. 232.

97. V. II, 2. B. 463. C. 235. Suidas. *Ζῆν* translate saepius de igne dicunt: Eurip. Bacch. 8: *δίον τ' ἔτι πυρὸς ζῶσαν φλόγα*: Nicand. Alexiph. 174: *πῦρ ἀείζωον*: *virne Lucernae* Horat. Carm. III, 21 fin.: *Quos sancta fovet ille manu, bene vivitis ignes, Vivite inextincti, flammaque duxque precor*, Ovid. Fast. III, 427: v. intt. ad Petron. c. 22 p. 105.

98 a. C. 236. Diog. Laert. VII, 27: *ἤδη δὲ καὶ εἰς παροιμίαν σχεδὸν ἐχώρησεν· ἐλέγετο γοῦν ἐπ' αὐτῷ, Τοῦ φιλοσόφου Ζήνωνος ἐγκρατέστερος. ἀλλὰ καὶ Ποσείδιππος Μεταφερομένοις· Ὥστ' ἐν ἡμέραις δέκα Εἶναι δοκεῖν Ζήνωνος ἐγκρατέστερον*: Apost. IX, 55. Arsen. 261: Suidas. De Zenonis continentia v. H. Ritteri Hist. Philos. Ant. T. III, p. 515 ed. secundae. *Z. ὑγ*] Diog. l. c. §. 28: *ὀκτὼ γὰρ πρὸς τοῖς ἐννενήκοντα βιοὺς ἔτη κατέστρεψεν, ἄνοσος καὶ ὑγιὴς διατελέσας.* Videtur in Diogene nostrum proverbium infuisse aliquando.

98b Ἡ ἀφύη πῦρ: ἐπὶ τῶν ταχέως λαμβανόντων, παρὸσον ἡ ἀφύη ταχέως ἕψεται.

99 Ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ.

100 Ἡ γλῶττ' ἀνέγνωχ', ἡ δὲ φρὴν οὐ μανθάνει: ἐπὶ τῶν ἀμαθῶν.

1 Ἡ γλῶττα τῷ κήρυκι τέμνεται: τουτέστιν, ἡ γλῶττα τῶν θυομένων τῷ Ἑρμῇ δίδοται. Καλλίστρατος δέ φησι, τῶν θυομένων τὰς γλώσσας τοῖς κήρυξιν ἀπονέμεσθαι. Ἡ γλῶττα τῷ κήρυκι τοῦτο γίνεται· αἰτία, ἐπὶ τῶν βλάσφημα λεγόντων.

2 Ἡ γραῦς τὰς ἀγαθίδας ** ἐκπίνουσα, ταῦτα

---

4. γλῶττα ἀνέγνω, χῇ Macarius. 6. κήρυκι τούτων recte Aristophanes, Suidas. 10. γίνεται] Eustath. l c. 1471, 14: διὸ καὶ ὁ κωμικὸς δύσφημά τινα τοῦ Ἑρμοῦ εἰπόντος, ἐξονειδίζει λέγων· ἡ γλῶσσα τ. κ. τ. γίνεται, ὅπερ ὁμοίων ἐστι τῷ, εἰς μάτην αἱ γλῶτται θύονται τῷ τὰ τοιαῦτα κηρύσσοντι: Hemsterhusius ad Arist. Plut. l. c.: *Eustathium memoria fefellit, quum scribebat* γίνεται: *verbum est in hac re* τίμνεται: mihi ex Eustathio et nostro loco apparere videtur, duplicem in loco Aristophaneo antiquitus exstitisse lectionem, τέμνεται et γίγνεται. 11. Ἡ — ἀγαθίδας] haec lacera esse sponte

98 b. K. III, 38: Zenob. IV, 25.

99. V. II, 6. B. 477. Stob. Floril. 49, 9. Arsen. 272. Euripidi tribuit cod N. Stobaei, Dionysio seniori Par. A. Stob., Grotius, et diserte Plutarch de fort. Alex. 338C. Eurip. Phoen. 549: τί τὴν τυραννίδ' ἀδικίαν εὐδαίμονα, Τιμᾶς ὑπέρφευ, καὶ μέγ' ἤγησαι; ad quem locum de nostro versu Valckenarius et Porsonus monuerunt.

100. C. 239. Macar. 272.

1. C. 238. Schol. ad Apoll. Rhod. I, 517: ὅτι ἔθος ἦν τοῖς παλαιοῖς κρατῆρα κιρνᾶν, ὅτε μέλλοιεν καθεύδειν, καὶ τὰς γλώσσας τῶν ἱερείων ἐπιθύειν τῷ Ἑρμῇ καὶ ἐπισπένδειν οἶνον. Καὶ ἴσως φυσικῶς· ἐπεὶ γὰρ Ἑρμῆς λόγος εἶναι παραδίδοται, ὄργανον δὲ αὐτοῦ ἡ γλῶσσα, ἥτις ὕπνου ἐπιπεσόντος ἠρεμεῖ, εἰκότως τῷ Ἑρμῇ αὐτὴν θύουσιν: alia vide ap. Eustath. ad Odyss. Γ, 1470, 30. Schol. ad Hom. Od. γ, 332. 341. Athen. I, 16 B, Suidas, quorum sententias examinavit Nitzschius ad Hom. Odyss. l. c. Ἡ γλῶττα .. γίνεται] v. nott. criticas. Quod ad explicationem ἐπὶ τῶν βλ. λεγ. attinet, de eadem supra allati dixerunt verbosius: Eustath. l. c: μέλλοντες γὰρ κοιμηθῆναι μετὰ θυσίαν οἱ παλαιοὶ, ἔθνον τὰς τῶν ἱερείων γλώσσας κατὰ ἔθος Ἰώνων ἢ Ἀττικῶν, βάλλοντες ἐν πυρὶ· ἀπίνεμον δὲ αὐτὰς ὁσιοῦντες θεοῖς ἢ τῶν δυσφημιῶν καθαίροντες ἑαυτούς, ἢ ὅτι κράτιστον τῶν μελῶν ἡ γλῶσσα κτλ.: Schol. ad Arist. Plut. 111: ἢ τῶν καταρωμένων, ἀπ' αὐτοῦ ἡ ἀρχή, ubi Hemsterhusii conjectura, καταρχομένων, et nostro et Eustathii loco refellitur. Alia proverbii forma exstat ap. Schol. ad Arist. Pac. 1058, ex quo simul cognoscitur, revera haec ab antiquis pro proverbio habita esse: Γλῶττα χωρὶς τίμνεται: καὶ τοῦτο παροιμιακὸν ἀπὸ Ὁμήρου [Odyss. l. c.]· ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας, ὡς φησι Καλλίστρατος: add. Schol. ad Arist. Av. 1711, qui Symmachum et Didymum citat. Alludit Arist. Plut. l c.: ἡ γλῶττα ἡ κήρυκι τούτων τέμνεται, ubi v. κήρυκι Mercurius significatur.

2. C. 240.

μὲν ἀγαθίδες. Ἐπὶ τῶν ἄγαν μεθύσων. Καὶ πάλιν· Ἡ γραῦς τὸ ἄροτρον ἐκπίνουσα, φησί, οἷα κακὲ τὴν γῆν ἀναστρέφει.

3 Ἦδ' ὅς: τίθεται ἡ λέξις ἐπὶ πλήθους καὶ ἐπὶ θηλειῶν· οὐ μόνον δὲ ἀντὶ τοῦ ἔφη, ἀλλὰ καὶ ἀντὶ τοῦ ἔφασαν· ὁ δὲ Κράτης μὴ δασύνειν λέγει τὸ ὅς.

4 Ἤθη φίλων γίνωσκε, μιμήσῃ δὲ μή: ὅτι οἱ δεῖ πάντα φίλῳ ἕπεσθαι.

5 Ἡ Θρᾷττα ἐπὶ τῷ ταρίχει: ἐπὶ τῶν κρυπτόντων τὰ ἴδια πάθη, ἢ ἐπὶ τῶν προφασιζομένων ἵνα τύχοιεν τινός. Καὶ γὰρ ἡ Θρᾷττα φίλοινος οὖσα, διψῆν ἔφασκε διὰ τὸ φαγεῖν τάριχος.

6 Ἡ Καυνία βοῦς: ἐπὶ τῶν ὕσα πονήσουσιν ἀπολλύντων· ταύτῃ γὰρ πολὺ μὲν ἠμέλχθη γάλα, λακτίσασα δὲ ἀνέτρεψεν.

7 Ἢ λέγε τι σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε: ἐπὶ τῶν οὐκ ἄξια λεγόντων.

8 Ἠλιάδων δάκρυα: ἐπὶ τῶν πολλὰ ἐχόντων χρήματα, παρόσον τὰς Ἠλιάδας αἰγείρους ** Φαέθοντα

---

intelligitur. Proverbium effici conjecerim verbis ἡ γρ. τ. ἀγαθ. et reliqua pertinere ad narrationem, quam ex Bekkeri Anecdotis ad Diog. p. 182 apposui. 2. φησι] in codice per compendium φ^η scribitur. 4. Suidas addit: καὶ παροιμία, quae a temeraria librariorum manu intrusa esse Kusterus contendit. 7. Macarius: παντὸς φίλου ἕπισθαι τῇ γνώμῃ. 18. Macarius: παρόσον αἱ τοῦ Φαέθοντος ἀδελφαὶ ἀποδενδρωθεῖσαι καὶ δακρύουσαι ἀπέσταζον τὸ ἤλεκτρον. 19. αἰγείρους] excidisse videntur εἰς αἴγ. μεταβεβλημένας, μετασχηματισθείσας vel simile quid.

3. V. II, 12. B. 489: pleniora apud Phot. et Suid. s. v. leguntur. »Cratetis Grammatici libros de Attica Dialecto citat Athenaeus VI, 235 B.« Schottus.

4. C. 242. Macar. 274. Menand. Sent. Sing. 535: Φίλων τρόπους γίγνωσκε, μὴ μίσει δ' ὅλως: ib. 105 p. 339 Mein.: φίλου τρόπους γίγνωσκε, μισήσῃς δὲ μή.

5. C. 241.

6. C. 244.

7. C. 245. Apost. IX, 76. Macar. 276. Menand. Sent. Singul. 208 Mein. Sententiae auctor videtur Pythagoras: Stob. Floril. 34, 7: Ἔλεγεν ὁ Πυθαγόρας [cf. supr. II, 17], χρὴ σιγᾶν, ἢ κρεῖσσονα σιγῆς λέγειν, quae in Violetum recepit Arsenius 421: similia composuerunt Gell N. Att. XIII, 18. Schneidewinus ad Simonid. p. 112 sq. Valkenarius Diatr. Eurip. 175 Lugd.: add. Stob. l. c., 8: ἢ σιγὴν καίριον, ἢ λόγον ὠφέλιμον ἔχε.

8. C. 246. Macar. 276. Χρυσᾶ Ἠλιάδων δάκρυα dixit Philostr. Imagg. I, 11, ubi v. Jacobsius.

θρηνούσας τὸν ἀδελφὸν, στάζειν δάκρυα τὸν ἤλεκτρον οἱ Ἕλληνες ἐμυθεύσαντο, ἡλίου δὲ τέκνα Φαέθων καὶ αἱ αἴγειροι.

9 Ἠλίβατον: τὸ ὑψηλὸν ὄρος, τῷ ἡλίῳ ὂν μόνῳ βατόν. Καὶ παροιμία, ἠλίβατον κακόν, ἐπὶ τῶν σφόδρα δεινῶν.

10 Ἠλιθιώτερος Λευκολόφου: οὗτος ἀποδόμενος τὴν οἰκίαν, ἀντεποιεῖτο τοῦ φρέατος.

11 Ἡμένη πελειάς: ἐπὶ τῶν ἁπλουστάτων· κατὰ ἀντεξέτασιν τὴν πρὸς τὰς παλευτρίας, αἳ ἐξιπτάμεναι καὶ ἄλλας ἀπατῆσαι προάγονται. Παλεῦσαι γὰρ τὸ ἀπατῆσαι φασίν.

---

4. ἠλίβατον Macarius. 8. Codex pergit: καὶ, Ἠλιθιώτερος τοῦ Πραξίλλης Ἀδώνιδος κτλ.: v. Zenob. IV, 21. 9. πελιὰς C. 10. ἀντιπαριξέτασιν C, ut Photius et Suidas: codicis B lectionem et alii defendunt et Hesychius. 10. τὴν .. παλευτρίας] C τῆς παλευτρίας: sqq. idem sic profert: αἱ γὰρ ἐξιπτ. ἀπατῶσιν ἑτέρας, παλεῦσαι γὰρ τὸ ἀπ. σημαίνει.

9. C. 249. τὸ-βατόν] similem doctrinam promunt Hesych. Phot. Etym. M. 427, 39. Etym Gudian. 240, 29. Crameri Anecdd. I, 191, 9. II, 445, 25. παροιμία] Macar. 276. Eustath. ad Hom. Odyss. I, 187, p. 1623, 7: ὡς δὲ καὶ ὁ εἰπὼν πέλωρον κακὸν ταὐτὸν ἔφη τῷ φαμένῳ κακὸν ἠλιβ., δῆλόν ἐστι καὶ αὐτό· χρῆσις δὲ αὐτοῦ γνωμικὴ ἐν τῷ· Αἱ μεταβολαὶ γὰρ αἵ τε κινήσεις κακὸν Ἠλίβατον [male adjicit h. l. ἔντ' Eustathius] ἀνθρώποισιν [ἀνθρώπους Eustathius] ἀλλοιώματα Ἐν ταῖς τροφαῖς [τροπαῖς Eustathius] ποιοῦσιν, quae sunt verba Damoxeni Comici: v. Athen. III, 102, C. vs. 21 sq.

10. C. 247. Leucolophus quidam exagitatur ab Aristophane Ran. 1500, ubi v. Scholia.

11. V. II, 4. B. 469. C. 252. Apost. X, 82. Arsen.. 276: Hesych. Phot. Suidas. »Παλεύειν Graecis est θηρεύειν, προκαλεῖσθαι. Et aliud est proverbium, Παλεύει καλῶς τὴν ἀλώπεκα: Suidas s. παλεῦσαι, quod usurpat Aristoph. Av. 1087: αὐθις ὑμεῖς ἂν παρ' ἡμῖν δεδεμένον παλεύσετε. Ubi Scholia Graeca observant solere aucupes aves exoculatas reti imponere, quae alias sono illicerent suo, quod appellant γλωσσηματικὸν παλεύειν: et παλεύτριαι id genus dictae columbae ad aliarum dispositae aucupium, auctore Aristotele libro IX Anim. c. 7: αἱ περιστεραὶ ζῶσιν ὀκτὼ ἔτη αἱ τετυφλωμέναι ὑπὸ τῶν παλευτρίας τριφόντων αὐτάς.« Schottus. Quae huc non pertinere Schottum jam v. ἐξιπτάμεναι docere poterat: add. Hesych. s. παλεύσας: .. λέγονται Παλεύτριαι περιστεραὶ αἱ ἐξαπατῶσαι καὶ ὑπάγουσαι πρὸς ἑαυτὰς, ἤγουν ἐνεδρεύουσαι: unde intelligitur, a veteribus etiam id genus παλευτρίας esse adhibitas, quae libere volantes neque oculis privatae feras columbas in insidias ab aucupe positas pellicere scirent: de talibus sermo est apud Aelianum N. Anim. XIII, 17: ἔπονται δὲ τούτοις [piscibus] οἷον ἡγεμόσι καὶ ἄλλοι ξένοι [sc. pisces feri], καὶ τούτους μὲν .. θηρῶσι καὶ ἀποκτείνουσι· πρός γε μὲν τοὺς τιθασσοὺς, οἵ γε μὴν ἔοικασι ταῖς

12 Ἡ μωρία μάλιστα ἀδελφὴ πονηρίας ἔφυ.

13 Ἡ συκάμινος συκαμίνῳ ῥύπτεται: πρὸς τοὺς ἐν ἑαυτοῖς τὰ ὠφέλιμα λαμβάνοντας ἐξ ἑαυτῶν.

14 Ἡ Συρακοσίων δεκάτη: ἐπὶ τῶν σφόδρα πλουσίων.

15 Ἤτοι σύνδεσμος ἰσοδυναμῶν τῷ δὲ Ἤτοι ὅγ' ὡς εἰπών. Ὅμηρος οὐ διαζευκτικῶς αὐτῷ χρῆται. Τινὲς δὲ καὶ ἀντὶ τοῦ μέν.

16 Ἡφαίστου δεσμὸς ἢ Ἡφαίστειος δεσμός: ἐπὶ τῶν ἀφύκτων καὶ ἀλύτων δεσμῶν. Ἥφαιστος γὰρ τὸν Προμηθέα στερρῶς ἐδέσμευσεν.

---

2. πρὸς κτλ. B om. 3. ἐν] Suidas recte omittit. 8. μεν B. 9. Ἡφαίστιος Apostolius, Arsenius.

παλευτρίαις πιλιαίσιν, ἀθηρία τε αὐτοῖς [piscatoribus] ἐστι καὶ ἐκχυρία: Phot. et Suid. s. παλεῦσαι· . . καὶ παλεύτρια, περιστερὰ πλάνος.

12. B. 477. Sophocles ap. Stob. Floril. IV, 17: ἡ δὲ μωρία Μάλιστ' ἀδελφὴ τῆς π. ἔφυ: cf. idem ibid. [fr. 663 G. Dindorf.], 51: ὡς δυσπέλαστον ἡ ἀμαθία ἔφυ.

13. V, II, 3. B. 485. Apost. X, 1. Suidas. »Proverbii originem eo referri posse videmus, quod maculae ex moro maturo contractae, succo viridis eluantur: quo facit C. Plinii locus N. H. XV, 24, 97: *tingunt manus succo matura, eluant acerba.* Pantinus ad Apost. p. 215. Sic qui sunt a scorpionibus laesi, remedium ab iisdem accipiunt. Ab Achillis hasta vulneratos ab eadem opem petiisse poetae fabulantur.« Schottus.

14. B. 483. Macar. 280: Strab. VI, 2, 4 p. 269: Συρακούσας δὲ ἐπὶ τοσοῦτον ἐκπεσεῖν πλούτου, ὥστε καὶ αὐτοὺς ἐν παροιμίᾳ διαδοθῆναι λεγόντων πρὸς τοὺς ἄγαν πολυτελεῖς, ὡς οὐκ ἂν ἐκγένοιτο αὐτοῖς ἡ Συρακουσίων δεκάτη: Steph. Byz. s. Συρακοῦσαι. Schol. ad Arist. Equitt. 1100: Suidas. Usurpat Liban. Epist. 721: ἐμοὶ δὲ μείζω μὲν ταῦτα τῆς Συρ. δεκάτης, μικρῷ δὲ ἐλάττω τῶν εἰς τὸν ὑμέτερον νομοθέτην ὑπὸ τοῦ θεοῦ λεχθέντων. Cf. Greg. Cypr. III, 68. Append. IV, 88.

15. V. II, 12. B. 490. Hesychius. Locus Homeri est Il. *B*, 76. Explicatius de particula exponit Eustath. ad Hom. *A* p. 50, 10: ὅτι ὁ ἤτοι καὶ ὁ μὲν ἄλλως ἀδιάφοροι ὄντες ὅμως διαφέρουσι, καθότι ὁ μὲν ἤτοι ἐν καταρχῇ ἀεὶ λόγου τίθεται, οἷον ἤτοι ὅ γ' ὡς εἰπὼν κατ' ἄρ' ἔζετο. ὁ δὲ μὲν σύνδεσμος, οὐ πίπτει ποτὲ ἐν λόγου ἀρχῇ, οἷον ἀλλὰ σὺ μὲν ταύτην θεῷ πρόες [Il. *A*, 127.]· καὶ ὁ μὲν ἤτοι ποιητικός ἐστιν, ὁ δὲ μὲν τῆς κοινῆς φράσεως· . . . ἰστέον δὲ ὡς οἱ μεθ' Ὅμηρον τὸ ἤτοι χυδαϊστὶ μὲν ἑρμηνευτικὸν οἴονται σύνδεσμον, καθὰ καὶ τὸ ἤγουν καὶ εἴτουν· ἀκριβῶς δὲ νοήματα διαζευγνύουσιν ἐν αὐτῷ, οἷον ἤτοι τέθνηκεν ἢ ζῇ: id. ad Odyss. *A*, p. 1404, 32: τὸ δὲ ἤτοι, ἰσοδυναμεῖ, φασί, τῷ μὲν· διὸ καὶ ἐκ παραλλήλου κεῖνταί ποτε: cf. Hartungus de Partice Grr. II, 358 sq.

16. C. 255. Apost. X, 7. Arsen. 281: Suidas. Aeschyl. Prom. Vinct. 4 sqq.: τόνδε . . ὀχμάσαι Ἀδαμαντίνων δεσμῶν ἐν ἀῤῥήκτοις πέδαις. Posset etiam derivari a vinculis, in quae Martem et Venerem Vulcanus conclusit:

17 Ἡ ψελλὴ οὐ πιττεύω: ἐπὶ τῶν τὰ οἰκεῖα ἐλαττώματα πειρωμένων ἀποκρύπτειν.

18 Θεοὶ Μολοττικοί: οἱ κύνες· ἢ ὅτι ψυχοπομπεῖον ἐν Μολοττίᾳ. Ἐπὶ τῶν φοβουμένων τὰ φόβου ἄξια.

19 Θερσίτειον βλέμμα, καὶ, Θερσίτειον εἴδωλον: παροιμία ἐπὶ τῶν πάνυ δυσειδῶν, ἐπεὶ καὶ ὁ Θερσίτης τοιοῦτος ἦν.

20 Θετταλικὸν σόφισμα: ἐπὶ τῶν πανούργων καὶ εὐμεθόδων ἔργων. Λέγεται δὲ καὶ ἐπὶ τῶν ἀεὶ ἀναβαλ-

---

1. πιττεύει V, Arsenius, Schottus, πειττεύω B, Gaisfordus: πιττεύω cum Suida dedi. 3. οἱ κύνες κτλ.] Hesychius: ἤτοι ὅτι διάφοροι οἱ κύνες οἱ Μολοττικοί. ἢ ὅτι ψυχοπομπεῖόν ἐστιν ἐν Μολοσσοῖς: unde ψυχοπομπεῖόν pro eo, quod in codice legitur ψυχοπομποί, scripsi. Adstipulatur Photius. 5. καὶ Θερσίτειον εἴδωλον et explicatio Suidae deest.

Hom. Od. Θ, 275. Usurpat Eunapius, ut videtur, ap. Suid. s. Ἀρβαζάκιος.

17. V. II, 8. B. 482. Arsen. 281: Suidas. »Jocus proverbialis, ubi quis mala sua conatur dissimulare, quae prae se fert, etiam cum dissimulat. Veluti si quis neget se blaesum esse, idque ipsum non possit, nisi blaese dicere. Dictum est enim πιττεύει pro πιστεύει. Propterea quod qui linguae vitio laborant, in literis duabus, sigma et rho, potissimum laborant. Notatus est et Alcibiadis labdacismus, qui pro ϱ litera λ solitus sit pronunciare: Arist. Vesp. 44 « Erasmus I, 6, 51. Cf. Eustath. ad Hom. Od. E, 1535, 24.

18. C. 258. Hesych. Photius. Κύνες] Aelian. H. Anim. III, 2 fin.: Θυμικώτατος δὲ κυνῶν Μολοσσός, ἐπεὶ θυμωδέστατοι καὶ οἱ ἄνδρες: v. Arist. Thesmoph. 416. Plaut. Capt. I, 1, 18. Alciph. Epist. III, 47. Oppiani Cyneg. I, 374. Poll. Onom. V, 39: ὥσπερ καὶ τὰς Χαονίδας καὶ Μολοττίδας ἀπογόνους φασὶ κυνὸς, ὃν Ἥφαιστος ἐκ χαλκοῦ Λημνησίου χαλκευσάμενος, ψυχὴν ἐνθεὶς, δῶρον ἔδωκε Διΐ κτλ.: Suid. s. Μολοσσός. Ψυχοπομπεῖον] Acherontem adjacebat: cf. O. Muellerus Dorr. I, 418. Prolegg. Myth. 363: add. Eustath. ad Hom. Od. K, 514 p. 1668, 1, qui e lexico rhetorico haec affert: εἶναι δὲ καὶ νεκυομαντεῖον ἐκεῖ [ad Avernum, lacum Chalcidicum], ταὐτὸν δὲ εἰπεῖν ψυχοπόμπιον, κατὰ τὸν γράψαντα ὅτι ἔστι καὶ ἐν Μολοττοῖς ψυχοπόμπιον· ὅθεν θεοὶ Μολοττικοὶ οἱ ἐν τούτῳ. Comicum nescio quem Deos in ψυχοπομπείῳ isto cultos Molossicos nominasse, Valckenarius conjecit ad Herod. V, 92, 7.

19. C. 259. Suid. s. Θερσίτης. Natum ex Hom. Il. B, 212 sq., ubi v. Eustathium. Θερσίτειον βλ. sine dubio etiam de impudentibus dicebatur, ut Ἀττικὸν βλέπος: Aristoph. Nub. 1178 ibiq. Scholl. coll. Bernhardio Hist. Lit. Graec. I, 313. Alludit Liban. Epist. 1522: νέοι τε γὰρ οἱ πολλοὶ καὶ καλοὶ καὶ μόνοι Ὑάκινθοι καὶ τοὺς ἄλλους ἡγοῦνται Θερσίτας κτλ.: Hippocrat. Epist. I, 22 Chart., III, 804 Kuehn.: Θερσῖται δ' εἰσὶ τοῦ βίου πάντες: Appul. Florid. I, 3 p. 12. Oudend.: *Marsyas ... fertur cum Apolline certavisse, Thersites cum decoro, agrestis cum erudito, bellua cum Deo.*

20. C. 260: v. Zenob. IV, 29.

λομένων τὸ παρ' αὐτῶν ὑπεσχημένον, δι' οἰκεῖον κέρδος. Ἀράτιος γὰρ ὁ ἐκ Θετταλίας ηὔξατο δοῦναι τῷ Ἀπόλλωνι, εἰ περιγένοιτο τῶν ἐχθρῶν, ἑκατόμβην ἀνδρῶν, καὶ τυχὼν οὐκ ἐποίει, διὰ τὸ μὴ ἱεροπρεπῆ εἶναι λέγων τὴν τοιαύτην θυσίαν.

21 Θρᾳκεία παρεύρεσις: ἐπὶ τῶν δολίως τι μηχανωμένων καὶ χαλεποῖς ἔργοις λόγους εὐπροσώπους ἐξευρισκόντων· Θρᾷκες γὰρ ἡττηθέντες ὑπὸ Βοιωτῶν περὶ Χερώνειαν,† καὶ σπεισάμενοι, θύουσι τἀπινίκια τοῖς Βοιωτοῖς νυκτὸς ἐπέθεντο· καὶ πολλοὺς αὐτῶν ἀνεῖλον, τινὰς δὲ καὶ ἐζώγρησαν. Ἀγανακτούντων δὲ Βοιωτῶν ἐπὶ τῷ παρεσπονδῆσθαι, ἔφασαν οἱ Θρᾷκες, ὅτι τὰς ἡμέρας, ἀλλ' οὐ τὰς νύκτας ἐσπεισάμεθα.

22 Θυμόσοφος: τοὺς ἐκ φύσεως ὀξυμαθεῖς καὶ εὐφυεῖς οὕτως ἐκάλουν.

23 Θύραθεν: ἐκ τῆς θύρας καὶ ἀντὶ τοῦ ἐγγύς, καὶ ἀντὶ τοῦ ἐκτός, καθά φαμὲν ἐκ τῶν θύραθεν ἢ ἀπὸ τῶν ἐκτός. Εἴληπται δὲ ἀπὸ τῶν αἰτούντων πτωχῶν καὶ ἔξω τῆς θύρας ἱσταμένων.

24 Ἰάλεμος: εἶδος θρήνου, ἢ ἐπὶ τοῖς ἀπολωλόσιν

---

2. Ἀράτιος] Ἄϊατος C. O. Muellerus apud Schneidewinum ad Zenob. l. c. 6. Θρᾳκία Zenobius. 9. Χερώνειαν] scribe Κορώνειαν: cf. nott. ad Zenob. l. c. 14. Θυμόσοφος] ἐστιν ex Aristophane apposuerunt Apostolius, Arsenius. K explicat: ἐπὶ τῶν ὀξυμαθῶν καὶ εὐφυῶν. 20. ἡ — ἀνία] Suidas: ὁ ἐπὶ τοῖς ἀπολωλόσιν ἀνίαν φέρων.

21. C. 262: v. Zenob. IV, 37.

22. V. II, 16. B. 496. K. III, 40. Apost. X, 37. Arsen. 290: Eustath. ad Hom. Il. H, 228 p. 678, 61: Θυμολέων . . ὁ μὴ φύσει λέων, ἀλλὰ θυμῷ, τουτέστιν οἰκοθεν καὶ ἀφ' ἑαυτοῦ τοιοῦτος, ὡς καὶ Θυμόσοφος ὁ μὴ ἄλλοθεν ἀλλὰ φυᾷ, ὅ ἐστιν εὐφυίᾳ τῇ κατ' αὐτὸν, σοφός, Πινδαρικῶς [Ol. II, 86.] εἰπεῖν: id. ib. M, 228 p. 900, 44. Schol. ad Arist Nub. 879: Hesych. Phot. Suidas. Phavorinus. Primus dixit, ut videtur, Aristophanes l. c.; aliorum locos apponunt interpp. Hesychii, Stephanus Thesaur. Ling. Gr. s. v.

23. C. 263. Hesych. Phot. Suidas: cf. Lexica et Tittmannum ad Zonar. T. I praef. p. XLVI. Πτωχῶν] mendici enim et egeni circa divitum, ut dicitur, fores vagantur, unde nata dictio proverbialis ἐπὶ πλουσίων θύρας εἶναι, quam Plato frequentat; cf. Stallbaumius ad Plat. Reip. II, 364 B: add. Eustathius c. Origen. de Engastr. §. 12, p. 558 T. IV. Gall.: ὥσπερ ἀγύρται καὶ μάντεις ἐπὶ πλουσίων εἶναι θύρας ἐπειγόμενοι. Cognatas formulas collegit Wernsdorfius ad Himer. Oratt. p. 866.

24. C. 264. Bibl. Coisl. p. 234. Schol. ad Hermog. T. III Rhett.

ἀνία, καὶ ὁ υἱὸς Καλλιόπης, καὶ ὁ οὐρανός· ἔνιοι δὲ καὶ τὸν κακοδαίμονα καὶ τὸ εὐτελές. Ἰαλεμώδη τὰ ψυχρὰ καὶ οὐδενὸς ἄξια, ἢ τὰ θρηνώδη.

25 Ἱερείας ἐνύπνιον: ἐπὶ τῶν ἐξ ἐνυπνίων κακὰ παθόντων· λέγεται δὲ καὶ Ἱμεραίας ἐνύπνιον. Ἱμεραία γάρ τις ἱέρεια καθ' ὕπνους εἰς οὐρανὸν εἶναι ἔδοξε, καὶ τῷ τοῦ Διὸς θρόνῳ ἰδεῖν ἀλύσει δεδεμένον τινά, περὶ οὗ ἐρωτήτασαν μαθεῖν τὸν Σικελίας εἶναι ἄρχοντα, ὕστερον δὲ ἰδοῦσα Διονύσιον τυραννήσαντα, αὐτὸν εἶναι εἶπεν ὃν καθ' ὕπνους ἑώρακε. Καὶ ὀργισθεὶς ἀπέκτεινεν αὐτὴν ὁ Διονύσιος.

26 Ἴθι ὀρθός: ἐπὶ τῶν τοῦ δικαίου ἐκτρεπομένων.

27 Ἵνα μὴ φάγῃς σκόροδα, μηδὲ κυάμους: ἐπὶ τῶν ἡσυχῇ ζώντων. Ἔθος γὰρ ἦν τοῖς ἐν πολέμῳ ἀπιοῦσιν ἐσθίειν σκόροδα, τοὺς δὲ δικαστὰς κυάμους, ἵνα μὴ κοιμηθῶσιν. Οἱ γοῦν δικάζοντες καὶ ἐν πολέμῳ ἀπήρχοντο βίας καλούσης.

---

5. λέγεται . . ἐνύπνιον] ἄλλοι δέ φασι διῦν μᾶλλον Ἱμεραίας ἐνύπνιον λέγεσθαι, Photius cum Suida: ἱέρειας Lexicon Rhet. ap. Bekkerum. 9. C Διόνυσον. 11. C Διόνυσος. 13. φάγῃ Suidas.

Gr. 348 Walz.: Hesych. Phot. Suidas: cf. Zenob. IV, 39.

25. C. 267. Valer. Maxim. I, Ext. 6. Photius. Suidas. Bekk. Anecdd. I, 266, 9. Alludit Aeschin. de falsa legat, §. 10 p. 194 R.: ἐνεχείρησε δ' ἀπεικάζειν με Διονυσίῳ τῷ γενομένῳ Σικελίας τυράννῳ . . . καὶ τὸ τῆς ἱερείας ἐνύπνιον τῆς ἐν Σικελίᾳ διηγήσατο: ad quem locum Scholiasta haec annotavit, p. 751 R: περὶ τὴν γραφὴν ἡμάρτηται· δεῖ γὰρ γεγράφθαι Ἱμεραίας. Τίμαιος γὰρ ἐν τῇ ἕκτῃ ἱστορεῖ, γυναῖκά τινα, Ἱμεραίαν τὸ γένος, ἰδεῖν ὄναρ, ἀνιοῦσαν αὐτὴν εἰς τὸν οὐρανὸν πρός τινος ἄγεσθαι θεασομένην τὰς τῶν θεῶν οἰκήσεις· ἔνθα ἰδεῖν καὶ τὸν Δία καθεζόμενον ἐπὶ θρόνου, ὑφ' οὗ ἐδέδετο πυρρός τις ἄνθρωπος καὶ μέγας ἁλύσει καὶ κλοιῷ· ἔρεσθαι οὖν τὸν περιάγοντα ὅστις ἐστιν, αὐτὸν δὲ εἰπεῖν, Ἀλάστωρ ἐστὶ τῆς Σικελίας καὶ Ἰταλίας, καὶ εἴπερ ἀφεθῇ τὰς χώρας διαφθερεῖ. Περιαναστᾶσαν δὲ χρόνοις ὑστέροις ὑπαντῆσαι τῷ Διονυσίῳ τῷ τυράννῳ μετὰ τῶν δορυφόρων καὶ ἰδοῦσαν ἀνακραγῆναι, ὡς οὗτος εἴη ὁ τότε δειχθείς· καὶ ἅμα ταῦτα λέγουσαν πεισεῖν εἰς τοῦδαφος ἐκλυθεῖσαν· μετὰ δὲ τρίμηνον οὐκέτι ὀφθῆναι τὴν γυναῖκα ὑπὸ Διονυσοῦ [sic] διαφθαρεῖσαν λάθρα. Οὗτος ἱέρειάν φησιν εἶναι τὴν γυναῖκα μηδενὸς τοῦτο ἱστορήσαντος: ultima auctiora adscripsi e codd. Parisinis, quos publici juris fecit I. Bekkerus in Actis Societ. Liter. Berol. ann. 1836 p. 240.

26. C. 269 Macar. 305.

27. C. 270. Suidas: τοιοῦτόν ἐστιν, ἵνα μὴ δικάσῃ μηδὲ πολεμήσῃ. Σκόροδα] jocularitер hoc dictum est. Gallinaceos enim, qui pugnam inituri erant, Athenienses allio pascebant, ut certaminis avidiores redderentur: Schol. ad Arist. Equitt. 497: ὅταν γὰρ εἰς μάχην συμβάλλωσιν αὐτοὺς σκόροδα δι-

28 *Ἱππεῖς ἐν Θετταλίᾳ καὶ Θράκῃ: παροιμία.*

29 *Ἵππου γῆρας: ἐπὶ τῶν πρὸς τῷ γήρᾳ δυστυχούντων.*

30 *Ἴσαι ψῆφοι: ἐπὶ τῶν ἐν δικαστηρίῳ ἀντικρινομένων, καὶ μηδενὸς καταβεβλημένου. Αἰσχίνης κατὰ Κτησιφῶντος.*

31 *Ἴσως Ἐριννύς ἐστιν ἐκ τραγῳδίας: τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει.*

32 *Ἰχθὺν εἰς Ἑλλήσποντον.*

33 *Κάβος: εἶδος μέτρου. Καὶ παροιμία, Κάβος κάβου.*

---

1. Suidas: ἱππεῖς λευκοθώρακες: *Καὶ παροιμία Ἱππεῖς μὲν ἐν Θετ. καὶ Θρᾴκῃ.* 7. Ἐρινύς recte Aristophanes. 11. κάβου κάβος Suidas.

δόασιν αὐτοῖς, ἵνα δριμύτεροι ὦσιν ἐν τῇ μάχῃ: v. eund. ad Arist. Ach. 166. Hesych. s. *ἐσκορδισμένος*: unde factum est, ut etiam de hominibus fortibus et pugnandi cupidis diceretur *ἐσκορδισμένοι εἰσί*: Xenoph. Sympos. 4, 9: *εἰς μὲν γὰρ μάχην ὁρμωμένῳ καλῶς ἔχει κρόμμυον ὑποτρώγειν, ὥςπερ ἔνιοι τοὺς ἀλεκτρυόνας σκόροδα σιτίσαντες συμβάλλουσιν*, ubi v. interpp.: Arist. Equitt. l. c., Suidas s. *ἐσκορδισμένος*. Jocum augebat, quod Athenienses expeditionem adornantes allium pro commeatu comparare solebant: cf. Arist. Equitt. 600, ubi Schol.: *διὰ δὲ τοῦ σκορόδου καὶ κρομμύου τὴν εὐτέλειαν δείκνυσι τῶν τε ναυτικῶν καὶ στρατιωτικῶν σιτίων*: id. ad Arist. Ach. 555: *οἱ γὰρ ἐπὶ πόλεμον ἐξιόντες ταῦτα ὠνοῦντο καὶ ἐν λίνοις ἔβαλλον*: Suid. s. *σκόροδα*, Boeckhius Oecon. publ. Athen. I, 309. *Κυάμους*] Schol. ad Arist. Equitt. 41: *κυάμοις δὲ ἐχρῶντο οἱ δικασταὶ διὰ τὸ μὴ καθεύδειν* [Plinius N.H. XVIII, 12, 118: *fabacia .. hebetare sensus existimata, insomnia quoque facere*]: Suid. s. *κυαμοτρώξ*: .. *πρὸ γὰρ τῆς εὑρέσεως τῶν ψήφων, κυάμοις ἐχρῶντο ἐν ταῖς χειροτονίαις τῶν ἀρχόντων καὶ ἐν ταῖς ἐκκλησίαις*: v. Wachsmuthii Antiqq. Grr. II, 1, 344 sq: haec ratio vera est; prior e somniculoso nata est judicum Atheniensium in judiciis habitu: cf. ad Zenob. I, 8: ad eam judice Scholiasta alludit Aristoph. Lysistr. 537.

28. C. 272. Suidas. In Thracia optimi equi alebantur: cf. Oraculum ap. Schol. ad Theocr. XIV, 48 vs. 2, quem citat etiam Schol ad Aristid. p. 208 Fromm.

29. C. 274. Arsen. 304 ibiq. Macarius. Tetigit Schneidewinus ad Ibyci Rell. p. 107: add. Plutarch. an seni sit gerenda resp. 785 C: *οὐ παντάπασι δόξει τοῦτο δὴ τὸ καλούμενον ἵππου γῆρας ἐπάγεσθαι μηδενὸς ἀναγκάζοντος;*

30 C. 277. Harpocrat. 102, 11 Bekk., Hesych. Phot. Suidas: cf. infr. 42. *Αἰσχίνης*] §. 252 p. 643 R.

31. K. III, 43. Apost. X, 57. Arsen. 305. Est versus Aristophanis, Plut. 423, ubi v. Scholia, ex quibus explicationem grammaticus noster descripsit. De re cf. C. O. Muellerus ad Aesch. Eumen. p. 185.

32. K. III, 46: cf. Zenob. III, 6.

33. C. 278. Suidas. De v. *Κά-*

34 *Καθ' ἑαυτοῦ τὴν κόνιν ἀμᾶται.*

35 *Καὶ γὰρ Ἀργείους ὁρᾷς: αὕτη Σοφόκλειος· πεποίηται γὰρ Ἐριφύλη πρὸς Ἀλκμαίωνα λέγουσα,*

Καὶ γὰρ Ἀργείους ὁρῶ.

Εἴρηται δὲ ἐπὶ τῶν ἐκτενῶς πρὸς ὁτιοῦν βλεπόντων καὶ καταπληκτικόν τι δοκούντων ὁρᾶν. Οἱ δὲ ἐπὶ τῶν εἰς κλοπὴν ὑπονοουμένων. Κωμῳδοῦνται γὰρ Ἀργεῖοι ἐπὶ κλοπῇ, ὥςπερ καὶ Σοφοκλῆς ἐχρήσατο.

36 *Καὶ κεραμεὺς κεραμεῖ κοτέει: ἐπὶ τῶν ὁμοτέχνων διαφθονουμένων.*

37 *Καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις: ἀντὶ τοῦ ὄντες ἐν πολλοῖς κινδύνοις.*

38 *Καὶ χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει: ἀντὶ τοῦ παντὶ τρόπῳ, καὶ ἔργοις δηλαδή, ὃ δηλοῖ διὰ τοῦ χερσὶ, καὶ κατανεύσει, τοῦτο γὰρ σημαίνει τὸ κόμαισι, καὶ βαδίσει, ὃ δηλοῖ διὰ τῶν ποδῶν καὶ τῆς βάσεως.*

---

4. *Καὶ . . ὁρᾷς*] *Ἀργείους ὁρῶ* Hesychius. 5. *ἐκτενῶς*] *ἀτενῶς* Suidas. 6. *καταπληκτικὸν*] sic AB, *καταπλησίον* V: nostram lectionem etiam Macarius tuetur, *ἐπὶ τῶν ὁτιοῦν ἀποβλεπόντων καταπληκτικώτατον* explicans. 8. *ὥςπερ*] *ὡς* V. 13. Ex nostro loco intelligitur glossam, *καὶ χερσὶ: καὶ ἔργοις*, quae apud Hesych. Phot. Suidam legitur, ad Hecubam Euripideam referendam esse.

βος, mensurae frumentaceae genere, v. intt. Hesychii.

34. V. II, 45. B. 580. Usurpat Schol. ad Hermog. T. IV Rhett. Gr. p. 204 Walz.: *πολλάκις γάρ τινες ἔξω τοῦ προκειμένου λέγειν ἵνα φιλοτιμηθέντες αὐτοὶ καθ' ἑαυτῶν, φασὶν, ἀμῶμενοι τὴν κόνιν ἐφάνησαν.* Cf. Zenob II, 69.

35. V. II, 49. B. 585. Macar. 79: Hesych. s. *Ἀργεῖοι.* Suid. s. *Ἀργείους ὁρᾷς. Σοφόκλειος*] fr. 208 Dind.: cf. Welckerus de Soph. tragg. p. 276. *κωμῳδοῦνται*] cf. Diogen. II, 79. O. Muellerus Dorr. II, 413.

36. C. 281. Macar. 317. Hemistichium Hesiodi, *Ἔργ.* 25, quod saepe adhibuerunt: v. Gaisfordi notam ad Hesiodi l. c., Creuzerum Init. Philos. Plat. II, 179.

37. C. 280. Suidas. Est versus Aristoph. Ran. 704, ubi Scholiasta ex Didymo annotat, a comico perstringi Aeschylum illud: *ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις*, fr. 301 Dind. Similiter locutus est Nausicrates Athen. VII, 296 A: *ἤδη φανέντος πελαγίαις ἐν ἀγκάλαις*: Eurip. Helen. 1062: *καθήσομεν Κόσμον τάφῳ σῷ πελαγίας ἐς ἀγκάλας*, ibid. 1436: alia attulit Blomfieldus ad Aesch. Choeph. gl. 579.

38. C. 282: Macar. 318: *καὶ χειρὶ καὶ ποδὶ βοηθεῖ: ὁμοία τῇ πάντα κάλων σείειν*: Zenob. V, 62. Versus ex Eurip. Hecub. 837 desumptus est, quocum bene Pflugkius contulit Aeschinem de falsa legat. §. 115: *τιμωρήσειν καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ πάσῃ δυνάμει*: adv. Cte-

39 *Κακὰ κακῶν*: *τὰ ὑπερβολικὰ κακά.*

40 *Καλλίου*: *πιθήκου. Τὰ δυσχερῆ γὰρ τῶν ὀνομάτων εὐφημότερον εἰώθασιν οἱ Ἀττικοὶ προφέρεσθαι, καὶ τὸν πίθηκον οὖν καλλίαν προσηγόρευσαν· οὕτω καὶ τὰς Ἐριννύας Εὐμενίδας λέγουσιν.*

41 *Καν θάρου μελάντερος*: *ἐπὶ τῶν καθ' ὑπερβολὴν λεγομένων.*

42 *Κἂν ἴσαι ψῆφοι γένωνται*: *ἀπὸ τῶν ἐν τοῖς δικαστηρίοις ψήφων. Ἀπελύοντο δὲ οἱ κρινόμενοι, ὅτε ἴσαι αἱ ψῆφοι ἐγίνοντο.*

---

1. Phot., Suidas addunt: *Διοκλῆς Βακχῇ· Πλυνεῖ τι κακὰ τῶν κακῶν ὑμᾶς.* 3. C *προσφέρισθαι*, quod e Suida correxi. 4. *προσηγόρευσαν*] post hanc vocem in Suida leguntur: *Διίναρχος ἐν τῷ κατὰ Πυθίου Ἀλλ', οἶμαι, ὥσπερ οἱ τοὺς καλλίας ἐν τοῖς οἴκοις τρέφοντες· τουτέστι πιθήκους· οὕτω δὲ καὶ κτλ.* 6. *μελάντερον* C, qui pergit: *καὶ Καν θάρου σοφώτερος κτλ.*: v. Zenob. IV, 65. Ut K solus explicationem servaverit. Phot., Suidas nonnisi: *παροιμία. Μένανδρος Θησαυρῷ*: cf. Meinekii Menand. 83. 8. Hesych.: *κἂν ἴσαι, παροιμία, μετενεγμένη κτλ.* *ἐγίνοντο* V.

siph. §. 109: *βοηθήσειν τῷ θεῷ . . καὶ χειρὶ καὶ ποδὶ καὶ πάσῃ δυνάμει*: add. Eurip. Phoeniss. 313; *καὶ χερσὶ καὶ λόγοισιν.*

39. C. 283. Phot. Suidas. Vide interpp. Suidae et G. Hermannum ad Arist. Nub. 915.

40. C. 285. Suidas. *Καλλίου*] »Galen. T. VIII, 663: *εὐήθεις ἄνθρωποι λέγονται μὲν καὶ οἱ κακοήθεις ἐν ὑποκρίσει τινὶ, καθάπερ καὶ ὁ πίθηκος καλλίας.* Unde corrigendum, quod vol. XII, 259 vitiose scribitur *τῷ καλλείᾳ* et *καλλείαν τὸν πίθηκον.* Eandem nominis originem sequitur Helladius ap. Phot. Bibl. 535, 11, ubi de nominibus *κατ' ἀντίφρασιν* impositis agit, et Pindarus qui Pyth II, 132 dixerit, *καλός τοι πίθων παρὰ παισὶν ἀεὶ καλὸς* secutus esse visus est interpretibus. *Καλλίαρ παρὰ Λάκωσιν* annotavit Hesych.« G. Dindorfius in Steph. Thes. L. Gr. s. *καλλίας.* *Εὐμενίδας*] Eustath. ad Hom. Od. *A*, 1398, 53: *καὶ ἔστι τὸ σχῆμα εὐφημισμός, ἀγαθῇ κλήσει περιστέλλων τὸ φαῦλον. ὥσπερ καὶ τὰς Ἐρινῦς Εὐμενίδας διὰ τὸ εὔφημον κατωνόμαζον καίτοι δυσμενεῖς οὔσας*: id. p. 763, 36: alii nominis mutationem ex Orestea fabula derivant: cf. Schol. ad Soph. Oed. Col. 42, quem excerpsit Suidas s. *Εὐμενίδες*, addens tamen: *καὶ παροιμία· ἄλλα δ' ἀλλαχοῦ καλά* [verba Sophoclis l. c.]· *παρόσον ἄλλοι ἄλλοις ὀνόμασιν καλοῦσιν αὐτάς*, quae sumpsit e Schol. ad Soph. Oed. Col. 43. Conf. C. O. Muellerus ad Aesch. Eumen. p. 176.

41. K. III, 70. C. 288. Apost. X, 74. Arsen. 316: Phot. Suidas.

42. V. II, 31. B. 532. Schol. ad Arist. Ran. 697: *αἱ ψῆφοι δηλονότι, αἱ λευκαὶ καὶ αἱ μέλαιναι. ὑπερβολικῶς δὲ εἶπεν, ὅταν γὰρ ἴσαι γένωνται αἱ ψῆφοι, ἀπολύεται ὁ κατηγορούμενος. πρὸς τὸ ἔθος δέ, ὅτι φεύγων ἀπολύεται ἴσων τῶν ψήφων ἐνεχθεισῶν· ἀπὸ τοῦ κατὰ τὸν Ὀρέστην γενομένου. Εὐριπίδης ἐν Ἰφιγενείᾳ τῇ ἐν Ταύροις* [v. 1470: cf. ibid. 966.]· *ἐξέσωσά σε καὶ πρίν γ' Ἀρείοις ἐν πάγοις ψήφους ἴσας Κρίνασ', Ὀρέστα*: Hesych. Suidas s. *ἴσαι*, s. *ὡς ἀπόλριτο*: cf. sup. 30. Ver-

43 *Καπνίας ποιητής: ὁ μηδὲν λαμπρὸν γράφων. Καὶ οἶνος καπνίας ὁ κεκαπνισμένος, καὶ Κάπνιος ἄμπελος ἡ μέλαινα.*

44 *Καπνοῦ σκιά: ἐπὶ τῶν λίαν ἰσχνῶν, καὶ ἐπὶ τῶν ἀστάτων καὶ ἀφανῶν.*

---

1. *Καπνίας*: *Ἐφαντίδης, διὰ τὸ μηδὲν λαμπρὸν γράφειν* Photius. 2. *οἶνος Καπνίας*] V *οἷον ὁ καπνίας*. 4. Macarius: *καπνοῦ σκιὰν δεδοικέναι: ἐπὶ τῶν τὰ μηδενὸς ἄξια φοβουμένων.* Addit Suidas: *καὶ παροιμία, Καπνὸν εἶναι ἡγούμην· ἐπὶ τῶν οὐδαμινῶν καὶ οὐδενὸς ἀξίων.*

sus est Aristoph. Ran. 685: *ὡς ἀπολεῖται* [sc. Cleophon], *κἂν ἴσαι γένωνται*. De calculo Minervae v. C. O. Muellerus Append. ad Aesch. Eumen. p. 40 sqq.

43. V. II, 23. B. 533. Schol. ad Arist. Vespp. 151: *τὸν ὑπικλυόμενον οἰνάν φασί τινες καπνίαν λέγεσθαι. ἐν δὲ τοῖς περὶ Κρατῖνον* [R *Κρατίνο·*] *διώρισται, ἢ τὸ* [*ὅτι τὸ* R.] *ἀπόθετον ἢ καὶ παλαιόν· διὸ* [*καὶ* R addit] *Ἐφαντίδην Καπνίαν καλοῦσιν*: Hesych. Phot. Suidas. V. *μηδὲν λ. γρ.* significant, Ecphantidem inventionis et orationis vere poeticae laude non flornisse: sic fere Maussacus ad Hesych., Naekius ad Choeril. frr. 52. Meinekius Comicc. Grr. frr. I, 36. Aliter Lehrsius Quaest. Epicc. 23, qui secutus Scholiastam Aristoph. l. c. contendit, Ecphantidem sive colore sive sapore sive temperamento similem fuisse vino fumato: explicationem enim illam *μηδὲν λ. γρ.* aperte ex vocabulo *καπνὸς* factam nec admodum probabile esse, illis vetustis (?) temporibus comico ex dicendi genere cognomen adhaesisse. Potest in utramque partem disputari: verisimilior certe est prior ratio. Non multo post Ecphantidem *Καπνοῦ* cognomen accepit Theagenes, *ὅτι πολλὰ ὑπισχνούμενος οὐδὲν ἐτέλει*, ut explicat Schol. ad Aristoph. Av. 822: etiam alios aliis de causis eodem nomine ironice praeditos esse ex Aristophonte comico apud Athen. VI, 238 C colligitur. K. *οἶνος*] Suidas: *ὃς γίνεται ἐν Βενεβεντῷ τῆς Ἰταλίας*; cf. Schweighaeuserus ad Athen. I, 31, E Schneiderus ad Colum. R. R. 1, 6, 20. Memoratur a Pherecrate ap. Athen. VI, 269 D, aliis. K. *ἄμπελος*] Schol. Arist. l. c.: *ἅμα δὲ καὶ κάπνη εἶδος ἀμπέλου ξηρότατον καὶ δριμύτατον οἶνον ποιούσης, ὁμοίως καπνῷ ποιοῦντα δάκρυα*; cf. interpp. Hesychii.

44. C. 289. Macar. 318: Phrynichus Bekk. Anecdd. I, 48, 14. Suidas. Usurpat. Soph. Antig. 1170: *τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς Οὐκ ἂν πριαίμην*, quem locum Eustath ad Hom. Il. *I*, 757, 31 contendit cum Pindarico *σκιᾶς ὄναρ ἄνθρωπος*: add. id. Philoct. 947, Liban. Epist. 200: *τοῦτο δέ, ἢν μὲν ἐθέλῃς, ἰσχυρὸν ἡμῖν, εἰ δὲ μή, καπνοῦ σκιά*: dicebatur igitur de rebus nullius pretii, de nugis: cf. Schol. ad Arist. Nub. 252: *τὰ γὰρ μηδενὸς ἄξια καπνοὺς καὶ σκιὰς καὶ νεφέλας ὀνομάζομεν· Εὔπολις ἐν Αὐτολύκῳ* [fr. 51 Runkel.]· *καπνοὺς ἀποφαίνει καὶ σκιάς*: v. Eurip. Hippol. 954. Arist. Nub. 320. Plat. Reip. IX, 581 D. Similiter dicebatur *Καθάρου σκιά*: v. Apost. X, 93. Arsen. 316 ibiq. Macarius. Alia etiam ex proprio vocabuli *καπνὸς* sensu proverbia ducta sunt: cf Eustath. ad Hom. Il. *I*, 750, 40: *ἐκ τοῦ καπνοῦ καὶ παροιμία τὸ, ὑπὲρ καπνοῦ τὸ πηδάλιον, ἐπὶ τῶν ἀργούντων καὶ καταμελούντων τέχνης* [cf. He-

45 *Καρκίνου πορεία: ἡ ἀργὴ καὶ δυσδιόρθωτος.*

46 *Κήρινος θάνατος: Κλεινίας ἐν Κρότωνι τυραννίδα κατασκευασάμενος περὶ τῆς ἀρχῆς ἀνηρώτα τὸν θεόν· ὁ δὲ ἀνεῖπεν, ὡς κήρινος αὐτὸν ἀναμένει θάνατος. Ἐκ δὲ τῆς Θουρίας δύο νεανίσκοι ἐπέστησαν γραμματίδιον ἀναδιδόντες, ἐν ὅσῳ δὲ λύων τοῦτο ἀνεγίνωσκεν ὑπ' αὐτῶν ἀνῃρέθη.*

47 *Κόγχην διελεῖν: ἐπὶ τῶν ῥᾳδίως τι ποιούντων· καὶ Κόγχην διεῖλες, ἀντὶ τοῦ ἴσον ἐποίησας.*

48 *Κόντῳ πλεῖν: ἐπὶ τοῦ προσηκόντως ζῆν.*

49 *Κορδύλης οὐκ ἄξιος: κορδύλη πᾶν τὸ διεστραμμένον καὶ ἐξέχον· λέγεται καὶ περὶ τὸν ὦμον δεσμὸς κορδύλη.*

50 *Κορίνθιος ξένος.*

---

2. *Κλεινίας*] VB *Καινίας*: correxit Schillerus. *ἀνεῖπεν* VAB Gaisfordus: Schottus ex conjectura *ἀνεῖλε*. 5. *Θουρίας*] Steph. Byz. s. *Θούριοι*: . . *λέγεται καὶ Θουρία καὶ Θούριον*, ubi v. Holstenium. 8. *ποιούντων*] *πονούντων* Gaisfordus. 9. *καὶ* V om. 11. *συντεστραμμένον* Suidas. 12. *περὶ*] *παρὰ* Suidas. 14. Hesychius: *ἐπὶ τῶν τὰς λαταγὰς* [sic emendavit Piersonus in Moerin p. 254 Lugd. vitiosam codicis lectionem *ἀλλαγὰς*.] *ῥιπτούντων*.

siod. *Ἔργ.* 45. 629 ibiq. v. Scholl. et Gaisfordus, Arist. Av. 434 et Acharn. 278 c. Scholl., Boeckhius ad Corp. Inscrr. Grr. I p. 20.]· . . *καὶ ὅτι ἐξ αὐτοῦ καὶ καπνοσφράντης παροιμιακῶς ὁ φιδωλός· καὶ ῥῆμα καπνίζειν τὸ ἐπὶ εὐωχίᾳ πῦρ ἀνάπτειν· ὅθεν καὶ κρέα καπνιστὰ παρὰ Ἀθηναίῳ*, III, 153 C: add. id. ad Odyss. *M*, 1718, 51: . . *καὶ ὅτι οὐ πᾶς καπνὸς ἀηδὴς, ἀλλ' εἰσὶν οἳ χαρὰν ὑποκινοῦσι· . . ὡς ὁ τὸν παρὰ τῇ κωμῳδίᾳ καπνοσφράντην συντιθεὶς*: ib. *Π*, 288, 1802, 57: *τὸ δὲ ἐκ καπνοῦ κατέθηκα, ἀντὶ τοῦ ἔξω καπνοῦ. καὶ ἔστιν ἀνάπαλιν πρὸς τὸ ὑπὲρ καπνοῦ· ἐκεῖνο μὲν γὰρ ὡς ἐπὶ πολὺ ἐπὶ τῶν ἀμελουμένων παροιμιάζεται, οἷα ὑπὲρ καπνοῦ τιθεμένων ἤδη πως καὶ ἀμελουμένων. τὸ δὲ ἐκ καπνοῦ ἐπιμέλειαν δηλοῖ, ἐπεὶ μὴ ἐῶνται τὰ τοιαῦτα σώματα καπνίζεσθαι, ἀλλὰ δηλαδὴ ἐκτὸς καπνοῦ τίθενται, ἵνα λαμπρὰ ὦσι καὶ οὕτως ἐκπληκτικά.*

45. C. 290. Arist. Pac. 1083: *οὔποτε ποιήσεις τὸν καρκίνον ὀρθὰ βαδίζειν*: Apost. XI, 11. Arsen. 317.

46. V. II, 42. B. 577. De Clinia cf. Schillerus de Rebus Thurior. 22.

47. V. II, 33. B. 544. Hesych. Suidas. Usurpat Teleclides Athen. III, 87 A, ubi v. Casaubonus.

48. V. II, 34. B. 545. Hesych. Suidas.

49. V. II, 27. B. 525. Suidas. De v. *κορδύλη* v. Bekk. Anecdd. 1, 105, 3. Hesych. interpp. Suidae.

50. B. 547. Hesychius. Manavit ex Euripidis Stheneboea: vid. Fritzschius ad Arist. Thesmoph. 402.

51 *Κρότωνος ὑγιέστερος: κρότων ζῷόν ἐστι ἐν τοῖς κυσὶ καὶ βουσὶ γινόμενον.*

52 *Κύλλου πήραν: κυλλοὺς Ἀττικοὶ καὶ ἐπὶ τῶν ποδῶν καὶ ἐπὶ τῶν χειρῶν ὁμοίως λέγουσιν. Οἱ δὲ κύλλου φασὶ βαρυτόνως, ἐπὶ τῶν τὴν φύσιν βιαζομένων ἐξ ἐπιτεχνήσεως. Ἔστι δὲ τόπος ἐν Ἀττικῇ Κύλλου πήρα, ἐν ᾧ καὶ κρήνη· πίνουσαι δὲ ἐξ αὐτῆς αἱ στερίφαι συλλαμβάνουσιν.*

53 *Κύων ἐν προθύρῳ: ἐπὶ τῶν ἐν τοῖς δικαίοις τολμηρῶν.*

54 *Κύων ἐν ῥόδοις: ἐπὶ τῶν μὴ αἰσθανομένων ἐν μεγάλοις ὄντων· ἢ ἐπὶ τῶν μείζοσιν ἢ καθ' αὑτοὺς ὄντων.*

---

1. C: *ἐπὶ τῶν πάνυ ἐῤῥωμένων καὶ ἰσχυρῶν. Κρότων γὰρ ἐγένετό τις ἀθλητὴς Συβαριτικός.* Κρ. ὑγιεινότερος Macarius. 3. *Κυλλουπήραν* nonnullos scripsisse a Suida annotatur. *καὶ ἐπὶ τ. ποδῶν* B om. 6. *ἔστι*] V *ἔτι*. 7. *ᾧ*] VB *ἣ*· *πίνουσι* V. *στερίφαι καὶ* V. 11. *ἐπὶ . . ἢ*] Macarius om. 12. *ὄντων*] *διαιτωμένων* rectius Macarius.

51. B. 559. C. 295. Macar. 323: Eustath. ad Hom. Od. *P*, 300 p. 1821, 45, ad Dionys. Perieg. 369: *καὶ τὸ Κρότωνος ὑγ., ὡς ὁ αὐτὸς λέγει Γεωγράφος, ἐντεῦθεν εἴληπται, ὡς τῶν Κροτωνιατῶν εὐρώστων ὄντων* [cf. O. Muellerus Dorr. II, 308.]· *ὥστε οἱ ἀπὸ τοῦ κρότωνος τοῦ ζωϋφίου, ὃν κυνοραϊστὴν λέγει ὁ Ὅμηρος, εἰπόντες εἰλῆφθαι τὴν παροιμίαν, οὐκ εὖ λέγουσιν, ἀλλὰ παίζουσιν, ὡς καὶ εἴ τις εἴποι τινὰ κώνωπος ἀδικώτερον*: Schol. ad Arist. Equitt. 1100: Hesych. Phot. Suidas: v. Zenob. VI, 27: add. Schol. ad Theocr. IV, 33: *διέφερε δὲ ἡ Κρότων τῶν ἐπὶ Ἰταλίᾳ πόλεων εὐανδρίᾳ καὶ τῇ λοιπῇ εὐδαιμονίᾳ· ὅθεν καὶ εἰς παροιμίαν ἐλθεῖν, Μάταια τἄλλα πρὸς Κρότωνα τἄστεα.* De ricina v. Aristot. H. Anim. V, 31. Plin. N. H. XXX, 24. Schol. ad Hom. Odyss. l. c., Hesych. Phot. Suidas. Adagium adhibuit Liban. Epist. 362: *καίτοι θῶμεν τὸν νίον ὑγιέστερον εἶναι Κρότωνος*: ibid. 386. 1239: v. Krischius de Pythag. Societ. 13 sq.

52. V. II, 38. B. 571. Macar. 324: *ἐπὶ τῶν μὴ δυναμένων, ὧν ἔχουσιν, ἀπολαύειν*: Hesych. Phot. Suidas. *Κυλλοὺς . . λέγουσιν*] explicatio e Pausaniae lexico rhetorico desumpta; cf. Eustath. ad Hom. Il. *B*, 206, 44. Proverbium Cratinus et Aristophanes adhibuerunt: cf. Hesych., Phot., G. Dindorfius Aristoph. frr. p. 129. Schneidewinus apud Bergkium Comm. de Reliq. Com. Gr. Antiq. p. 439. »Suidas amplius, Atticae locum esse juxta Hymettum, in quo et Veneris fanum sit et fons limpidus, quo quae biberint mulieres (quod dictu est incredibile) concipere crederentur.« Schottus.

53. C. 297. Senec. de morte Claud. Caes. c. 4.: *Claudius ut vidit virum valentem, oblitus nugarum intellexit neminem parem sibi Romae fuisse: illic non habere se idem gratiae: gallum in suo sterquilinio plurimum posse;* ubi annotat B. Rhenanus p. 943 ed. Lutet. 1627, simili proverbio nostrates vulgo dictitare: *Canis in suo sterquilinio sive in suarum aedium vestibulo ferocior est.* Notum est illud: *Cave canem.*

54. C. 298. Macar. 324. An-

55 *Κύων κυνὸς οὐχ ἅπτεται*: *ἐπὶ τῶν τοὺς ὁμοίους φυλαττομένων.*

56 *Κῶνος ἀρτοξύει*: *ἐπὶ τῶν ἀνταποδιδόντων.*

57 *Λάβρακας Μιλησίους*: *ὅταν ἐν ἀγορᾷ εἰς πλῆθος φανῶσιν· ἐν γὰρ τῇ Μιλήτῳ πλεῖστοί τε καὶ μέγιστοι εἰσίν.*

58 *Λεβηρίδος τυφλότερος*: *τὸ τοῦ ὄφεως δέρμα φασὶ λεβηρίδα· ἕτεροι δὲ τὸ τοῦ κυάμου λέπισμα.*

59 *Λεπτὴν πλέκειν*: *ἐπὶ τῶν πενιχρῶν τοῦτο λέγεται· οἷον ἀκριβῆ, στενὴν, ἀσθενῆ.*

60 *Λευκὴ ἡμέρα*: *ἡ ἀγαθὴ, καὶ ἐπ' εὐφροσύνης, καὶ λευκὸν ἀγαθὸν, ἐπὶ τοῦ ἡδέος.*

---

3 In Hesychio exstat: *Κωνόσαρκον. ξύει*, ubi Sopingius conjecit *κῶνος ἄρτον ξύει*: Suidas: *κόνος ἀρτοξύη*. 4. *ὅταν κτλ.*] sic haec edidit Gaisfordus, praemissa hac nota: »Cf. Suidas« Suidas haec habet: *Καὶ παροιμία· Λάβρακας Μιλησίους. τὴν δὲ προσηγορίαν πεποίηται, διότι κίχρην αὐτοῦ τὸ στόμα, καὶ ἀθρόως καὶ λάβρως τὸ δίκεαρ καταπίνει· ὅθεν καὶ εὐχερῶς ἁλίσκεται. ἐν Μιλήτῳ γὰρ τῆς Ἀσίας μίγιστοι γίνονται λάβρακες καὶ πλεῖστοι. Μίλητος δὲ πόλις Ἀσίας, ἔνθα πολλοὶ γίνονται λάβρακες διὰ τὴν ἐκδιδοῦσαν λίμνην εἰς τὴν θάλασσαν· χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι εἰς τὴν λίμνην ἀνατρέχουσιν ἐκ τῆς θαλάσσης, καὶ οὕτω πληθύνουσι παρὰ Μιλησίοις*, quae desumpta sunt e Schol. ad Aristoph. l. c. 8. *φησὶ* B. 9. *πλέκει* Apostolius cum reliquis.

thol. Palat. XII, 236: *Εὐνοῦχός τις ἔχει καλὰ παιδία· πρὸς τίνα χρῆσιν; .. Ὄντως ὡς ὁ κύων φάτνῃ ῥόδα, μωρὰ δ' ὑλακτῶν, Οὐθ' αὑτῷ παρέχει τἀγαθὸν, οὔθ' ἑτέρῳ*: ubi turbas, quas de vv. *φάτνῃ ῥόδα* homines docti civere, nostrum adagium dissipat: cf. Jacobsius ad Anthol. Pal. III, p. LXXXV et nott. ad Greg. Cypr. II, 61.

55. C. 299. Macar. 324. Similiter Latini: *Canis caninam non est*: v. Varro L. L. VII, 31 Muell.: add. Aesch. Suppl. 226: *ὄρνιθος ὄρνις πῶς ἂν ἀγνεύοι φαγών*: cf. Mitscherlichius ad Horat. Epod. 7, 11. Rupertus ad Juven. XV, 159.

56. B. 565 *b*. Hesychius, Suid. s. *κόνος*.

57. C. 300. Apost. XI, 70. Arsen. 351: Suidas. *Ἐπὶ τῶν λαιμάργων* proverbium dici Apostolius et Arsenius annotant. Alludit Aristoph. Equitt. 361. De pisce v. Aelian. N. Anim. I, 30. Ebertus Diss. Sicul. I, 199.

58. V. II, 50. B. 593: cf. Zenob. II, 95. *ἕτεροι κτλ.*] eandem vocis significationem tetigit Hesychius v. *λεβηρίς*.

59. B. 594. Apost. XI, 87. Arsen. 334: Hesych. Phot. Suidas. Simile proverbium, *λεπτὰ ξαίνεις*, affert Suidas.

60. C. 303. Macar. 340. Herodian. 473 Lob., Hesych. Phot. Suidas. Bekkeri Anecdd. I, 106, 33. Thom. Magist. 223, 14 Ritschl.: cf. Zenob. VI, 13: a Zenobio in dictionis proverbialis origine expedienda recedit Plutarchus V. Pericl. 27: *ἐπεὶ δὲ δυσχεραίνοντας τῇ τριβῇ τοὺς Ἀθηναίους καὶ μάχεσθαι προθυμουμέ-*

61 *Λευκοὶ τοὺς δειλοὺς ὀνειδίζουσιν: ἐπὶ τῶν ἑτέροις τὰ προσόντα αὐτοῖς κακὰ προσφερόντων, παρόσον οἱ λευκοὶ δειλοί.*

62 *Λευκόπυγος: ἐπὶ τῶν δειλῶν καὶ ἀνάνδρων. Τοιοῦτοι γὰρ οἱ μὴ πονοῦντες ἐν ἔργοις. Τούτῳ δὲ ἐναντίον τὸ μελάμπυγος, ἐπὶ τῶν γενναίων. Οἱ γὰρ πονοῦντες ἔντριχον ἔχουσι τὴν πυγήν.*

63 *Λεχὼ λέαιναν καὶ κακὸς κύων φοβεῖ: πρὸς τοὺς πεφοβημένους τὰ μὴ δέους ἄξια, παρόσον ἡ λέαινα τεκοῦσα καὶ τὰ μικρὰ φοβεῖται.*

64 *Λέων ξίφος ἔχων: ἐπὶ τῶν φύσει μὲν ἀνδρείων, ἑτέραν δὲ προσλαμβανόντων ἔξωθεν βοήθειαν.*

65 *Λήθαργος κύων: ὁ προσταίνων μὲν, δάκνων δὲ λάθρα.*

66 *Λήμνιον βλέπει: πυρῶδες, ἐπειδὴ τὸ πῦρ Λήμνιον.*

---

13. *Λάθαργος* Phrynichus. Macarius explicat: *ἐπὶ τῶν λάθρα καὶ σιωπῇ κακῶς τινα διαπραττομένων.* 15. K: *Λ. βλέπεις, ἤτοι πυρῶδες*, omissis reliquis. *Λήμνιον*] Apost., Arsenius addunt: *ἀπὸ τοῦ Ἡφαίστου.*

νους ἔργον ἦν κατάσχειν, ὀκτὼ μέρη δειλῶν τὸ πᾶν πλῆθος ἀπεκλήρου [Pericles] *καὶ τῷ λαβόντι τὸν λευκὸν κύαμον εὐωχεῖσθαι καὶ σχολάζειν παρεῖχε, τῶν ἄλλων μαχομένων. Διὸ καὶ φασι τοὺς ἐν εὐπαθείαις τισὶ γενομένους λευκὴν ἡμέραν ἐκείνην ἀπὸ τοῦ λευκοῦ κυάμου προσαγορεύειν*: ad quem locum v. Sintenis. Usurpaverunt Sophocles Athamante, fr. 10 Dind., Eupolis *Κόλαξι*, fr. 154 Runkel.: alios indicant Piersonus ad Moer. 477 Lugd., Boissonadus ad Eunap. 1, 510: add. Firmus Episc. Caesar. in Epist. ap. Murator. Anecdd. T. V, p. 292: *ἐκ χειμῶνος καὶ τρικυμίας γαλήνην εἶδον καὶ ἡμέραν, τὸ τοῦ λόγου, λευκήν. Λ. ἀγαθὸν* affert Phrynichus Bekk. Anecdd. I, 50, 15. Pertinet huc aliud proverbium a Macario 446 allatum: *τὴν δὲ αὐτὴν καὶ λευκὴν καὶ εἰρηνικὴν λέγουσιν: ἐλήφθη δὲ ἡ παροιμία ἀπὸ τῶν Σκυθῶν.*

61. C. 305. De significatu vocis *λευκὸς* cf. infr. IV, 35.

62. C. 304: Eustath. ad Hom. Il. *Λ.* 572 p. 863, 29: *τὸ λευκὸν ἐλοιδορεῖτο τοῖς παλαιοῖς· ὅθεν, φασί, καὶ Ἄλεξις ὁ κωμικὸς λευκόπυγον ἔφη τὸν ἄνανδρον, οὓς ἔμπαλιν μελαμπύγους τοὺς ἀνδρείους ἔλεγον, ὅθεν καὶ παροιμία τὸ, οὕπω μελαμπύγῳ ἐνέτυχες, ὁποῖός τις ἐν ἱστορίαις φέρεται καὶ ὁ Ἡρακλῆς*: Schol. ad Arist. Lysist. 803: Hesych. Phot. Suidas: v. Zenob. V, 10: add. Schol. Ven. ad Hom. Il. *Λ*, 141: *ἐπὶ παντὸς γὰρ ζῴου τὸ μελάγχρουν ἐστὶν ἰσχυρότερον.*

63. C. 308. *Λεχὼ* est *ἡ ἀρτίτοκος, ἢ προσφάτως τετοκυῖα*, ut explicant Hesych. Phot. Suidas. Cf. Diogen. II, 100.

64. C. 309. Macar. 340.

65. K. III, 79. Apost. XI, 97. Macar. 340: Phrynichus Bekk. Anecdd. I, 50, 29: cf. Zenob. IV, 90.

66. B. 601. K. III, 73. Apost.

67 *Λίθον ἔψεις*: *ἐπὶ τῶν ἀδύνατόν τι κατεργάζεσθαι ἐπιχειρούντων.*

68 *Λίθῳ λαλεῖς*: *ἐπὶ τῶν ἀναισθήτων.*

69 *Λίθων χοαί*: *ἄργυρος καὶ χρυσός. Καὶ γὰρ Εὐριπίδης φησί,*

Λευκοὺς λίθους ἔχοντες αὐχοῦσιν μέγα.

70 *Λυγκέως ὅμοιος*: *οὗτος ὀξυδερκέστατος γέγονεν, ὡς καὶ τὰ ὑπὸ γῆν ὁρᾶν.*

71 *Λυγκέως ὀξύτερον βλέπει*: *ἐπὶ τῶν ὀξυδορκούντων. Οὗτος γὰρ ὁ Λυγκεὺς εὗρε τὰ ὑπὸ γῆν μέταλλα χρυσίου καὶ κασσιτέρου καὶ τῶν λοιπῶν· οἱ δέ φασιν ὅτι ὁ λυγκεὺς θηρίον ἐστὶ ὀξυδερκέστατον.*

---

4. *γάρ*] delevit particulam Bernhardy ad Suid. 5. *φησὶ* V om. 6. *ἔχοντες*] *φέροντες* K. 9. *ὀξυωπέστερον* Suidas, et sic adhibet Athen. III, 75. E. *βλέπεις* Suidas, *ὁρᾷς* Apost., Arsenius. 10. *οὗτος κτλ.*] explicatio desumpta e Palaephato, c. 10: eandem repetunt Apost., Arsenius, Schol. ad Arist. Plut. l. c. 11. *τῶν λοιπῶν*] C *τὰ λοιπά*: Schol. Arist.: *πρῶτος οὗτος εὗρε μέταλλα χρυσοῦ καὶ σιδήρου καὶ τῶν ἄλλων.*

XI, 99. Arsen. 335: Eustath. ad Hom. Il. *B*, 158, 15: *ὡς οἱ Λήμνιοι ἄγριοι δηλοῖ καὶ παροιμία, Λημνίαν χεῖρα εἰποῦσα τὴν ἀπαραίτητον, καὶ Λήμνιον βλέπειν ἀντὶ τοῦ δεινὸν καὶ πυρῶδες· ἐκεῖθεν δὲ καὶ Λήμνιον κακὸν* [Zenob. IV, 91: add. Schol. ad Eurip. Hecub. 870. Zonar. 1306.], *ἢ ἀπὸ τῆς κατὰ στόμα δυσωδίας τῶν Λημνιάδων ἢ μᾶλλον ἀπὸ τῶν θρυλλομένων φόνων*: Hesych. Suidas. A Mosychli flamma proverbium derivat et illustrat Rhodius R. Lemm. 8 sq.

67. V. II, 56. B. 605. Apost. XII, 100. Arsen. 336: Schol. ad Arist. Vespp. 284. ad Plat. Eryx. p. 466 Bekk. Syrian. in Hermog. IV, 139 Walz.: Phrynichus Bekk. Anecdd. I, 69, 26. Hesych. Phot. Suidas: cf. Diogen. I, 45. »Usurpat Arist. Vesp. 280: *λίθον ἔψεις ἔλεγεν.* Addo equidem Platonis locum in Eryxia, 405 C: *καταμαθὼν δὲ αὐτὸν ἐγὼ ὅτι ἴσον εἴη πεῖσαι, ὅπερ ἂν τὸ λεγόμενον, λίθον ἑψῆσαι.*« Schottus. Isidorum Pelusiotam Epist. III, 67 citavit Albertus: *τί μάτην κάμνεις κατὰ πετρῶν σπείρων; ... παῦσαι ματαιοπονῶν καὶ Αἰθίοπα σμήχων καὶ εἰς πῦρ ξαίνων καὶ λίθον ἑψῶν*: adde quos collegit Walzius ad Arsen. l. c.

68. C. 312. Macar. 336: v. Plutarch. Boiss. 24. Optime illustratur iis, quae Jacobsius collegit ad Achill. Tat. II, 815 sq.

69 V. II, 57. B. 606: Hesychius: *αἱ διὰ λίθων ἐκχύσεις, καὶ χύτροινοι· χόας δὲ ἐκ λίθων, ὑπονόμους καὶ χυτρίνους οὓς καὶ διώρυγας*: cum nostro consentiunt Photius, Suidas. *Εὐριπίδης*] fr. 154 Dindorf.

70. V. II, 64. B. 622.

71. C 316. Apost. XII, 13. Arsen. 337: Schol. ad Plat. Epist. VII, p. 463 Bekk.: Suidas: cf. infr. IV, 30. Usurpat Aristoph. Plut. 210: *βλέποντ' ἀποδείξω σ' ὀξύτερον τοῦ Λυγκέως*: alios collegerunt C. O. Muellerus de Lynceis dissert., Gotting. 1837 p. 5. Boissonadus ad Theophyl. Simoc. Opusc. 267. *οἱ δὲ*

72 *Λύκειος*: *Ἀπόλλωνος ἐπίθετον· καὶ τόπος, ἐν ᾧ πρῆναι ἀνεδόθησαν, ἡ μὲν οἴνου, ἡ δὲ μέλιτος, ἐν αἷς συνέβαινε τὰ ζῶα προσιζάνειν καὶ τοξεύεσθαι.*

73 *Λύκος αἶγας ἐκκαλῶν*: *ἐπὶ τῶν καθυποκρινομένων φιλίαν ἐχθρῶν.*

74 *Λύκος ἐν αἰτίᾳ γίνεται, κἂν φέρῃ κἂν μὴ φέρῃ*: *πρὸς τὸν ἐκ παντὸς τρόπου ἐν αἰτίᾳ γινόμενον.*

75 *Λύκος κρέας νέμει*: *ἐπὶ τοῦ πλεονεκτεῖν καὶ διδόναι βουλομένου.*

76 *Λύκος λέοντι συμβάλλει πεφραγμένῳ*: *ἐπὶ τῶν ἀσθενῶν καὶ δυνατωτέροις συμβαλλόντων.*

77 *Λύκου ῥήματα*: *ἐπὶ τοῦ καὶ λόγοις καὶ ἔργοις ἀδικοῦντος.*

78 *Λύκου στέγη*: *ἐπὶ τοῦ πενιχροῦ παντάπασι καὶ οὐδὲν ἔχοντος ἀποκείμενον.*

79 *Μάϊς καὶ Θίμβις*: *ταῦτα ὀνόματά εἰσι Φρυγικά, διὸ καὶ ἐπιφωνεῖται, εἷς Μάϊς ἐν Φρυγίᾳ. Τὸν δὲ Θίμβιν ὁ Μένανδρος συνεχῶς Τίβιον ὀνομάζει· καὶ ὅλη ἡ Φρυγία Τιβία καλεῖται.*

80 *Μαντικὴ ψυχή*: *ἐπὶ τῶν τὰ μέλλοντα προορωμένων. Πλάτων Φαίδρῳ.*

---

6. *αἰτίᾳ*] Macarius *φιλίᾳ*. 16. *Μαγὶς* Schottus, *Μάνης* Hemsterhusius ad Lucian. Timon. §. 22: cf. sup. App. II, 18. *Θίμβης* Schottus, *Τίβης* Hemsterhusius. *Φρυγιακὰ* Hemsterhusius. 17. *εἷς .. Φρυγία*] quasi nullum fere hominis aliud ibi nomen reperiatur: Hemsterhusius. *Μάϊς*] *Μαγὶς* V, Schottus, *Μάνης* Hemsterhusius. *Θίμβην* Schottus, *Τίβην* Hemsterhusius. 20. *μαντικὸν* Macarius.

φασιν κτλ.] v. Suid. s. *λυγκεύς* ibiq. Bernhardy.

72. V. II, 59: cf. Zenob. IV, 99.

73. C. 325. Ductum ex Aesopi fab. 103 Fur., 154 Schneid.: cf. Append. I, 18.

74. C. 323. Macar. 339.

75. C. 324.

76. C. 322.

77. C. 326. Macar. 338: Schol. ad Plat. 318 Bekk.: *λύκου ῥήματα, ἐπὶ . . ἀδικοῦντος· ἰδὼν γὰρ λύκος ποιμένα ἐσθίοντα προβάτια, εἶπεν »ἡλίκος ἂν ἤρθη θόρυβος, εἰ ἐγὼ ταῦτα ἐποίουν;«* quae sumpta sunt ex Aesopi fab. 389 Fur.: Phot. Suid. s. *καὶ τὸ τοῦ λύκου*. Alludit Plat. Phaedr. 272 C.

78. C. 321. Macar. 339.

79. V. II, 71. B. 647. *Μένανδρος*] p. 77. Mein.: de nomine *Τίβιος* v. Strab. VII, 3, 12 p. 303. interpp. ad Lucian. de Saltat. §. 29. *καὶ ὅλη κτλ.*] Steph. Byz. s. *Τίβιον*: *ὄρος Φρυγίας, ἀπὸ Τιβίου τινός· ἐκ τούτου καὶ Τιβίους τοὺς δούλους καλοῦσι*: Suid. s. *Τιβία*.

80. C. 327. Macar. 348. Cf. Diogen. VI, 47.

81 *Μέγα τοι ἄγγελος ἐσθλός: ἐπὶ τῶν ἀγαθὰ ἐπαγγελλόντων.*

82 *Μέδιμνον μέτρον χοινίκων μη.*

83 *Μεδίμνῳ ἀπομετρῶν παρὰ πατρὸς ἀργύριον: ἐπὶ τῶν μεγάλην καὶ ἀθρόαν ὠφέλειαν προσδοκούντων.*

84 *Μελάντερος ζόφου καὶ Μελάντερος πίσσης: ἐπὶ τῶν καθ' ὑπερβολὴν μεμελασμένων.*

85 *Μελίπηκτον: εἶδος πλακοῦντος· καὶ παροιμία, Μελίπηκτα κύνες: ἐπὶ τῶν παρ' ἀξίαν τὰ κάλλιστα ἀπολαυόντων.*

86 *Μεμαγμένη μᾶζα: ἐπὶ τῶν ἑτοίμων ἀγαθῶν.*

87 *Μετὰ νοσούντων μαίνεσθαι φασι καλόν: ὅτι χρὴ συνεξομοιοῦσθαι.*

---

1. τοι] τι V. 2. ἀπαγγελλόντων Suidas. 3. μη] μεν V: emendavit Schottus, et ita edidit Gaisfordus, ut BA sic videantur habere. Ceterum casu quodam in codicibus haec glossa a sequenti proverbio divulsa est: in Suida adhuc cohaeret. 4. ἀπομετρῶ Apost., Arsenius, Suidas. τοῦ πατρὸς iidem et Xenophon. 7. Καὶ κτλ. Suidas om. 13. μετὰ γὰρ Suidas. φασὶ Suidas om.: unde Meinekius Menand. p. 150 conjecit: μετὰ γὰρ νοσούντων ἐστὶ

81. V. II, 75. B. 654. Suidas. Videtur sumptum ex Hom. Il. O, 207: ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' αἴσιμα εἰδῇ: ubi Schol. et Eustathius: ἀντὶ τοῦ ἀγαθόν ἐστι καὶ τὸ συνετὸν εἶναι τὸν ἄγγελον· πολλὰ γὰρ καὶ αὐτὸς κατορθοῖ· διὸ καὶ Εὐριπίδης [fr. inc. 19 Matth.: est versus Aeschyli Choeph. 773.] φησίν· ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος· καὶ Πίνδαρος [Pyth. IV, 493.] δὲ ἔφη· [τῶν δ' Ὁμήρου καὶ τόδε συνθέμενος 'Ῥῆμα πόρσυν'] ἄγγελον ἐσθλὸν [ἐσλὸν ἔφα] τιμὰν μεγίστην [sic] πράγματι παντὶ φέρειν: add. Soph. Antig. 277: στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν: Aesch. Pers. 257.

82 V. II. 67 b. B. 633. Hesych. Phot. Suidas.

83. B. 657. Apost. XII, 54. Arsen. 350: Suidas. Usurpat Xenoph. Hellen. III, 2, 27.

84. B. 674. Ovid. Heroid. XVIII, 7: *ipsa vides coelum pice nigrius:* v Drakenborchius ad Sil. Ital. V, 37: add. Theophr. Charact. XIV, 4: καὶ ὄντος τοῦ Διὸς εἰπεῖν, 'Ηδύ γε τῶν ἄστρων τὸ μίγμα· ἀπαιθριάζοντος δὲ, τοῦτ' ἐκεῖνο, ὅτι δὴ καὶ οἱ ἄλλοι λέγουσι πίσσην: hunc enim in modum locum corruptissimum refingendum esse censeo.

85. C. 331. Suidas. De v. μελίπηκτον disserit Wagnerus ad Alciphr. Epist. I, 39 p. 246. 253: add. Liban. Epist. 1593. interpp. ad Diog. Laert. VI, 44.

86. B. 650. Suid. s. μᾶζα, s. μεμαγμένην, ubi addit: ἔνθεν καὶ παροιμία· μᾶζαν μεμαχὼς τὴν ὑπ' ἐμοῦ μεμαγμένην: v. Aristoph. Equitt. 55, qui ab Archilocho pendere videtur: v. fr. 2 Schneidew.: ἐν δορὶ μίν μοι μᾶζα μεμαγμένη: cf. Zenob. I, 21.

87. V. II, 77. B. 656. Suidas. Sententiam illustrat Valckena-

88 *Μέτωνος ἐνιαυτός*: *Μέτων Ἀθηναῖος ἀστρολόγος, ὁ τὴν ἐννεακαιδεκαετηρίδα συνταξάμενος καὶ ὀνομάσας ἐνιαυτόν· τοὺς οὖν μακρὰς ὑπερθέσεις ποιουμένους ἐπισκώπτοντες ἔλεγον, Ἀναβάλλεσθαι εἰς τὸν Μέτωνος ἐνιαυτόν.*

89 *Μέχρι τῶν ἀμφωτίδων*: *ἐπὶ τῶν ἄγαν πεπληρωμένων, ἀντὶ τοῦ μέχρι τῶν ὤτων.*

90 *Μηδὲν ὑπὲρ τὰ καλάποδα*: *ἀντὶ, μηδὲν ὑπὲρ τὸ μέτρον. Καλάποδον γάρ ἐστι τὸ τοῦ σκυτέως. Μύρμηκα γὰρ τὸν σκυτέα φασὶ τοῦτο εἰπεῖν.*

91 *Μὴ ἔνι δούλων πόλις*: *πόλις ἐστὶν ἐν Λιβύῃ*

μαίνεσθαι καλόν. In fine addit Suidas: *τοῖς παροῦσι· ὅμοιον τῷ· Ὁ μαινομένοις μὴ συμμαινόμενος, οὗτος μαίνεται.* 4. *εἰς*] *ἐπὶ* A. Aliter expedit C: *ἐν ᾧ ἐκλείπουσι τὰ νοσήματα· οὗτος γὰρ ἄριστος ἰατρὸς ἦν*: Suidas: *οὗτος ὁ Μέτων ἄριστος ἐγένετο ἰατρὸς καὶ ἀστρονόμος*; *ἰατρὸς* servat etiam Eudocia p. 299: Schol. Aristoph. *ἀστρονόμος καὶ γεωμέτρης.* Fortasse excidit in Scholiasta v. *ἰατρός.* 7. *ἀντὶ τοῦ* V om. 8. Scribendum est aut *τὸν καλάποδα* aut *τὰ καλαπόδια*: forma enim *καλάπους* pro *καλόπους* non est sollicitanda: cf. Hemsterhusius ad Polluc. X, 141. 11. Lacunosam esse nostram explicationem nemo, opinor, infitiabitur, si cum nostro loco contulerit Stephan. Byz. s. *Δούλων πόλις*, Suid. s. iisdem vocibus, Apostolium VII, 37. Arsen. 184. Itaque post *Πατρεῖς* excidisse putaverim id, quod sic legitur in Stephano: *καὶ ἐὰν δοῦλος εἰς τὴν πόλιν ταύτην λίθον προσενέγκῃ, ἐλεύθερος γίγνεται, κἂν ξένος ᾖ*: tum ante *ἐν ᾗ* κτλ. ex eodem Stephano inserenda: *ἔστι καὶ ἑτέρα Ἱεροδούλων*: quae ratio firmatur iis, quae ex Suida Apostolius transscripsit: sunt autem haec: *Δούλων πόλις* [addit Suidas *παροιμία*, quam vocem Bernhardius ejiciendam censet: fortasse scripsit Suidas: *παροιμία· πόλις ἐν Λιβύῃ. Ἔφορος* κτλ.: v. Stephanum]: *ἐν Λιβύῃ* [*Ἑκαταῖος ἐν περιηγήσει* addit Stephanus: fr. 318. p 136. Klausen.] *Ἔφορος ἑ. καὶ ἑτέρα ἱεροδούλων, ἐν ᾗ εἷς ἐλεύθερός ἐστιν. ἔστι δὲ καὶ ἐν Κρήτῃ δουλόπολις, ὡς Σωσικράτης ἐν τῇ ά τῶν Κρητικῶν. ἔστι δέ τις* [*καὶ* adjicit Suidas.] *περὶ Θρᾴκην Πονηρόπολις, ἣν Φίλιππόν φασι συνοικίσαι, τοὺς ἐπὶ πονηρίᾳ διαβαλλομένους αὐτόθι συναγαγόντα, συκοφάντας, ψευδομάρτυρας καὶ τοὺς συνηγόρους καὶ τοὺς ἄλλους πονηροὺς ὡς διχιλίους, ὡς Θεόπομπος ἐν ιγ' τῶν Φιλιππικῶν φησί.* Ceterum V pro *Πατρεῖς* exhibet *Παταρεῖς* et verba ante v. *Φίλιππος* omittit. Denique moneo, ante v. *ἀναβοῶντα* inserendum videri v. *ἀφελόμενον* vel simile quid.

rius ad Eurip. Phoeniss. 397 p. 250 Lugd.

88. V. II, 92. B. 672. C. 234. Schol. ad Aristoph. Av. 997. Suidas. De re cf. Ideleri dissert. de Metonis cycl. in Actt. Academ. Berol. 1814 p. 235 sq. Alludit Cicer. Epist. ad Attic. XII, 3, 2: *Quando iste Metonis annus veniet?* de quo loco v. Ernestum in Clav. Cicer. s. Meton.

89. V. II, 73. B. 651. Suid. s. *ἀμφῶτις*, s. *μέχρι.*

90. C. 336. Macar. 356. Ab Apelle pictore proverbium derivant Valer. Maxim. VIII, 12 fin. Plin. N. H. XXXV, 36, 81.

91. V. II, 94. B. 675. De

*Λούλων πόλις καλουμένη, ὡς Μνασέας ἱστορεῖ ὁ Πατρεύς· ** καὶ τὸν εἰς ἐλευθερίαν** ἀναβοῶντα λέγειν.*

Οὐκ ἔστι δούλων οὐδ' ἐλευθέρων πόλις·
*** ἐν ᾗ μόνος ἐλεύθερός ἐστιν ὁ τῆς Ἀρτέμιδος ἱερεύς. Καὶ Ἀρτεμίδωρος φησὶν, ὅτι ὁ Φίλιππος ἔκτισε Πονηρῶν πόλιν καλουμένην, ἐν ᾗ πάντας τοὺς πονηροὺς κολάζων καθείργνεν.*

92 *Μήδων ἀμελῶ: ἐπὶ τῶν καταφρονουμένων.*

93 *Μήλειος Ἡρακλῆς: ἐπὶ τῶν εὐτελῶν· ἦν γὰρ ἄγαλμα Ἡρακλέους, ᾧ μόνα μῆλα, καρποὺς ἔθυον.*

91 *Μητίχου τέμενος: εἴη δ' ἂν τὸ Μητιχεῖον δικαστήριον μέγα, ἐν ᾧ προσεκληρώθησαν χίλιοι δικασταί.*

95 *Μὴ ὥσπερ ἀπὸ λύκου θύρας: ἐπὶ τοῦ φαύλου.*

96 *Μία ἡμέρα σοφὸν οὐ ποιεῖ.*

97 *Μίασμα δρυός: παρ' Εὐριπίδῃ ἐν Ἐρεχθεῖ αἰνιττόμενον τὸ Θηβαίων παρανόμημα εἰς τὸ ἐν Δωδώνῃ μαντεῖον, ἀφ' οὗ καὶ παροιμία Βοιωτοῖς μαντεύσαις.*

---

8. *ἀμελῶν* V, Suidas male *μηδ' ἀμελῶ*. 9. *Μήλειος* nunc etiam in Suida legitur. 11. *Μητιόχου* Bekk. Anecdd.: forma *Μήτιχος* proba: v. Boeckhius ad Corp. Inscrr. Grr. I, p. 725: add. *Μητίχη*, meretricis nomen: Athen. XIII, 567, D. B *Μητίχιον*: correxit ex Hesychio, aliis Fritzschius de sortit. judic. Comm. 81. Photius: *Μητιοχεῖον: δικαστήριον*. 13. *ἀπὸ*] *ὑπὸ* V. *θύρας*] VB *θήρας*: omissis verbis *μὴ ὥσπερ* Apost. III, 98 affert: *ἀπὸ λύκου θήρας: ἐπὶ τῶν ἀπράκτως εὐθὺς ἀπιόντων. οἱ δὲ ἐπὶ τῶν ἀπηνῶν καὶ ἀγρίων*: concinunt Suidas s. *ἀπὸ λύκου* et Arsenius 70, nisi quod hic *θύρας* legit, quod in Suidam reduxit Bernhardy. Quem secutus sum. 15. *Αἰρεχθεῖ* B. *αἰνιττομένου* B.

Mnasea cf. nott. ad Zenob. V, 74. *Οὐκ - πόλις*] ex hoc versu ducta videntur proverbia, quae in Plutarch. I, 22 et Append. II, 84. leguntur: v. ibi nott. *Ἀρτεμίδωρος*] intelligit sine dubio Artemidori Ephesii *γεωγραφούμενα*, de quibus dixit G. J. Vossius de Histogr. Grr. I, 22 p. 185 Westerm. *Πονηρῶν πόλιν*] de hac urbe docte exposuit Eyssonius Wichers ad Theopompi frr. p. 191 sq.

92. V. II, 85. B. 665. Suidas, 93. C. 338: cf. Zenob. V, 22. 94. B. 630. Hesych. Bekkeri Anecdd. I, 309, 17. De Metiocho dixit Bergkius Commentt. de Rell. Com. Att. Antiq. 13, 18: de Metiocheo cf. Seebodii Bibl. Crit. ann. 1826. no. 8 p. 805. *X. δικασταί*] videtur de iis cogitandum, qui supplendis decuriis inserviebant: cf. Meierus *Attisch. Proc.* p. 127. Bergkio l. c. hoc ipsum *Μητιόχου τέμενος* e comico aliquo poeta petitum esse videtur.

95. V. II, 86. B. 666.

96. C. 341. Suid. s. *μία χελιδών*. Cf. Zenob. V, 12.

97. V. II, 67. B. 632. *Ἐρεχθεῖ*] fr. II Matth. Cf. Zenob. II, 84.

** *ἠσέβησαν γὰρ εἰς τὴν ἱέρειαν ἐμβαλόντες αὐτὴν εἰς τὸν ἐν Δωδώνῃ λέβητα ζέοντα, ἐρωτικῶς διατεθεῖσαν εἰς ἕνα τῶν θεωρῶν.*

98 *Μίδας ἐν κίβοις εὐβολώτατος: βόλου ὄνομα ὁ Μίδας, οὗ καὶ Εὔβουλος ἐν Κυβευταῖς μέμνηται.*

99 *Μόχθος οἱ τηλοῦ φίλοι: παροιμία· καὶ,*
Τηλοῦ φίλοι ναίοντες οὐκ εἰσὶν φίλοι.

100 *Ναὶ ναὶ μὰ μήκωνος χλόην: ἐπὶ χλευασμοῦ ὁ ὅρκος.*

1 *Ναύσων Ναυκράτη: ἐπὶ τῶν ὁμοίως ἀποδιδόντων ἀλλήλοις· ὠνοματοποίησαν τὸ Ναύσων παρὰ τὸ ναῦς καὶ** τὸ κρατεῖ. Πολλὰ δέ ἐστι τοιαῦτα, οἷον Λευκότερος Λεύκωνος καὶ Ἀγαθίδες ἀγαθῶν.*

---

1. *ἠσέβησαν*] lacunae signa posui. 3. *θεωρῶν*] codd: *θεῶν*: emendavit Schottus ex Zenobio II, 84. 4. *Μίδας ὁ ἐν* κτλ. Suidas: Erasmus II, 9, 87 versus in gratiam: *Μίδας γὰρ ἐν κύβοισιν εὐβολώτατος.* 7. *εἰσίν*] sic scripsi ex Athenaeo: C *εἰσί*. 8. Dicebatur etiam *μὰ μήκωνος χλόην*, ut e Suida colligi posse videtur. 10. *Ναυκρατεῖ* VB Gaisfordus, *Ναυκράτες* Schottus: ego Suidae codices secutus cum Bernhardio ad Suid. edidi *Ναυκράτη*. *ἐπὶ . . ἀλλήλοις* B om. 11. *ναῦς καὶ*] lacunae signa posui: quomodo redintegrandus sit locus Hesychius Schowii docet, ubi legitur: *Ναύσων· Κρατῖνος ὄνομα ποιήσετο ναύσων.* [ἆ] ἐ π *τὴν ναῦν, καὶ τὸ ναυκρατεῖν, πολλὰ δέ ἐστι τοιαῦτα· καὶ Ἀγάθων· καὶ, Λευκότερος Λεύκωνος*: hinc in nostro loco scribendum: *N. Ναυκράτη: Κρ. ὠνοματοποίησε τὸ Ναύσων παρὰ τὴν ναῦν καὶ τὸ Ναυκράτη παρὰ τὸ ναυκρατεῖν· πολλὰ... καὶ Ἀγαθῶν ἀγαθίδες* κτλ.

98. V. II, 69. B. 642. Suidas. *Μίδας*] *κυβευτικοῦ βόλου ὄνομα* Hesych. Photius: cf. Dorvillius Vann Crit. 276. Hemsterhusius ad Polluc. IX, 94. De Eubuli *Κυβευταῖς* cf Meinekius Hist. Crit. Comicc. Grr. I, 364.

99. C. 343. *τηλοῦ φίλοι* κτλ.] Athen. V, 186 F: *Ὅμηρος ἐκδιδάσκει τίνας κλητέον, εἰπὼν ὡς τοὺς ἀρίστους τε καὶ ἐντίμους χρὴ καλεῖν* [Il. *B*. 404]· *Κικλήσκειν δὲ γέροντας ἀριστῆας Παναχαιῶν· οὐχ ὃν τρόπον Ἡσίοδος· οὗτος γὰρ ἀξιοῖ καὶ τοὺς γείτονας· Μάλιστα καλεῖν ὅστις σέθεν ἐγγύθι ναίει* [Op. et D. 341]· *τοῦτο γὰρ ὡς ἀληθῶς Βοιωτικῆς ἐστιν ἀναισθησίας συμπόσιον καὶ τῇ μισανθρωποτάτῃ τῶν παροιμιῶν ἁρμόττον· Τηλοῦ* κτλ. *πῶς γὰρ οὐκ ἄλογον τόπῳ τὴν φιλίαν καὶ οὐ τρόπῳ κρίνεσθαι;*

100. V. III, 5. B. 686. Suid. s. *μὰ μήκωνος*, s. *ναὶ μὰ μήκωνος*. Tetigit Naekius in Mus. Rhenan. T. V, p. 2.

1. V. II. 96. B. 677. Hesych. Suidas. »Talis allusio est in *Ἑλλὰς Ἕλλαδος* apud Thucydidem et Euripidem et Pindarum [vid. Athen. V, 187 D], similiaque collegit Desiderius in *Bonorum glomi. Ναύσων* a Cratino fictam vocem respexit Aristophanes Equitt. 1306.« Schottus. *Ἀγαθ. ἀγ.*] cf. Diog. I, 10.

2 *Ναύφραχτον βλέπει*: *ἐπὶ τῶν ὀργίλως καὶ πολεμικῶς προσχόντων.*

3 *Νεάτη*: *ἡ ἐσχάτη· καὶ ἡ Νήτη, χορδὴ ὑπὸ τῶν μουσικῶν, πρὸς ἀντιδιαστολὴν τῆς τε ὑπάτης καὶ τῆς μέσης.*

4 *Νέα χελιδὼν*: *ἐπὶ τῶν ἐξαπατώντων τινάς.*

5 *Νεμέας αὐλητρίδος*: *ἐπὶ τῆς καλῶς αὐλούσης, καὶ Νεμέας σέλινα*: *τὰ καλά.*

6 *Νέοις μὲν ἔργα, βουλὰς δὲ γεραιτέροις.*

---

1. *Ναύφραχτον* Photius, de qua scriptura cf. G. Dindorfius ad Aristoph. Acharn. l. c. edit. 1830. *βλέπεις* Aristophanes, Suidas, *βλέπειν* Photius. VB explicant: *ἐπὶ τῶν ὀργίλων.* 3. *ἡ ἐσχάτη*] articulum B om. *χορδὴ λεγομένη* Suidas. 7. *Νεμειάδος* Athenaeus, *Νεμέας* reliqui.

2. C. 347. V. III, 4. B 684. Phot. Suidas. Adhibet Aristoph. Ach. 95, ubi v. Scholia, quae Suidas compilavit.

3. V. III, 1. B. 681. Hesych. Suidas. »Nullam proverbii speciem praefert.« Schottus.

4 C. 348. Apost. XIII, 59. Arsen. 365: Schol ad Arist. Equitt. 420: *παροιμιῶδες· ὁλόκληρος δέ ἐστι παροιμία τὸ λεγόμενον, ἔστιν ἔαρος ἀρχή. δοκεῖ γάρ πως ἅμα τῷ ἔαρι φαίνεσθαι χελιδών*: Suidas. Adhibet Aristoph. l. c. Hirundo ver nuntiat: Aristoph. Av 719. Thesm. 1. Schmidius ad Horat. Epist. I, 7, 13: add. infr. 63. Zenob. V, 12.

5. C. 349. De Nemeade haec Athen. XIII, 587 C: *Νεμειάδος δὲ τῆς αὐλητρίδος Ὑπερίδης μνημονεύει ἐν τῷ κατὰ Πατροκλέους· περὶ ἧς ἄξιον θαυμάζειν, πῶς περιεῖδον Ἀθηναῖοι οὕτω προσαγορευομένην τὴν πόρνην, πανηγύρεως ἐνδοξοτάτης ὀνόματι κεχρημένην· κεκώλυτο γὰρ τὰ τοιαῦτα τίθεσθαι ὀνόματα οὐ μόνον ταῖς ἑταιρούσαις, ἀλλὰ καὶ ταῖς ἄλλαις δούλαις, ὡς φησι Πολέμων ἐν τοῖς περὶ ἀκροπόλεως*: v Harpocr. 132, 5 Bekk., Phot. Suidas: ab hac proverbium ductum videtur: vid. Prellerus ad Polem. fr. p. 38. *N. σίλιωα*] Suidas. Erant *σίλιωα* in certamine Nemeaeo victoris praemium

6. V III, 7. B. 690. Suidas. Desumptum ex Euripidis Melanippa, fr. 23. Matthiae: *παλαιὸς αἰνος, ἔργα μὲν νεωτέρων, Βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος*: *παλαιὸς* audit *αἶνος* ille, quippe qui ab Hesiodo repetatur: cf. Harpocr. 85, 14 Bekk.: *ἔργα νέων· τοῦτο καὶ Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους Ἡσιόδου* [fr. 65 Dind., 116 Goettl.] *φησὶν εἶναι. παροιμία τίς ἐστιν, ἣν ἀνέγραψε καὶ Ἀριστοφάνης ὁ γραμματικὸς οὕτως ἔχουσαν· ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων*: affert etiam Macar. 241, sed forma ille usus, quam Caesaris demum tempore invenerunt: *ἔργα . . πορδαὶ δὲ γερόντων*: cf. Strab. XIV, 4, 14 p. 674 sq. Cf. Zenob. I, 82. Diogen. II, 30. Alludit Plutarch. an seni sit gerenda resp. 789 E: *πειθαρχικὸν γὰρ ἡ νεότης, ἡγεμονικὸν δὲ τὸ γῆρας, καὶ μάλιστα σώζεται πόλις, ἔνθα βουλαὶ γερόντων καὶ νέων ἀνδρῶν ἀριστεύουσιν αἰχμαί* [Pind. fr. 213 B.]. *Καὶ τὸ Βουλὴν δὲ πρῶτον μεγαθύμων ἴζε γερόντων Νεστορίῃ παρὰ νηῒ θαυμαστῶς ἐπαινεῖται*: Hom. Il. *B*, 53. Quod ad verba attinet, amant Graeci vv.

7 *Νήπιοι οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός: ἔσθ' ὅτε πλειόνων τις ἐπιθυμῶν ἀποβάλλει καὶ ἃ ἔχει. Παραινεῖ γοῦν, μὴ ἐπιθυμεῖν πλειόνων.*

8 *Νικᾷ τὸν ὀνηλάτην: πρὸς τὸν μὴ βουλόμενον ἀποστῆναι τοῦ κτήνους, ἀλλ' ἑαυτὸν προϊέμενον εἰς ἀπώλειαν. Τοὺς οὖν φεύγοντας τὸν σωφρονιστὴν λόγον, διὰ ταύτης λοιδοροῦμεν λέγοντες, Νικᾷ τὸν ὀνηλάτην.*

9 *Νύκτα δασεῖαν: τὴν χειμερίνην.*

10 *Νῦν εἰς χορὸν ἦλθον: ἐπὶ τῶν ἀρνουμένων.*

11 *Ὀβολὸν εὗρε Παρνύτης: Καλλίστρατος Ἀθήνησι πολιτευσάμενος, ἐπικαλούμενος δὲ Παρνύτης, μισθὸν ἔταξε τοῖς δικασταῖς καὶ τοῖς ἐκκλησιασταῖς· ὅθεν σκωπτόντων αὐτὸν τῶν κωμικῶν εἰς παροιμίαν ἦλθε τὸ γελοῖον.*

12 *Ὁδοῦ παρούσης, τὴν ἀτραπὸν μὴ ζήτει: ἐπὶ τῶν προδήλων.*

---

1. Apostolius et Arsen. 396 *νήπιοι* om. 2. *τις* V om. 4. Suidas: *πρὸς τὸν μὴ ἀκούοντα νουθετοῦντος, ἀλλ' . . ἀπώλειαν*, omissis reliquis. 8. *δασείην* Suidas. 9. *χορόν*] nata haec lectio fortasse ex v. *χώραν*: v. nott. 10. *Παρνοίτης* Erasmus II, 7, 50. 14. *τὸν ἀτραπὸν ζητεῖς* Macarius, *τὴν ἀτραπὸν ζητεῖς* reliqui. Apostolius cum Arsenio explicat: *ἐπὶ τῶν καταλιμπανόντων τὰ δῆλα καὶ ζητούντων τὰ ἀφανῆ.*

ἔργα et *βουλὰς* componere: v. Dissenius ad Pind. Nem. I, 29.

7. V. III, 3. B. 683. Apost. XV, 51. Arsen. 367. 396: Schol. ad Soph. Oed. Col. 1211. Suidas. Est versus Hesiodi, *Ἔργ.* 40. Usurpant Pittacus apud Diog. Laert. I, 4, 2. Soph l. c., Plat. Reip. V, 466 C, alii: cf. Diogen. II, 97. Sententiam similem expressit hoc modo idem poeta: *νήπιος ὃς τὰ ἕτοιμα λιπὼν ἀνέτοιμα διώκει*: Schol. Theocriti XI, 75.

8. C. 350. Suidas.

9. V. III, 2. B. 682. Apost. VI, 72. Arsen. 175. 368: Hesych. Suidas. Cf. Diogen. VI, 89.

10. C. 351. Si lectio incorrupta, proverbium ductum videri possit ex initio hymni *κλητικοῦ*: cf. Arist. Nub. 564: *Ζῆνα τύραννον ἐς χορὸν πρῶτα μέγαν κικλήσκω*: add. Pind. fr. 45, 1. Arist. Ran. 326: inclino tamen magis in eam sententiam, ut putem, cohaerere nostrum cum apophthegmate ab Hesychio et Suida allato: *νῦν ἦλθον εἰς χορόν· νῦν τ' ἔπαρδις*, quod eo probabilius videtur, quo major suspicio, verba *ἐπὶ τ. ἀρνουμένων* superesse ex explicatione proverbii, *νῦν εἰς χώραν ἦλθον*, quod exciderit: cf. Diogen. VI, 86.

11. V. III, 35. B. 753. De re dixit Boeckhius Oecon. Athen. I, 245 sq.

12 C. 357. Apost. XIV, 4. Arsen. 378 ibiq. Macarius: Phot. Suidas, qui explicat: *τὸ λεγόμενον Ἀριστοφάνης Ἀναγύρῳ* [fr. 143 Dindorf.]: *ὅρμου παρόντος τὴν ἀτραπὸν κατερρύην.*

13 *Ὁ ἐν Πάρῳ βωμός: ἐπὶ τῶν πολυτελῶς κατεσκευασμένων.*

14 *Οἶκοι γενοίμην: ἐπὶ τῶν ἐκφυγεῖν τὰ δεινὰ εὐχομένων.*

15 *Οἶκος φίλος, οἶκος ἄριστος: ἔνιοι τὴν παροιμίαν ἐπὶ τὸ γελοιότερον μεταφράζοντες, ταύτην ἐπὶ τῆς χελώνης φασίν.*

16 *Ὅϊς τὴν μάχαιραν: ἐπὶ τῶν ἀλυσιτελῶς τοῖς πράγμασι χρωμένων. Λέγεται γὰρ ὅτι κτείνασα ἡ Μήδεια τοὺς ἑαυτῆς παῖδας καὶ κατορύξασα παρὰ τὸ ἱερὸν τῆς Ἥρας τὸ ξίφος, μετεχώρησεν εἰς Ἀθήνας· μετὰ δὲ χρόνον θυσίας μελλούσης τελεῖσθαι, ὅϊς τοῖς ποσὶ σκαλεύουσα τὸ ξίφος ἐφανέρωσε, μεθ' οὗ καὶ ἐτύθη.*

17 *Ὁ κάνης τῆς τύχης ὑπερέχει: ἐπὶ τῶν τὰ μὴ ἀναγκαῖα μείζω καὶ πλείω τῶν ἀναγκαίων κεκτημένων. Κοίτη γὰρ ἡ κίστη, εἰς ἣν τὰ βρωτὰ ἐμβάλλουσιν, κάνης δὲ, τὸ ἐπίθεμα τῆς κοίτης.*

18 *Ὁ Λυδὸς τὸν ὄνον ἐλαύνει: ἐπὶ τοῦ παρ' ἀξίαν τι πράττοντος, παρόσον ἱππικώτατοι οἱ Λυδοί. Ὅμοια ταύτῃ καὶ ἡ Ἀφ' ἵππων ἐπ' ὄνους.*

---

1. *Πάρῳ*] Scribe *Παρίῳ*: v. Strab. X, 5, 7 p. 487: *Πάριον ἐν τῇ Προποντίδι πόλις· ἐν ταύτῃ μὲν οὖν λέγεται ὁ βωμὸς θέας ἄξιος, σταδιαίας ἔχων τὰς πλευράς*: add. ibid. XIII, 1, 13 p. 588. Hirtius Histor. Archit. T. II, p. 59. 5. *οἶκος φίλος*] *οἶκος φίλιος* B. 8. *τοῖς πράγμασι*] Suid., Apost., Arsenius: *σφίσιν αὐτοῖς*. 11. *μετεχώρισεν* B. *μετὰ δὲ*] *δὲ* post *χρόνον* collocat V. 12. *σκαλεύσασα* A. 16. *Ὁ κάνης*] *Ὁ Κλεομένης* male Apost., Arsenius. *κοίτης* In codice exstat: *τῆς τύχης*: *κοίτης* servat Crates, *τύχης* Photius cum reliquis. Verba *κοίτη . . κοίτης* solus C attulit.

13. C. 358. Macar. 378.

14. K. IV, 12. Apost. XIV, 13. Arsen. 379: Phot. Suidas.

15. V. III, 32. B. 750. Apost. XIV, 12. Arsen. 379. »Lepidus est Phrygis fabulatoris apologus testudinis domiportae, tardigradae [105 Schneid.]. Hinc Persius IV, 52: *Tecum habita, et noris quam sit tibi curta supellex*. Utitur et Livius XXXVI, 32 et Plutarch. V. Flamin. c. 17. Et Cicero Epist. ad Attic. XV, 16^{b}.^{c} Schottus. Addo Cic. Ep. ad Attic. IV, 8^{a}, 1: *Hoc scito, Antium Buthrotum esse Romae, ut Corcyrae illud tuum. Nihil quietius, nihil alsius, nihil amoenius.* εἴη μοιητὸς φίλος οἶκος.

16. V. III, 26. B. 723. Apost. XIV, 20. Arsen. 379: Suid. s. οἶος. Cf. Zenob. I, 27.

17. C. 360. Apost. XIV, 33. Arsen. 380: Phot. Suidas. Adhibet Crates comicus apud Pollux. X, 90: *ὁ κάνης δὲ τῆς κοίτης ὑπερέχειν μοι δοκεῖ*, de quo versu v. Hemsterhusium.

18. C. 361. Apost. XIV, 39. Arsen. 381 ibiq. Macarius. De Lydis equitandi peritissimis v. Herod. I, 79 ibiq. Wesselingius:

19 Ὀλυμπικὴ στοά: ἐπὶ τοῦ λάλου, ἢ ὅτι εἰκὸς ἔχειν τὴν στοὰν ἀντῳδὸν ἠχώ, ἢ διὰ τὰς τῶν ἐκεῖ συνηγμένων βοάς.

20 Ὄμπνιος καρπός: ὁ σῖτος καὶ οἱ Δημητριακοὶ καρποί. Ὀμπνία γὰρ ἡ Δήμητρα.

21 Ὄμφακας βλέπει: ἐπὶ τῶν δριμὺ βλεπόντων καὶ ὀργιζομένων.

22 Ὄνος εἰς Ἀθήνας: ἐπὶ τῶν ἀπαιδεύτων.

23 Ὄνος ἐν μύροις: ἐπὶ τῶν ἀναξίως ἐν τρυφαῖς διαγόντων.

24 Ὄνος ἐν πιθήκοις: ἐπὶ τῶν αἰσχρῶν ἐν αἰσχροῖς.

25 Ὄνος τὰ Μελιταῖα: πρὸς τοὺς κατὰ ζῆλον μηδὲν μὲν ὅμοιον ποιοῦντας, παραπολαύοντας δὲ μᾶλλον κακῶν. Φασὶ γὰρ ὄνον ἰδόντα κυνίδιον προσπαίζον τῷ δεσπότῃ, ἐθελῆσαι μιμήσασθαι, ἁπάραντα δὲ τὰ σκέλη πυδαρίζειν, συντρίψαι τὰ οἰκητήρια σκεύη, πληγὰς δὲ διὰ τοῦτο λαβεῖν πολλάς.

26 Ὄνου σκιά: νεανίσκος Ἀθήνηθεν εἰς Δελφοὺς ὄνον ἐμισθώσατο, καὶ μεσημβρίας καταλαβούσης, καὶ

---

4. καρπός] λειμών Hesych. Suidas. 8. Macarius addit: καὶ πλησιαζόντων σοφοῖς. 9. μύρῳ Suidas. 17. πυδαρίζειν] Gaisfordus edidit: πηδαρίζειν (πυδαρίζειν): de variis verbi formis v. interpp. ad Arist. Equitt. 704.

add. nott. ad. Gregor. Cypr. II, 99. Ἀφ' . . ὄνους] v. Append. I, 38.

19. C. 362. Comparari potest κουρεικὴ λαλία: cf. Casaubonus ad Theophr. Char. XI, 3: add. Diogen. II, 48. VI, 32. Ὀλυμπικὴ σάλπιγξ de acri atque vehemente Polemonis dictione legitur apud Philostrat. Vit. Soph. 542 Olear.

20. B. 710. Hesych. Suidas. Cf. Diog. VI, 97.

21. C. 363. Apost. XIV, 45. Arsen. 382 ibiq. Macarius: Phrynichus Bekk. Anecdd. I, 56, 9. Similiter Plato Comicus ap. Suid. s. ὄμφαξ: Καὶ τὰς ὀφρῦς σχάσασθε καὶ τὰς ὄμφακας.

22. C. 368. Macar. 386.

23. C. 367. Suidas.

24. C. 370. Usurpavit Menand. p. 143 Mein. vs. 8: εἰχέ μ' γυνὴ . . καὶ τὴν ὄψιν, ἣν ἐκτήσατο, Ὄνος ἐν πιθήκοισι τὸ λεγόμενόν ἐστι δή.

25. C. 369. Ductum ex Aesopo: v. fabb. 366. 367. Fur.: μελιταῖα enim de κυνιδίοις Μελιταίοις intelligenda sunt, de quibus cf. Walzius ad Arsen. 351. Simile est, quod affert Macar. 386: ὄνος ἵππον μιμούμενος: ἐπὶ τῶν ἀμαθῶς τινα ζηλούντων.

26 C. 373. Apost. XIV, 71. Arsen. 385. Cf. Zenob. VI, 28. Greg. Cypr. III, 87: add. Demosth. de Pace fin.: οὐκοῦν εἰθισμένος καὶ κομιδῇ σχέτλιον, πρὸς ἑκά-

τοῦ ἡλίου σφοδρότερον ἐκκαίοντος, τῆς ὁδοιπορίας ** ἔστησαν, γυμνοῦ δὲ σκιᾶς ὄντος τοῦ τόπου, ὑπέδυ τὴν τοῦ ὄνου σκιὰν ὁ νεανίσκος. Ὁ δὲ ὀνηλάτης ἐκώλυε, ὄνον, οὐχὶ σκιὰν λέγων αὐτὸν μεμισθωκέναι. Λέγεται δὲ ἡ παροιμία ἐπὶ οὐθενείας καὶ ματαίας φιλονεικίας.

27 Ὀξηρὸν ἄγγος οὐ μελιττοῦσθαι πρέπει: ἐπὶ τοῦ ἀναξίου. Σοφοκλῆς Ἰφιγενείᾳ.

28 Ὄξος ἠκρατισμένον: ἐπὶ τῶν ὀργίλων καὶ δριμυτάτων.

29 Ὄξος Σφήττιον: ἴσως οἱ Σφήττιοι ὀξεῖς ἦσαν. Εἰσὶ δὲ δῆμος Ἀττικῆς.

30 Ὀξύτερον Λυγκέως βλέπει: ἐπὶ τῶν τὰ πόρρωθεν ἀκριβῶς ὁρώντων.

31 Ὀξύτερον οἱ γείτονες βλέπουσι τῶν ἀλωπέκων: ἐπὶ τῶν λανθάνειν μὴ δυναμένων.

---

1. ὁδοιπορίας] lacunae signa posui: Suidas: μεσημβρίας δὲ καταλαβούσης, στήσας τὸν ὄνον ὑπέδυ τὴν σκιάν. 10. Σφήττιον Hesychius. ἴσως ἂν Photius, ἴσως διότι Athenaeus; ἴσως ὅτι conjecit Hemsterhusius ad Arist. Plut. l. c. ἦσαν] addit Photius: ὡς οἱ Ἀχαρνεῖς [cf. infr. 74.] κακολόγοι, ubi pro v. Ἀχαρνεῖς Ruhnkenius ad Tim. Lex. Voc. Platt. 15 Lugd. legendum censet Αἰξωνεῖς: Aexonenses enim propter calumniandi et maledicendi libidinem male audiebant: Apost. I, 92. Arsen. 28. Schol. ad Plat. 322 Bekk.: Αἰξωνὶς δῆμος Κεκροπίδος, καὶ Αἰξωνεῖς οἱ ἐκεῖθεν, οἳ καὶ βλάσφημοι ἐκ-

στους καθ' ἕνα οὕτω προσενηνεγμένους περὶ τῶν οἰκείων καὶ ἀναγκαιοτάτων, πρὸς πάντας περὶ τῆς ἐν Δελφοῖς σκιᾶς νυνὶ πολεμῆσαι: ex hoc loco orta est proverbii forma Didymo probata, quam deprehendimus corruptam in Bekk. Anecdd. I, 243, 30: ἐν Δελφοῖς σκιᾶς: ibid. 250, 27: ἐν Δελφοῖς σκιᾶς μάχεσθαι. incorruptam ap. Harpocr. 151, 11: περὶ τῆς ἐν Δελφοῖς σκιᾶς. Δημοσθένης Φιλιππικοῖς· Ἀίδυμός φησι τὴν περὶ ὄνου σκιᾶς παροιμίαν παραπεποιῆσθαι ὑπὸ τοῦ ῥήτορος λίγοντος περὶ τῆς ἐν Δελφοῖς σκιᾶς, λέγεσθαι δ' αὐτὴν ἐπὶ τοῖς περὶ τῶν μηδενὸς ἀξίων μαχομένοις. V. Diog. VII, 1.

27. C. 374. Versus hujus nulla apud alios mentio.

28. C. 375. Horat. Serm. I, 7, 32: *At Graecus postquam est Italo perfusus aceto:* ubi Scholiasta explicat v. *aceto: »amaritudine.«*

29. V. III, 21. B. 712. Macar. 432: ἐπὶ τοῦ ὀργίλου καὶ ὀξέος· οἱ γὰρ Σφήττιοι ἐπὶ τούτῳ κωμῳδοῦνται: Schol. ad Arist. Plut. 720: Hesych. Photius: cf. infr. IV, 73. V, 43. Explicatio debetur Didymo: cf. Athen. II, 67 C. Usurpat proverbium Aristoph. Plut. 720. De Sphetto v. Grotefendus de Demis sive Pagis Att. disq. p. 35.

30. C. 377. Macar. 386: cf. Append. III, 70. 71.

31. C. 376. Macar. 386. Simile est illud Platonis Comici apud Platon. Alcib. I, 121 D: οὐδ' οἱ γείτονες σφόδρα τι αἰσθάνονται, ubi vid. Stall-

32 Ὁ περιφόρητος Ἀρτέμων: ἐπὶ τῶν πάνυ ποθουμένων. Φασὶ γὰρ ὅτι νεανίσκος ὁ Ἀρτέμων ἐγένετο περιμάχητος γυναιξίν· ἄλλοι δὲ ὅτι μηχανοποιὸς ἐγένετο σοφώτατος κατὰ τοὺς Περικλέους χρόνους· χωλὸς δὲ ὢν περιεφέρετο ἐπὶ τῷ ὁρᾶν τὰς μηχανάς.

33 Ὅρκος Ἀφροδίσιος συγγινώσκεται: παράσον οἱ ἐρῶντες εὐχερῶς ὀμνύουσι.

34 Ὅταν τὸ ὕδωρ πνίγῃ, τί δεῖ ἐπιπνίγειν: παρεγγυᾶται μὴ τοῖς δυστυχοῦσι κατεπεμβαίνειν.

35 Οὐδὲν ἀνδρῶν λευκῶν ὄφελος ἢ σκυτοτομεῖν: ἐπὶ τῶν εἰς μηδὲν λυσιτελούντων, παρόσον οἱ μέλανες τῶν λευκῶν λυσιτελέστεροι.

μῳδοῦντο εἶναι· παρ' ὃ καὶ αἰξωνύεσθαι φασι τὸ βλασφημεῖν Α: ἀντὶ τοῦ ὑπερήφανον. οἱ γὰρ Αἰξωνεῖς εἰς ὑπερηφανίαν ἐσκώπτοντο: Harpocr. 9, 3 Bekk. Hesych. Suid. Zonar. 71. Bekk. Anecdd. I, 353, fin.: cf. infr. IV, 73. Adhibuerunt vocem comici, Plato, alii: v. Ruhnkenius l. c., Meinekius Menand. 91. 6. Ἀφροδίσιος] Ἀφροδίτης Macarius. 7. ἐπιορκοῦσι Macarius. 9. παριγγυᾶται μὴ] ὅτι οὐ δεῖ Macarius. C τοὺς δυστυχοῦντας: correxi ex Macario. ἐπιμβαίνειν Macarius. 10. λευκῶν ἀνδρ. οὐδ. ὄφ. Macarius; οὐδὲν λευκῶν ἀ. ὄφ, Apost., Arsen., Phot. Suidas: ex his solus Suidas vv. ἢ σκυτοτομεῖν habet. Ceterum e Scholiasta Veneto Ari-tophanis μὴ σκυτοτομεῖν recipiendum esse Bernhardius ad Suidae locum monuit.

baumius: omnia enim vicini vident; qua de causa Hesiod. ἔργ. 341 admonet: τὸν δὲ μάλιστα καλεῖν, ὅς τις σέθεν ἔγγυθι ναίει, κτλ., ubi v. Gaisfordum: et proverbium: δυσμενὴς καὶ βάσκανος ὁ τῶν γειτόνων ὀφθαλμός, φησὶν ἡ παροιμία: Alciphr. Epist. I, 15. Alia collegit Boissonadus ad Theophyl. Simocatt. 229.

32. B. 739. Schol. ad Arist. Acharn. 857: Hesych.: περιπόνηρος Ἀρτέμων· παρὰ τὴν παροιμίαν τὴν, Περιφόρητος Ἀρτέμωνος· εἰσὶ δὲ Ἀρτέμωνες δύο: de utroque autem proverbium derivabatur: prior enim Artemon Anacreontis tempore vixit et a poeta ea de causa et περιφόρητος nominatus et aliis contumeliis laceratus est, quod sibi amorem conciliaverat Eurypylae puellae, quam ipse Anacreon summo studio expetiverat: Anacr. fr. XIX Bergk., 72 Schneidew.; alter ex ea ipsa re, quam post alios paroemiographus narrat, a populo cognomen accepit: cf. Schweighaeuserus ad Athen. XII, 533. E. Sintenis ad Plutarchi V. Pericl. 27. p. 192 sq. Alludit Aristoph. l. c.: addo Liban. Epist. 225: φυγεῖν γάρ σε ἔριν τε καὶ φιλονεικίαν καὶ ὑπερωφίαν, ὅθεν τὸν ἐν τῇ παροιμίᾳ παρελθεῖν Ἀρτέμωνα.

33. C. 378. Macar. 388: cf. Diogen. III, 37. Append. IV, 86.

34. C. 381. Macar. 389. Adhibet Galenus de differ. pulsuum, II, 4 p. 43 Chart., T. VIII, 577 Kuehn.: καὶ δίκαιον ἤδη τὸ τῆς παροιμίας εἰπεῖν, ἰδιωτικὸν μέν, ἱκανῶς δ' ἐοικὸς τοῖς παροῦσιν, ὅταν γάρ, φησὶ, τὸ ὕδωρ πνίγῃ, τί ἐπιῤῥοφήσομεν; εἰ γὰρ Ἀρχιγένης ἁμαρτάνει, πρὸς τίνα πορευθῶμεν; τίς ἡμῖν ἐπανορθώσεται τὰ τούτων σφάλματα;

35. C. 382. Apost. XV, 9. Arsen. 391. Macar. 340: Eustath.

36 *Οὐδὲν ἀρχαῖον ποιεῖ: ἐπὶ τῶν εἰς μηδὲν συντελούντων.*

37 *Οὐδὲν ὄφελος ἀποῤῥήτου καὶ ἀφανοῦς Μούσης: ἐπὶ τῶν τὴν σιωπὴν ἀσκούντων.*

38 *Οὐδ' ἐν σελίνοις: ἐπὶ τῶν μακρὰν τοῦ τέλους ἀπεχόντων· βούλεται γὰρ ἡ παροιμία λέγειν, ὅτι οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος, καθάπερ οὐδὲ οἱ εἰς τοὺς κήπους εἰσιόντες ἐν τοῖς σελίνοις εἰσὶν ἤδη.*

39 *Οὐδ' ἐν τοῖς ἰωροῦ: οὕτω τοὺς φυλακὰς ἐκά-*

---

1. *Οὐδὲ τἀρχαῖον ποιεῖ* Suidas, omissa explicatione: Photius: *οὐδὲ τ. π.: ἐπὶ τῶν μὴ λυοντελούντων· ὁ δ' ὀξὺ κριθεὶς, ἐπὶ τῶν ἐλαχίστων.* 5. Photius, alii: *ἐπὶ τῶν μηδὲ ἐπὶ τὴν ἀρχὴν ἐφθακότων ἀπὸ τῶν εἰς τοὺς κήπους ἰόντων· ἐπὶ γὰρ τὰ ἄκρα, τοὺς λεγομένους περικήπους, σίλινα καὶ πήγανα κατεφύτευον· βούλεται κτλ.* 8. *ἤδη* Hesychius, reliqui om. 9. *Οὐδέν τοι* V: »forte melius ex Suida in *Ἰωρός*: *οὐδ' ἐντὸς Ἰώρου* vel *οὐδ' ἐνδοῖ Ἰώρου*,« Schottus. Scribebatur bis *ἰώρου*: correxi accentum e Suida, Photio, Arcadio de Accent. 72, 13. *τὰς φυλακὰς*] V *τοὺς φύλακας*: Photius v. *ἰωρός*:

ad Hom. Il. *Δ*, 141 p. 455, 37: *ὅτι δὲ τὸ ἐν σώμασι λευκὸν οὐκ ἐν ἐπαίνῳ ἦν, καὶ ἐν ῥητορικοῖς δῆλοῦται λεξικοῖς· ὧν ἐν θατέρῳ μὲν κεῖται ὅτι λευκοὶ οἱ δειλοὶ, καὶ λευκώπιοι οἱ αὐτοί· ἐν δὲ ἑτέρῳ, τῷ τοῦ Αἰλίου Διονυσίου δηλαδὴ τὸ, οὐδὲν λευκῶν ἀνδρῶν ὄφελος· ᾧ συμπαράκεινται καὶ ἕτεραι κεφαλαιώδεις παροιμίαι αὗται· Καὶ οὐδεὶς δυσώνης χρηστὸν ὀψωνεῖ κρέας* [Poll. Onom. III, 126. Suidas]· *καὶ, Οὐδὲν φρονεῖ δίκαιον ἐστυκὼς ἀνήρ* [Apost. XV, 21. Arsen. 392. Phot. Suidas. s. *ἐστυκώς*, s. *οὐδέν*]: Schol. Venet. ad Arist. Pac. 1308: *ὅτι παροιμία ἐστίν· καὶ οὕτως νοοῦδὲν ἔργον ἐστὶν ἀνδρῶν, μή τι καὶ μάχωνται· ἔτι δὲ οὕτως· οὐδὲν λευκῶν ἀνδρῶν ἔργον εἰ μὴ σκυτοτομεῖν*, Phot. Suidas. Arist. Pac. 1309: *οὐδὲν γὰρ, ὦ πονηροὶ, Λευκῶν ὀδόντων ἔργον ἔστ', ἢν μή τι καὶ μασῶνται. Λευκοὶ* dicuntur timidi non solum, sed etiam molles homines et delicatuli: cf. Hesych., Phot. s. *λευκοί*, Plutarch. Provv. I, 64. Append. III, 61. Walzius ad Arsen. 391 sq. Ad v. *σκυτοτομεῖν* annotat Kuesterus ad Suid. l. c.: *huc egregie facit locus apud Aristoph. Eccles. 385, ubi Chremes, cum concionem in foro albis hominibus plenam vidisset, eam concioni σκυτοτόμων assimilat.*

36. C. 385. Phot. Suidas.

37. C. 388.

38. V. III, 22. B. 714. Apost. XV, 18. Arsen. 392: Schol. ad Arist. Vesp. 499, a quo duae explicationes proponuntur: prior cum Hesychio concinit, altera haec est: *ἀντὶ τοῦ ἐν γυμνικῷ ἀγῶνι, ἤγουν οὐκ ἐν παιδιᾷ· πρὸς ὃν τὰ βρέφη γεννηθέντα εὐθὺς ἐν σελίνοις ἐτίθεσαν· . . . ὅθεν καὶ παροιμία· οὐδ' ἐν σελίνοις εἰσί. Φησὶν οὖν ὅτι οὔπω σοι οὐδὲ ἀρχὴ γέγονε τῶν παρ' ἡμῶν ἐσομένων*: Hesychius: *παροιμία, ἐπὶ τῶν μηδὲ κατὰ τοὐλάχιστον διηνυκότων οἷς ἐπίθιντο· ἐν τοῖς γὰρ λεγομένοις περικηπίοις τὰ σίλινα καὶ τὰ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν κτλ.*: Phot. Suidas. Usurpat Aristoph. l. c.: cf. Diogen. VIII, 57.

39. V. III, 25. B. 718. Suidas s. *Ἰωρός*. De lege dixit

λουν Ἀθηναῖοι· καὶ ὁ νόμος ὁ παρ' αὐτοῖς ἐκτὸς ἰωροῦ ἐκέλευσεν εἶναι τοὺς ἀνδροφόνους· τουτέστι τῶν τόπων ἐν ᾧ τὰ φυλακτήρια ἦν. Ἐπὶ τοίνυν τῶν ἀπειλούντων καὶ σοβαρευομένων ἡ παροιμία.

40 Οὐδὲ τῶν τὰ Πυθαγόρου μυθολογούντων ἤκουσας: ἐπὶ τῶν πάσης ἀλλοτρίων παιδείας. 5

41 Οὐδ' ὅσον ἀηδόνες ὑπνοῖ: ἐπὶ τῶν ἀγρυπνούντων· δήλη γὰρ οὖσα ἡ ἀηδὼν ἀγρυπνεῖ.

42 Οὐκ ἀγαπᾷ γραῦς θανοῦσα, ἀλλὰ καὶ προσεκφέρειν κελεύει: ἐπὶ τῶν οὐκ ἀρκουμένων οἷς ἔλαβον, ἀλλὰ καὶ πλείω ζητούντων. 10

43 Οὐ καὶ χελῶναι διὰ μιᾶς πᾶσαι πλέαι: ἐπὶ τῶν διά τινος εὐεργετουμένων. Φασὶ γὰρ ὁπότων μία χελώνη πίῃ, αἱ λοιπαὶ ἀπὸ τῆς οὐρᾶς αὐτῆς πίνουσι. Τὸ οὖν πλέαι ἀντὶ τοῦ πεπληρωμέναι. 15

44 Οὐκ ἄξιον τὸ πρᾶγμα τῆς ἀγρυπνίας: ἐπὶ τῶν μεγάλα μοχθούντων ἐπὶ εὐτελεῖ.

45 Οὐκ ἀπείρῳ προσέβαλες: ἐπὶ τῶν οἰομένων μὲν ἐξαπατᾶν, φωραθέντων δέ.

θυρωρός· φύλαξ, et sic reliqui: v. Tittmannus ad Zonar. 1138. 2. »Correxi τοῦτ' ἔστι τοῦ τόπου.« Schottus. Non secutus est Gaisfordus. 7 ὅσον] scribe ὄσσον. ὑπνοῖ] Suidas ὑπνώουσιν recte: ὑπνώσσουσιν Apostolius, Arsenius. Explicat Arsenius: ἐπὶ τῶν ἀγρυπνούντων, παρόσον ἡ ἀηδὼν ἀγρυπνεῖ διὰ τὸν Ἴτυν· μᾶλλον δὲ διὰ δυσλίαν. 12. οὐ καὶ] οὐκαὶ (sic) Gaisfordus; οὐχὶ καὶ αἱ Apostolius et Arsenius. 14. πίῃ] adjeci ex Apostolio et Arsenio. 19. ἐξαπατήσειν Phrynichus.

Petitus Legg. Attic. VII, 1, 20: add. C. O. Muellerus ad Aesch. Eumen. p. 134.

40. C. 387. *Μύθους Πυθαγορικοὺς* memorat Aristot. de Anima I, 3.

41. C. 389. Apostol. XV, 23. Arsen. 394: Suidas s. ἀηδών, qui Sophocli adscribit. De re cf. Aelian. V. Hist. XII, 20: *λέγει Ἡσίοδος τὴν ἀηδόνα μόνην ὀρνίθων ἀμελεῖν ὕπνου καὶ διὰ τέλους ἀγρυπνεῖν*: ubi v. Kuhnium. Similiter dicebatur *Οὐδ' ἀηδόνιον κατέδαρθον*: *πρὸς τοὺς φιλαγρύπνους*, Macar. 399: quod quum respiciat Hesychius s. ἀηδόνιον, nulla locus ejus emendatione indiget. V. Zenob. III, 97.

42. C. 393. προσεκφέρειν] cogitandum videtur de obolo, qui ori mortuorum immittebatur.

43. C. 391. Apost. XV, 22. Arsen. 398.

44. C. 390. Arist. Ran. 932: *ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸς διηγρύπνησα, Τὸν ξουθὸν ἱππαλεκτρυόνα ζητῶν, τίς ἐστιν ὄρνις*: Callimachus in Anthol. Palat. IX, 507, 3: *χαίρετε λεπταὶ Ῥῆσαι, Ἀρήτου σύντονος ἀγρυπνίη*: cf. Monkius ad Eurip. Hippol. 377, supr. 41.

45. C. 392. Bekker. Anecdd. I, 56, 26. Cf. Diogen. III, 94.

46 *Οὐκ ἄσκιον*: εἴρηται ἐπὶ τῶν τὰ κενὰ δεδοικότων· Κράτης Ἥρωσιν·

Οὐκ ἀσκίῳ γ' ἐμορμολύττετ' αὐτούς.

47 *Οὔτε γῆς οὔτε οὐρανοῦ ἅπτεται*: ἐπὶ τῶν περιττῶν καὶ μηδὲν πρὸς τὸ πρᾶγμα συντελούντων.

48 *Ὀψὲ θεῶν ἀλέουσι μύλοι, ἀλέουσι δὲ λεπτά*: ἐπὶ τῶν ὀψιαίτατα καὶ βραδέως παρεχόντων δίκην, ὧν ἐπλημμέλησαν.

49 *Ὄψ' ἦλθες, ἀλλ' ἐς τὸν Κολωνὸν ἴεσο*: ἐπὶ τῶν καθυστεριζόντων καὶ βραδέως ἐρχομένων, παρόσον τῶν μισθωτῶν τοὺς ὀψὲ ἐλθόντας πάλιν ἀπέλυον ἐπὶ τὸ μισθωτήριον· τὸ δὲ ἦν ἐπὶ τῶν Κολωνῶν.

50 *Ὄψις ἀδήλων τὰ φαινόμενα*: παροιμία.

---

1. ἀσκίῳ Hesych., Photius. κενὰ] κοινὰ B: κενὰ Gaisfordus. δεδοικότων] addit Hesychius: ἐπεὶ κενὸς ὁ ἀσκός. 3. Versum Cratetis sic affert Hesychius Schowii: οὐκ ἀσκίῳ μέν τ' ἄρ' ἐμορμολύττετ' αὐτούς, εἶτα δ' ἐστ' ἀληθῆ, quam Meinekius Histor. Critt. Comm. Grr. I, 64 sic correxit: οὐκ ἀσκίῳ μεντἄρ' ἐμορμολύττετε Αὐτούς, ἐπεὶ τάδ' ἔστ' ἀληθῆ. αὐτούς] B αὖ. 6. Orac. Sibyll. ὀψὲ θεοῦ μῦλοι ἀλέουσι τὸ λεπτὸν ἄλευρον. 9. εἰς Poll. Photius. τὸν Apost., Arsen., Suidas om. VB: ἐπὶ τῶν μισθωτῶν ἔλεγον. τοὺς γὰρ ἐπὶ τὸ ἔργον ἐλθόντας ὀψὲ, ἀπέλυον πάλιν ἐπὶ τὸ μισθωτήριον, τὸ δὲ ἦν ὁ Κολωνός. 13. Macarius addit: ἐπὶ τῶν τὰ μέλλοντα ἐπὶ τῶν παρεληλυθότων στοχαζομένων.

46. B. 715. Hesych. Photius. Cf. Diogen. II, 65: add. Macar. 429: Σκιᾷ μορμολύττεσθαι· ἐπὶ τῶν κενῶς ἐκφοβούντων.

47. C. 386. Usurpat Lucianus Alexand. §. 54: πρὸς μίαν ἐρώτησιν . . ὀκτώ μοι χρησμοὺς ἔπεμψεν, οὔτε γῆς, φασίν, οὔτε οὐρανοῦ ἁπτομένους, ἀνοήτους δὲ καὶ δυσνοήτους ἅπαντας.

48. C. 396. Macar. 400. Oracul. Sibyll. VIII, 14. p. 677. Adhibuerunt Plutarch. de S. Num. Vind. 549 D: ὥστ' οὐχ ὁρῶ, τί χρήσιμον ἔνεστι τοῖς ὀψὲ δὴ τούτοις ἀλεῖν λεγομένοις μύλοις τῶν θεῶν: Sext. Empir. advers. Grammat. 1, 13, 287. Origen. c. Cels. VIII, 771, A.

49. C. 397. V. III, 24. B. 717. Apost. XV, 53. Arsen. 400: Polluc. On. VII, 133. Argum. III ad Soph. Oedip. Colon.: ἔστι γὰρ καὶ ἕτερος Κολωνὸς ἀγοραῖος πρὸς τῷ Εὐρυσακείῳ, πρὸς ᾧ οἱ μισθαρνοῦντες προιστήκεισαν, ὥστε καὶ τὴν παροιμίαν ἐπὶ τοῖς καθυστερίζουσι τῶν καιρῶν διαδοθῆναι· Ὄψ' ἦλθες, ἀλλ' εἰς τὸν Κολωνὸν ἴεσο: Hesych. Phot. Suidas. Comp. Zenob. V, 2. Nescio an cohaereat cum nostro oraculum, quod Plutarch. An seni respubl. ger. 784 B. respicit: τὸ μὲν γὰρ ἐν γήρᾳ πολιτείας ἄρχεσθαι, καὶ μὴ πρότερον, . . . ἴσως ἂν αἰτιωμένῳ τινὶ παράσχοι τὸ τῆς Πυθίας εἰπεῖν· Ὀψέ μ' ἦλθες ἀρχὴν καὶ δημαγωγίαν διζήμενος, καὶ παρ' ὥραν στρατηγίου κόπτεις θύραν: idem in mente habuit Apollonius in dicto, quod refert Strabo XIV, 1, 13: ἐπιδήμησε δὲ πρότερον Ἀπολλώνιος, ὀψὲ δ' ἦκεν [sc. Rhodum] ὁ Μόλων, καὶ ἔφη πρὸς αὐτὸν ἐκεῖνος· Ὀψὲ μολών. ἀντὶ τοῦ ἐλθών.

50. C. 398. Macar. 400.

51 *Πάνθ' ὅμοια καὶ Ῥοδῶπις ἡ καλή: ἡ Ῥοδῶπις ἑταίρα ἦν περὶ Νάυκρατιν τῆς Αἰγύπτου, ἧς καὶ Σαπφὼ μνημονεύει καὶ Ἡρόδοτος. Τοὺς οὖν πολὺ ἀπολέσαντας ἀργύριον διὰ τὸ διάφορον τῆς μίξεως, πρὸς τὰς ἄλλας γυναῖκας συνορῶντας ἐπιφωνῆσαι τὸ λεγόμενον.*

52 *Πάνθ' ὑπὸ μίαν Μύκονον: ἐπὶ τῶν μιᾷ δίκῃ καταδικασθέντων.*

53 *Παραλύομαι: ἐπεὶ ὑπὸ τῶν πλουσίων οἱ πένητες παραλύονται.*

54 *Παρασάγγης: μέτρον ὁδοῦ $\overline{\lambda}$ σταδίων, σχοῖνος δὲ $\overline{\xi}$, ὡς δέ τινες, πεντήκοντα.*

---

1. ἅπαντ' ὅμοια κτλ. Apostolius, Arsenius, Suid. s. Ῥοδῶπις. Apostolius et Arsenius explicant: *σημαίνει, ὅτι ταῖς τύχαις ὁμοίως ὑποπιπτώκασιν οἱ θνητοί.* 4. διὰ] B om.: sensum verborum διὰ . . μίξ. aperuit Bernhardius ad Suid.: *quod insignem opinionem de suavissimo coitu Rhodopidos conceperant.* διάφορον] V et, ut videtur, B διαφίρον: verum Suidas suppeditavit. 6. ὑπὸ μιᾶς Μύκονος Apostolius cum filio. 8. παραδύομαι — παραδύονται Suidas v. παραδύομαι, lectio e conjectura indocta exorta; παραλύομαι: παροιμιακῶς· ἐπὶ κτλ. Hesychius: germanam lectionem Photius et Suidas servarunt una cum explicatione doctiore: Παραλοῦμαι: παροιμιακῶς· εἰώθεισαν γὰρ πρότερον ἐν τοῖς βαλανείοις οἱ πλούσιοι παραλούειν τοὺς πένητας· Ἀριστοφάνης Ἀναγύρῳ [fr. 150. G. Dind.]· Ἀλλὰ πάντας χρὴ παραλοῦσθαι καὶ τοὺς σπόγγους ἐᾶν. οἷον [hanc vocem Photius om.] συνιέναι τοῖς πλουσίοις ὥστε μηδὲ σπόγγους φέρειν, ἀλλὰ τοῖς ἐκείνων χρῆσθαι. παραλυονται] Hesychius παρελύοντο: scr. παρελοῦντο. Ego h. l. corruptas retinui lectiones, quum eas a paroemiographis scriptas esse, vel literarum ordo in Hesychio doceat. 10. $\overline{\lambda}$] τριάκοντα V. 11. $\overline{\xi}$] ἑξήκοντα V.

51. V. III, 67. B. 817. Apost. III, 87. Arsen. 66: Suidas. De Rhodopide cf. Herod. II, 135. Athen. XIII, 596. B. Phot. et Suid. s. Ῥοδώπιδος ἀνάθημα, Nevius ad Sapph. frr. p. 2. Grauertus de fab. Aesop. p. 59 sq. Usurpavit nomen Rhodopidis Heliod. Aeth. II, 25 monente Schotto, quem ita inspirasse videtur pulchrae puellae mentio, ut proverbium in versum latinum includeret: *Omnes morte cadunt, etiam formosa Rhodopis.*

52. K. IV, 25. Strab. X, 5, 9 p. 487: ὑπὸ Μυκόνῳ μυθεύουσι κεῖσθαι τῶν Γιγάντων τοὺς ὑστάτους ὑφ' Ἡρακλέους καταλυθέντας· ἀφ' ὧν ἡ παροιμία, Πάνθ' κτλ., ἐπὶ τῶν ὑπὸ μίαν ἐπιγραφὴν ἀγόντων τὰ διηρτημένα τῇ φύσει, quae sua fecit Stephan. Byz. s. Μύκονος: Apost. XV, 79. Arsen. 405.: Eustath. ad Dionys. Perieg. 525: ἡ Μύκονος, ἐν ᾗ λέγονται κεῖσθαι . . ὅθεν ἐπὶ τῶν οὐκ εὖ παθόντων μιᾷ ψήφῳ, ἤγουν ἐπὶ τῶν μιᾷ δ. καταδ. λέγεται τὸ πάνθ' κτλ., ἤγουν πάντα ὁμοῦ ὑπὸ μίαν βλάβην ἢ καταδίκην, ad quem locum v. Bernhardii notam p. 921. Cf Zenob. V, 17.

53. V. III, 37. B. 758. Hesychius: v. notam criticam.

54. V. III, 40. B. 764: Eustath. ad Hom. Il. *B*, 361, 16. Schol. ad Luciani Icaromen. § 1. ad ej. libr. Quom. hist. conscr

55 *Παρὼν ἀποδημεῖς.*

56 *Πέρδικος καπηλεῖον: χωλὸς κάπηλος ὁ Πέρδιξ. Ὅθεν ἔνιοι τὴν παροιμίαν διαδοθῆναι φασὶ, καὶ τὸ Πέρδικος σκέλος.*

57 *Πηλέως μάχαιρα: σωφροσύνης γέρας ἡ μάχαιρα τῷ Πηλεῖ δέδοται, Ἡφαιστότευκτος οὖσα.*

58 *Πλίνθον πλύνεις, Χαμαὶ ἀντλεῖς, Φακὸν κόπτεις, Θάλασσαν ἀντλεῖς: ἐπὶ τῶν ἀδυνάτων.*

59 *Πόνῳ πονηρός: ἤτοι κατ' ἐπίτασιν ὁ φαῦλος, ἢ διὰ τὸν πόνον κατ' ἐνέργειαν ὁ ἐπίπονος.*

---

1. Macarius: *ἐπὶ τῶν αἴσθησιν ἑαυτῶν οὐδεμίαν* [*μηδεμίαν* Suidas] *παρεχομένων* [*παρεχόντων* Suidas]. 5. Photius: *παροιμία· ταύτην ἀναγράφει καὶ Ἀριστοφάνης οὕτως· μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐν τῇ μαχαίρᾳ· ἐδόκει σωφροσύνης γέρας, Ἡφαιστότευκτος, ἣν εἵλήφει μάχαιραν ὁ Πηλεύς· λαμβάνεται δὲ ἐπὶ τῶν σπανίων καὶ τιμιωτάτων κτημάτων· διὰ γὰρ σωφροσύνης ὑπερβολὴν παρὰ θεῶν λαβεῖν φασι τὸν Πηλέα ξίφος, Ἡφαίστου κατασκευάσαντος.* 10. *ὁ ἐπίπονος*] articulus V deest.

op. §. 24: Hesych. Phot. Suid. Zonar. 1500. »Parasangam, vocem Persicam Athen. III, 98 C proverbii specie usurpavit: *τοιοῦτοί τινές εἰσιν . . οἱ Οὐλπιάνιοι σοφισταὶ, οἱ . . πολλῶν ὀνομάτων ποιηταὶ καὶ πολλαῖς παρασάγγαις ὑπερδραμόντες τὸν Σικελιώτην Διονύσιον, ὃς τὴν μὲν παρθένον ἐκάλει μένανδρον κτλ.*: Persica item *σχοῖνος* Gregorio Nazianzeno mensurae genus est Epistola ad Nicobulum de Epistolis scribendis p. 903 B: *τί γὰρ ἢ τῇ Περσικῇ σχοίνῳ μετρεῖσθαι δεῖ τὴν σοφίαν, ἢ παιδικοῖς πήχεσι.*« Schottus. Add. interpp. Hesych. et Zonar., C. F. Hermannus ad Lucian. quom. hist. conscr. op. p. 155.

55. K. IV, 35. Macar. 406. Suidas. Est versus Aristoph. Equitt. 1120: *ὁ νοῦς δέ σου Παρὼν ἀποδημεῖ.*

56. V. III, 38, B. 760: Hesychius. Perdicem, cauponem improbum et perdicis similem notat Aristoph. Av. 1292: *Πέρδιξ μὲν εἷς κάπηλος ὠνομάζετο Χωλός*, ubi Schol.: *μνημονεύει δὲ αὐτοῦ καὶ ἐν Ἀναγύρῳ* [fr. 148 G. Dindorf.]· *Καὶ μὴν χθὲς γ' ἦν Πέρδιξ χωλός*: v. Fritzschium Quaest. Aristoph. I, 76. *Περδ. σκέλος*] cf. Plutarchi Provv. II, 24: usurpatur ap. Athen. I, 4 D a Pamphilo Siculo *ἔγχει πιεῖν μοι· καὶ, τὸ Πέρδικος σκέλος.* Ad eundem Perdicem spectare videntur, quae ab Suida afferuntur *Περδίκειος κάρα* et *Περδίκειος ποῦς*, ut monuit Schweighaeuserus ad Athen. l. citatum.

57. V. III, 39. B. 761: cf. Zenob. V, 20.

58. V. III, 49. Cf. Zenob. VI, 48. Plut. Boisson. 4. Greg. Cypr. III, 39.

59. V. III, 56. B. 804. Schol. ad Arist. Vesp. 485: Hesych. s. *ὠπόν ὦ πόνηρε*, quod in *ὦ πόνῳ πόνηρε* recte mutarunt Albertus ad Hesych, Bentlejus ad Arist. T. IX, 1, 479 Invern., Lennepius ad Phalar. Epist. p. 61 Lugd. Usurpavit Aristophanes etiam Lysistr. 350.

60 *Πράσου φύλλῳ τὸ τῶν ἐρώντων δέδεται βαλάντιον: ἐπὶ τῶν δι' ἔρωτα πολλὰ ἀναλισκόντων καὶ ἀσωτευομένων. Ἀσθενὲς γὰρ τὸ τοῦ πράσου φύλλον καὶ οὐκ ἀντέχον.*

61 *Πρωκτὸς λουτροῦ περιγίνεται: ὅταν τις μὴ δύνηται ἀπονίψασθαι, ἀλλ' ἡ κοιλία αὐτῷ ἐπιφέρηται· ** τῶν ἀνωφελῶν.*

1, *ἐρώντων* Macarius, Suidas, et cod. Proverbb. Parisinus, quem ad Suidae locum citat Gaisfordus: VB *ἐρώτων* et sic cum Schotto Gaisfordus. Macarius explicat: *ὅτι οἱ ἐρῶντες πολλὰ ἀναλίσκουσιν.* 5. *περιγίνη* Hesych. Phot. Suidas: recte vertitur ab Erasmo I, 10, 90: *podex lotionem vincit.* *παροιμία ὅταν* Phot. Suidas. 6. *κἂν ἀπονίψασθαι* Suidas. *αὐτῷ*] B *αὐτῶν*: correxi ex Hesychio: Phot. Suidas om. *ἐπιφέρηται*] »eleganter dictum est *κοιλία αὐτῷ ἐπιφέρηται*, pro eo quod Latini dicunt, *qui cita est alvo*, vel *qui laborat alvi profluvio.*« Sopingius ad Hesychium. Post hanc vocem signa lacunae posui: quae exciderint, Hesychius indicat: *ἐλέγετο οὖν ἐπὶ τῶν ἀνωφελῶν καὶ εἰκῇ πραττομένων.* Nescio an recte Apostolius verbis *ἐπὶ . . πραττομένων* subjungat: *οἱ γὰρ παχύπρωκτοι καὶ προγάστορες οὐ δύνανται ἑαυτοὺς ἀπονίψασθαι εὐπετῶς*: si recte, hac observatione ridiculum in Arist. Ran. 480 augetur.

60. V. III, 53. B. 796. Macar. 414: Suidas. *πράσου φ.*] Aristoph. Ran 621: *πάντα τἄλλα, πλὴν πράσῳ Μὴ τύπτε τοῦτον μηδὲ γητείῳ νέῳ*, ubi Scholiasta: *πλὴν μὴ τούτοις αὐτὸν τύπτε, ἅπερ ἐστὶν ἐλαφρότατα.*

61. B. 765. Apost. XVI, 66 Schol. ad Aristoph. Vespp. 622: *παροιμιακὸν τοῦτο ἐπὶ τῶν ἐπὶ κακῷ τῷ ἑαυτῶν νικώντων· ἢ ἐπὶ τῶν ἀεὶ μολυνομένων καὶ βιαζομένων καθαίρεσθαι: ὁ γὰρ πρωκτὸς πλυνόμενος περιγίνεται τῆς καθάρσεως καὶ ἔτι μολύνεται, καὶ μᾶλλον ἐν τῇ ῥύσει τῆς γαστρός· εἴρηται δὲ ἀπὸ τῶν τὴν γαστέρα φερομένην ἐχόντων, καὶ ἐν τῷ ἀπολούεσθαι νικωμένων τῇ φορᾷ. Ἄλλως. Εὐφρόνιος μέν, ὡς τῆς εἰκόνος αὐτοῦ ματαίας οὔσης, ὅτι ματαίων ἐπιθυμεῖς· καὶ γὰρ τὸ μέρος ἐκεῖνο πλυνόμενον ἔτι μολύνεται. Καλλίστρατος δέ φησι· παροιμία, πρωκτὸς λουτροῦ περιγίνη, ἐπὶ τῶν βιαζομένων εἰς κακὸν ἑαυτούς· ὡς εἴ τις βιάζοιτο μὴ ἀποπλύνεσθαι*: Hesych. Phot. Suidas. Utitur Aristoph. l. c.: *πάντως γάρ τοι παύσει ποτὲ κἀναφανήσει Πρωκτὸς λουτροῦ περιγιγνόμενος τῆς ἀρχῆς τῆς περισέμνου.* Graeci quum essent diligentes post opus, ut cum Christiano loquar, adsellatum podicis purgatores, facetias ab actu isto purgandi derivatas tam facile risu exceperunt, ut eum commemorare comici vehementer amarent: Pherecr. fr. 53. Arist. Lysistr. 1035. Ran. 489: agebatur res spongiis non solum et alliorum foliis, sed etiam lapidibus: Machon ap. Athen. XIII, 578, vs. 27: *μετὰ ταῦτα δ' ἡ Γνάθαινα πρὸς τὴν Μαΐαν Ἐλοιδορεῖτο καὶ λέγει, Τί τοῦτο, παῖ, Εἰ δὲ λίθον εἶχες* [cf. App. II, 11.]; *ὑπολαβοῦσ' ἡ Μαία, Ἔδωκ' ἄν, ἵν' ἔχῃς, φήσ', ἀποψᾶσθαι, τάλαν*: unde exiit proverbium: *τρεῖς εἰσὶν ἱκανοὶ πρωκτὸν ἐκμάξαι λίθοι*: Schol. ad Arist. Pac. 1229: cf. intt. ad Arist. Plut. 818. *Nam antiqui*, inquit Florens Christianus ad Arist Vesp. l. c., *munditiarum talium eligentiores fuerunt quam*

62 *Πτωχοῦ οὗλαι † ἀεὶ κεναί.*

63 *Πύθου χελιδόνος: διότι ὀδυρτικὸν τὸ ζῶον.*

64 *Ῥᾷον ἢ τὸ Ὄνειον ὑπερέβησαν οἱ Βοιωτοί: ἐπὶ τῶν τοὺς ὅρους καὶ τὸ μέτρον ὑπερβαινόντων· Ὄνειον γὰρ ὄρος, πρὸς ὃ οἱ τῶν Βοιωτῶν ὁρίζονται ὅροι.*

65 *Ῥέας πόντος: Ἰόνιος κόλπος περὶ Ἀδρίαν, ἔνθα τιμᾶται ** ὁ Βόσπορος.*

---

1. *Πτωχοῦ* VB: *πτωχῶν* rectius Suida. *οὗλαι*] haec vox quum sensum fundere non videretur, Kusterus prava Hesychii glossa in fraudem inductus, *οὐλάδις* proposuit, vocem nihili: Ruhnkenius l. c. et Epist. Crit. II, 188 *θυλὰς ἀεὶ κινή*, probante Jacobsio ad Anthol. VIII, 77: probare videtur etiam Porsonus in Toupii Emendatt. in Suid. T. IV, 469, bene addens, formae *κινή* substituendum esse *κινεῖ*, ut versus dactylicus prodeat. Quo sensu dicatur, nescimus. 3. *τ' Ὄριον* Suidas, *τ' Οὔνειον* Apostolius. »Proverbium in versum trochaicum sic redigi potest: *ῥᾷον ἢ τοὔνειον ὑπερέβησαν οἱ Βοιώτιοι.*« Kusterus ad Suidam. 4. *Ὄριον* iterum Suidas. 5. *ὁρίζονται* Suidas cum Apostolio. 6. *πόντος*] Hesych. *πόρτος*: »*πόρτος* enim, ut postea Latinos, extulisse Graecos certum e Glossario Graeco-barbaro eruditissimi Jo. Meursii, nuper evulgato.« Schottus. v. Opp. Om. Meurs. T. IV, p 685 ed. Lami: add. Ducangius Gloss. Graec. Inf. T. I, p. 1206. In fine lacunae signa posui: videntur deesse verba *Ῥέα· καὶ*. Mare enim Ionicum ab Adriatico veteres non distinguebant: cf. Aeschylum; add. Schol. ad Apoll. Rhod. IV, 308: *ἐπεὶ γὰρ συνάπτει ὁ Ἀδρίας τῷ Ἰονίῳ, διὰ τοῦτο ποτὲ μὲν τὸν Ἀδρίαν, Ἰόνιον, ποτὲ δὲ τὸν Ἰόνιον Ἀδρίαν καλοῦσι*:

hodie sumus, qui satis elegantes et mundi extra videri volumus, interne porci et si quid immundius.

62. V. III, 42. B. 781 *b*. Suidas. Haec a Callimacho profecta esse, Ruhnkenius sibi persuasit: cf. ejus nota ad Callim. fr. 360 p. 556 sq. T. I ed. Ern. Causam non video. Cf. Zenob. V, 66.

63. V. III, 41. B. 766. Apost. XVII, 2. Arsen. 416: Hesych. Photius: *παροιμία ἀπό τινος Χελιδόνος θεολόγου ἀνδρὸς καὶ τερατοσκόπου καὶ περὶ τελετῶν διειλεγμένου· ὡς Μνασέας ὁ Πατρεὺς ἐν τῷ περίπλῳ· οἱ δὲ ὅτι θρηνητικὸν τὸ ζῶον· οἱ δὲ ὅτι τὸ ἦαρ προσημαίνει* [cf. sup. 4.]: Suidas. Usurpavit Aristophanes: v. fr. 499 G Dindorf.: *Πυθοῦ χελιδὼν πηνίκ' ἄττα φαίνεται.* Chelidonem *χρησμόλογόν τινα τῶν πάλαι* nominat Suid. s. *χελιδόνας*: add. Herodian. *π. μον. λέξ.* 9, 6: *χελιδὼν . . εἴτε τὸ ὄρνιον εἴτε ὁ περὶ τελευτῶντος γράψας*, ubi *τελετῶν* corrigit Lobeckius Aglaoph. II, 1352: idem ibid. I, 304 vatem e falsa proverbii nostri explicatione natum esse conjecit.

64. V. III, 71. B. 825. Apost. XVII, 8. Suidas. *Ὄνειον*] Strab. IX, 1, 8, p. 393: *τὸ πλέον αὐτῆς* [*τῆς χώρας τῶν Μεγαρέων*] *ἐπέχει τὰ καλούμενα Ὄνεια ὄρη, ῥάχις τις μηκυνομένη μὲν ἀπὸ τῶν Σκειρωνίδων πετρῶν ἐπὶ τὴν Βοιωτίαν καὶ τὸν Κιθαιρῶνα, διείργουσα δὲ τὴν κατὰ Νίσαιαν θάλασσαν ἀπὸ τῆς κατὰ Κρίσσαν Ἀλκυονίδος προσαγορευομένης*: v. C. O. Muellerus Dorr. II, 432, idem in Nunc. literar. Gotting. 1838 p. 1334.

65. V. III, 68. B. 821. Schol.

66 Ῥήγματα ἀντὶ σχημάτων: ἐπὶ τοῦ παραπολαύοντος τινός, δι' ὧν πράττει.

67 Σαοὺλ ἐν προφήταις: οὗτος ἐχρίσθη ὑπὸ Σαμουὴλ εἰς βασιλέα καὶ προφήτην· καὶ ἰδών αὐτόν τις ἔφη· Καὶ Σαοὺλ ἐν προφήταις; Καὶ ἐστὶ παροιμία· λαμβάνεται δὲ ἐπὶ τῶν μὴ ἀξίων.

68 Σαρδαναπάλου τρυφηλότερος. Καταγηράσαις Τιθωνοῦ βαθύτερος. Κινύρου πλουσιώτερος. Λὶς παῖδες οἱ γέροντες: ὁ γὰρ Τιθωνὸς τὸ γῆρας ἀποθέμενος κατ' εὐχὴν εἰς τέττιγα μετέβαλεν·

Schol. ad Aesch. l. c.: τὸν Ἰόνιον κόλπον Ῥέας κόλπον, ἀπὸ τοῦ ἐκεῖσε τὴν Ῥέαν τιμᾶσθαι: cf. Strab. VII, 5, 10 p. 316 sq, Blomfieldus ad Aesch. l. c. An Rhea ibi culta sit, nescio. Addit nunc καὶ ὁ Βόσπορος: Bosporus dicebatur mare Ionicum, cf. Aeschyl. Prom. V. 730. Ammian. Marcell. XXII, c. 8, et antiquo tempore Ῥέας κόλπος, quum ibi coleretur Rhea, de cujus cultu Heinsius ad Hesych. adire jubet Stuckium in Peripl. Pont. Eux. p. 96. Ut verisimile non sit, nomen Ῥέας πόντος per grammaticos demum utrique mari datum esse. 2. δι' ὧν] διὸ Macarius. 5. καὶ ἔστι κτλ.] Suidas: καὶ ἐγένετο ὁ λόγος οὗτος εἰς παραβολήν· Τὰς γὰρ ὄνους τὰς ἀπολωλυίας ζητῶν βασιλείαν εὗρε. 7. Σαρδαναπάλου — γέροντες] Suidas utroque loco accurate Julianum exscripsit: priore loco explicat: ἐπὶ τῶν πολυχρονίων λεγομένη: altero: ἐπὶ τῶν ὑπεργήρων. 9. ὁ γὰρ . . ἀρχὴν] haec concinunt cum Suida s. Σαρδ., nisi quod hic post v. τρυφῇ inserit διαβιούς. Τιθωνὸς . . μετέβαλεν] Suid. s. καταγ.: Τ., ὑπεργήρως γενόμενος κατ' εὐχὴν εἰς τ. μ.

ad Aesch. Prom. V. 836. Hesych. Photius. Legitur apud Aeschyl. Prom. V. 836.

66. V. III, 73. B. 827. Macar. 424. Comp. Zenob. I, 88. Diogen. VII, 100.

67. V. III, 87. Suidas. Originem explicat 1 Samuel. X, 11. 12: adhibet Greg. Nazianz. Orat. I, p. 5 B. Colon. 1690: ὥστε εἶναι καὶ Σαοὺλ ἐν προφήταις κατὰ τὴν παλαιὰν ἱστορίαν καὶ παροιμίαν: alludit idem Or. XX, p. 335 D.

68. V. III, 88. 89. 90. 91. Suid. s. καταγηράσαις, s. Σαρδανάπαλλος. Proverbium descriptum est ex Juliani Epist. LIX, p. 117 Heyler.: εἴη δὲ καὶ σε περὶ ταῦτα τριβόμενον καταγηράσαι καὶ τοῦ Τιθωνοῦ βαθύτερά τε καὶ τοῦ Κινύρου πλουσιώτερον καὶ τοῦ Σαρδαναπάλου τρυφερώτερον. ὅπως καὶ τὸ τῆς παροιμίας ἐπὶ σοὶ πληρωθῇ, Λὶς παῖδες οἱ γέροντες. Σαρδαν. τρυφ.] Apost. XVII, 26. Arsen. 426, qui in lemmate exhibent: Σαρδαναπάλου βίος: Macarius: Σαρδανάπαλος· ἐπὶ τῶν ἀβροδιαίτων: Eustath. ad Hom. Od. Σ, 1834, 27: ἐξ αὐτοῦ δὲ ὕστερον Ἴροι καὶ πάντες οἱ ἐπαιτοῦντες, καθὰ καὶ Εἵλωτες οἱ δοῦλοι, . . καὶ ὡς οἱ τρυφηταὶ Σαρδαναπάλοι ἀπὸ τοῦ ὁμοίου Σαρδαναπάλου· οὕτω δὲ καὶ ἀπὸ τοῦ Λικινίου Λικίνιοι καλοῦνται ἰδιωτικῶς οἱ ἀγρίως κολάζοντες, ὥσπερ εἰ δεῖ τι καὶ ὑποπαῖξαι, καὶ τοὺς Νικολάους τὰ μελίπηκτα ἔκ τινος ὁμωνύμου ἀνδρὸς εὑρόντος προσλαλοῦσί τινες, . . τὸν ὅμοιον δὲ τρόπον καὶ Μόλωνες οἱ πολυμμεγέθεις, ἀπὸ τοιούτου Μόλωνος: cf. C. O. Muellerus in Niebuhrii Mus. Rhen. III, 36 sq. Huc ex parte per-

ὁ δὲ Κινύρας ἦν ἀπόγονος Φάρμη†, βασιλέως Κυπρίων, πλούτῳ διαφέρων. Σαρδανάπαλος δὲ, Ἀσσυρίων βασιλεὺς, ὃς ἐπ' ἀκολασίᾳ καὶ τρυφῇ κατέλυσε τὴν ἰδίαν ἀρχήν. ἦν δὲ υἱὸς Ἀνακυνδαράξου, βασιλέως Νίνου, χώρας Περσικῆς, καλλωπιζόμενος αἰσχρῶς καὶ τοῖς οἰκείοις μὴ ὁρώμενος, εἰ μὴ εὐνούχοις καὶ κόραις. Πεπυρπολημένου δὲ τοῦ οἴκου, ἔνδοθεν εὑρεθεὶς ἀπέθανε· καὶ ἔστιν ἐπίγραμμα ἐπὶ τῷ τάφῳ αὐτοῦ Ἀσσυρίοις γράμμασι· Σαρδανάπαλος Ἀνακυνδαράξου παῖς, Ταρσόν τε καὶ Ἀγχιάλην ἔδειμεν ἡμέρῃ μιῇ· Ἔσθιε, πῖνε, ὄχευε, ὡς τἆλλα οὐδὲ τούτου ἔστιν ἄξια· τουτέστι τοῦ τῶν δακτύλων ἀποκροτήματος· τὸ γὰρ ἐφεστὸς τῷ μνήματι ἄγαλμα, ὑπὲρ τῆς κεφαλῆς ἔχον τὰς χεῖρας πεποίηται, ὡς ἂν ἀπολιχοῦν τοῖς δακτύλοις. Ταὐτὸν καὶ ἐν τῇ Ἀγχιάλῳ τῇ πρὸς Ταρσὸν ἐπιγέγραπται, ἥτις νῦν καλεῖται Ζεφύριον.

---

1. *Φάρμη*] nomen corruptum: *Φαρνάκης* Suid.: v. Bernhardium. *βασιλεὺς* Suidas. 3. *ὃς* Suidas om. *τρυφῇ διαβιούς* Suidas. 6. Legebatur *πεπυρπολουμένου*. 10. *ἔσθιε*] *σὺ δ' ἔσθιε* Arsenius. 13. *ἐφιστὼς* Arsenius: v. Naekium l. c. 250. 14. *ὡς ἂν ἀπολιχοῦν*] *ὥστ' ἀνακρουτεῖν* Arsenius: de nostra lectione disputat Naekius l. c. 249 sqq. 15. *Ἀγχιάλῳ* h. l. tenent Phot. Suid. Apost. Arsenius.

tinet Arist. Av. 1021: v. mea in Zimmermanni Diar. Schol. II, 1833, p. 248. *Τιθωνός*] Eustath. ad Hom. Od. *E*, 1527, 64: *καὶ ἔδει περὶ οὗ ἰστέον, ὅτι ἐξ αὐτοῦ ὡς ὑπεργηράσαντος οἱ λίαν πρεσβῦται Τιθωνοὶ ἐσκώπτοντο· ὡς καὶ ἀπὸ τοῦ Ἰαπετοῦ καὶ Κρόνου οἱ αὐτοί, Κρόνοι τε καὶ Ἰαπετοί*: cf. Diogen II, 71 V, 63. 64. VII, 45: aliter Eustath. ad Hom. Il. *I*, 396, 36: *Τιθωνὸν ὁ μῦθος μετίβαλεν εἰς τέττιγα· ἴσως δὲ καὶ ἐκεῖνος μυθεύεται παθεῖν οὕτως ὡς περὶ τὸ γῆρας λαλίστερος*: id. ibid. *A*, 826, 1: *ἡ δὲ παροιμία ἐπὶ δυστυχῶν γερόντων τίθησι τὸ τοῦ Τιθωνοῦ ὄνομα, ὡς δηλοῖ ὁ εἰπών* [Arist. Ach. 688.]· *γέροντα ἄνδρα Τιθωνὸν σπαράττων καὶ ταράττων καὶ κυκῶν*: cf. Lucian. Hermot. §. 50: v. Zenob. VI, 18. *Κινύρου*] cf. Diogen. VIII, 53. Jungitur Sardanapalo a Luciano Rhet. Praecept. §. 11: *ὀλίγας μὲν ἔτι, οὔλας τε καὶ ὑακινθίνας τὰς τρίχας εὐθετίζοντα, πάναβρόν τινα Σαρδανάπαλον ἢ Κινύραν ἢ αὐτὸν Ἀγάθωνα τὸν τῆς τραγῳδίας ἐπέραστον ἐκεῖνον ποιητήν*: de Agathone cf. Zenob. I, 2. *Λὶς κτλ.*] Diogen. IV, 18. Quae sequitur de Sardanapalo disputatio, eodem fere modo refertur a Schol. ad Arist. Av. 1021. Apost. XVII, 26. Arsen. 426. Phot. Suida: a quonam illam acceperint, affirmare non ausim: v. Athen. XII, 529 D sq. *Ἐπὶ τῷ τάφῳ*] hoc falsum esse et ad Ninum urbem perperam referri Anchialeam de Sardanapalo inscriptionem doctissime evicit Naekius ad Choeril. frr. p. 240 sqq.: idem ib. 247 nostrum locum tractat: add. C. O. Muellerus l. c. 29. Schneidewinus *Fragmente griechischer Dichter a. einem Papyrus* p. 13. *Τούτου*] ut se flocci facere vitam indicaret: Arist. Ran. 940, ubi Scholia: *εἰκὸς αὐτὸν ἀναπρο-*

69 *Σήπινον γερόντιον: ἐπὶ τῶν ἀσθενῶν.*

70 *Σιλφίου λειμών: εἶδός τι τῆς Λιβύης σίλφιον· καὶ παροιμία τὸ Βάττου σίλφιον.*

71 *Σινδαρωνεύεσθαι, μέμνηται ταύτης Φερεκράτης. Ἔστι δὲ ἀπὸ τοῦ τοὺς ἄνδρας σίνεσθαι.*

72 *Σινωπίσαι: ἐπὶ τοῦ ἀσχημονῆσαι· ἀπὸ ἑταίρας τινὸς ἐκ Σινώπης.*

---

1. *Σήπινον* K: Diogen. VIII, 14: *στύππινον γερόντιον: ἀσθενές.* 2. *λειμών*] *λιμήν* conjecit Ellendtius Lex. Soph. II, 709: *λειμών* dixit Sophocles in regionis Cyrenaicae laudem [*Laserpicifera Cyrene* Catull. VII, 4.], quum hac voce solerent terrarum pulchritudinem significare: Aesch. Prom. V. 654: add. Soph. frr. 587, 5. Dind., Diodor. I, 96. Hesychius: *Σοφοκλῆς* [fr. 915 Dind.] *περὶ γῆς ἐν Λιβύῃ τὸ σιλφίον φερούσης* [*γῆν* et *φέρουσαν* Ellendtius l. c.]· *οἱ δὲ εἶδός τι κτλ.* *εἶδος*] *βοτάνης* adjeci ut necessarium ad sensum Schottus. *Εἶδος* interpretor speciem odoratam, cujus generis erat silphium: sic enim proprie *τὰ εἴδη* recentioribus sunt usitata, licet veteres latius extendant omnemque mercium speciem sub eo vocabulo complectantur: v. Epiphan. Panar. p. 618 C. cett. Hemsterhusius ad Arist. Plut. p. 320. 4. Scribendum videtur aut *σιναρωνεύεσθαι* aut *σινδρωνεύεσθαι*: v. Hesych. s. *σναρὸν* et *σνδρῶν*. Posset etiam *σιναμωρεύεσθαι*: v. Phot. s. *σινάμωρος*. 6. *σινωπῆσαι* Photius, *σινωπῖσαι* V, *σινωπίζεις* Apostolius: v. Steph. Byz. s. *Σινώπη*: . . *καὶ Σινωπίτις καὶ Σινωπὶς ἀπὸ τοῦ Σινωπεύς*. 7. *ἐκ Σινώπης*] recte Suidas: *καὶ παροιμία Σινωπίσαι· τοῦτο πεποίηται παρὰ τὴν ἑταίραν Σινώπην. Ἐκωμῳδεῖτο γὰρ ἐπὶ τῷ κατασχημονῆσαι, καθαπερ Ἄλεξις ἔφη.* Neque videtur Sinope urbs meretricis cognominis patria fuisse: Athen. XV, 595 B: *Σινωπης τῆς Θρᾴττης, τῆς ἐξ Αἰγίνης Ἀθήναζε μετενεγκαμένης τὴν πορνείαν.*

τοῦντα τῷ δακτύλῳ δεικνύειν τὸ οὐδὲ τουτί. Ζεφύριον] v. Steph. Byz. s. *Ἀγχιάλη*.

69. K. IV, 41. Apost. XVII, 36. Arsen. 428.

70. V. III, 77. B. 837. Hesychius: v. Thriegius R. Cyren. 310. Cave *σιλφίου λειμών* pro proverbio habeas. Est locutio, in cujus explicationem proverbium *Βάττου σιλφίον* allatum est: cf. Append. III, 82. 83. *Βάττου σ.*] Apost. XVII, 48. Arsen. 429: Append. I, 51.

71. V. III, 85. B. 681. Suidas. *Φερεκράτης*] p. 77 Runkel. Etym. M. 713, 27: *Σινάμοροι* [l. *σινάμωροι*] *πολεμίζουσι θυρωροί: ἐν δευτέρῳ Ἀνακρέων* [fr. L. Bergk., 32 Schneidew.]· *μεμορημένοι, φησί, πρὸς τὸ σίνεσθαι· ἐξ οὗ ἠκούσμεθα τοὺς ἐξ ἅπαντος κακουργεῖν προαιρουμένους· οἱ μὲν Ἀττικοὶ λέγουσι σιναμορεῖν* [sic] *τὸ λιχνεύειν· καὶ Φερεκράτης τὰ τοιαῦτα κλέμματα σιναμορεύματα* [sic] *καλεῖ. Ὧρος*: etiam Aristophanes similia adhibuit: v. Nub. 1060 ibiq. Schol. et Berglerus.

72. V. III, 78. B. 840. Apost. XVII, 47: Hesych. Phot. Suidas. De Sinope cf. Athen. XIII, 586 A: *περὶ Σινώπης Ἡρόδικος ὁ Κρατήτειος ἐν ἕκτῳ Κωμῳδουμένων φησὶν ὅτι Ἄβυδος* [cf. Diogen. VI, 53.] *ἐλέγετο, διὰ τὸ γραῦς εἶναι· μνημονεύει δ' αὐτῆς Ἀντιφάνης ἐν Ἀρκάδι καὶ ἐν Κηπούρῳ, ἐν Ἀκεστρίᾳ, ἐν Ἀλκυονομένῃ, ἐν Νεοττίδι, καὶ Ἄλεξις ἐν*

73 *Σιφνιάζειν: ὡς Κρητίζειν καὶ Λεσβιάζειν, ἀπὸ νήσου Σίφνου καλουμένης. Ἔστι δὲ τὸ ἅπτεσθαι τῆς πυγῆς δακτύλῳ· Λεσβιάζειν δὲ τὸ παρανομεῖν στόματι.*

74 *Σκύθης τὸν ὄνον: ἐπὶ τῶν λόγῳ μὲν ἀσκιζομένων, ἔργῳ δὲ ἐφιεμένων. Ἰδών γάρ τις νεκρὸν ὄνον,*

---

